δὸς τὴν μητρὶ κηδεμονίαν
μηδέν, καὶ παρ᾽ ἑτέρων ὁμοί-
ως ἀφθόνως δὴ τὰ κτώμενα,
εἴπερ γὰρ ἦν ὁμοίως βουλο-
μένη· κλῆρος οὐκ ἔλαχε τὸ
ὅσος δὴ τὰ τῶν ἐμῶν πριάμενοι
τὸ, πρὸς ἅπαντας· καὶ γάμος τε
δὲ κατὰ θυμόν· ἀλλ᾽ ἅ ταῦτα
πάντα περιφανῶς λόγων
γίνεσθαι μὲν ἡ διὰ χειρῶν, ὁμοίως
καὶ ταῦτα τοῦ τῆς ἡλικίας
ἄνθους καθεστηκυῖα, τῶν οἰ-
κείων ἐν θεοῖς ἀπαρτίζομαι·
ἔρως γὰρ μὲ ὁ οὐράνιος ἔρως·
καὶ ὅλην εἰς τὰς χεῖρας τῶν θεῶν·
ὡς σκιὰν τὰ ὄντα λογισα-
μένη, οὐκ ὀλίγοις τῶν ὁρμη-
τῶν παρ᾽ ἅμα ἀπολαύσασα·
καὶ ταύτης γυναικὸς ἀ-
πάσης τῆς ἀπολαύσεως, τὴν μὲν
ἀνδρῶν διατριβὴν ἀπειπό-
μην· καὶ χρόνοις ἐφικανοῖς
ὄρεσι καὶ σπηλαίοις ἐνδια-
τρίψασα· κἀμοῦ δὲ ὅμως ἀμήν

πρὸς τὸ προκείμενον, ἄν τι
ἀφροσύνης, τὸν ἴσον ἄνευ
ἀναίνομαι· ἐφ᾽ ᾧ δ᾽ ἐμὲ οἶδεν
Τὴν μὲν δὴ ῥᾷον ὁρῶντες τινὲς μὲν
ἤρξαντο καὶ τὴν τῆς μονῆς
προφασίαν ἐμοὶ περιάπτειν
ἢ βούλοιντο, ἑνὸς προηγου-
μένως μὲν τῷ μὴ προσῆ-
κον τῷ ἀξιώματι ἐμαυτῇ
συνοιδυῖα· ἄλλως τε καὶ
τὸν τῦφον ἀεὶ ἐκκλίνειν ὡς
δυναμὶς πειρωμένη. ὡς
πορεύεσθαι ταῖς ἀρχαῖς ἐπι-
φύεσθαι· τῆς νυκτὸς ἀ-
δειαν διδούσης τῷ ἔργῳ,
λάθρα τῆς μονῆς ἀνεχώρη-
σα· καὶ μακρὰν που μά-
λιστα γενομένη, ἂν δὲ εἰλι-
παρῶν τε καὶ καθειργμένη ῥα-
κεσκοσμημένῳ καὶ σπηλαί-
ον ἐκ τῶν ὑπὸ πολλοῦ κατοι-
κοῦντι, προσέρχομαι· καὶ
ἐπεὶ μήκιστον χρόνον τούτῳ
διακονήσασα ἀγνοουμένη
παντάπασι διετέλεσα·
Ὡς δὲ κἀκεῖ τῷ πονηρῷ
ἔκδηλον ἀνεσκται· ἀλλὰ δὴ λήμ-
με καὶ τῷ γέροντι καθιφαν
ἐφαρᾶτο· λιποῦσα καὶ τὸν
καθηγεμόνα ἐν τῷ σπηλαίῳ·
κἀκεῖ περιελθοῦσα πάλιν
τὴν ἔρημον· καὶ τοῖς ἐκεῖσε
τὸ μέλι τῆς ἀρετῆς ἐνεργοῦ-
σι συνδιατρίψασα ἱκανῶς·
καὶ ταῦτα πάντα ἐπὶ χρόν

Τρισὶ πρὸς τριάκοντα διαμύ-
σασα, τὴν γυναικείαν αὖθις
ἀλλαξαμένη στολήν, τῷ ὑπο-
γαίῳ ἐκείνῳ καταδύματι γί-
νομαι· οἰομένη τῷ ὑπογείῳ
κρύπτεσθαι, ὄχλον πάντα
καὶ θόρυβον διωθήσασθαι·
ἀλλὰ σύ μοι πράγματα πα-
ρεῖχες ὦ βασιλεῦ, ξένην τινὰ
περὶ ἡμᾶς φιλοτιμίαν ἐπι-
δεικνύμενος· καὶ τῷ διὰ πά-
σης μετιμῆς ἄγειν, τοῦ προ-
κειμένου ὑπηγάγου λογισμοῦ·
καὶ τοίνυν μὴ πως ἐλυπῶ ἄν
οἰομένη δεῖν, καὶ ἐμαυτὴν τὸ
ἡσύχιον καταπραγματεύομαι,
ἐνταῦθα δὴ παρελήλυθα·
τί γοῦν ἐμοί τε κοινὸν καὶ τοῖς
σοῖς πράγμασιν· ἐκ διαμέτρου
τοῖν σκοποῖν προκειμέ-
νοιν ἡμῖν· ἱκετεύω τοίνυν
Τὴν σὴν φιλανθρωπίαν, ἀνεῖναί με
τοῦ τοσούτου θορύβου· εἰ
γάρ μοι τὸ παχὺ τοῦ τοσαρκί-
ου προσθῇ· καὶ δέδοικα
μή τι τῶν ὑφ᾽ ἑτέρων τῶν
προαγωγόμοι ἀδὴ πολλὰ
γένηται, τοῦ προκειμένου
ἡμᾶς ἀποσφήσειεν· καὶ ἐν
τῷ λιμένι τὸν ναυάγιον ὑπο-
φθάμενον· ἡ γὰρ τῶν γηΐνων
ἀπόλαυσις, ὕφεσιν τινὰ
τῶν προσδοκωμένων ἐν
ὁμοίοις ἀπεργάζεται· ἀλ-
λ᾽ οὐδὲ τοῦτο ἄξιός εἰμι

λελόγισται, ὁ μὲν καθάπαξ
ἑαυτὸν ἀρνησάμενος, καὶ
τὸν σταυρὸν ἐπ᾽ ὤμων ἀράμενος·
πῶς ἂν τέλη δηλαδὴ τῷ
ἐπιγείων προσκρούσειν, καὶ αὐτῷ
κατόπιν ἑπόμενος ὥσπερ
ἐν εὐαγγελίοις ἠκούσαμεν·
Ὁ δὲ βασιλεὺς πρὸς ταῦτα μη-
δὲν τῇ ὁσίᾳ εἰπών, ἐπεὶ τὰς
μοναχὰς περικύκλῳ ταύτης
ἐθεάσατο. διὸ δὲ πρὸς τοὺς
ἀγγελικὰ ἦσαν, πόθεν δὲ ἄρα αἱ
περὶ ὑμῶν· αἱ τοσαῦται καταξι-
ωθεῖσαι ὑπουργεῖν σώματι,
τὰς τοῦ ζῆν πορίζονται ἀφορ-
μάς· Καὶ ἡ ὁσία· πόθεν δὲ
ἄλλοθεν, ἢ ἐκ τῆς χειρὸς τοῦ θεοῦ·
ἠνεῳγμένης· πᾶν ζῶον
ἐμπίπλαται ἀγαθῶν· ἢ γὰρ
ὁ δὲ ἐν ἐρήμῳ θρέψας ἀδα-
πάνης λαόν· καὶ ὕσας
ὄρνιθας· καὶ ἐκ πέτρας τ-
πηγάσας τροφὴν εἰς κόρον
πλῆθος ἀνθρώπων. ὡς καὶ τὰ
περὶ τῶν ἄλλων τραπεζῶν
εἶναι διηγήσασθαι λείψανα, οὐ
δυνατός ἐστι καὶ ταύταις διὰ
τὸ αὐτοῦ συνηγμέναις πα-
ρθένον ὄνομα θρέψαι, καὶ τοὺς
ἀνθρώποις ὡς γε εἰκὸς ἐπαρ-
κέσαι; ἐμοὶ γὰρ ὡς καὶ τόσον
ἐξεστήσατο κράτος, οὐδὲν τι
περιεῖναι· πάντα περὶ ἐν
παλαιδιάχν· ὁ μέντοι κρα-
Τῶν ἱμαρώπερον διαπεθέσ

Καὶ ἡμῖν ἐστι τόσον κἂν τρίαν
τῶν γυναικῶν ἐκπλαγεῖσ,
ἀλλ᾽ ἐμοί φησιν ὦ μῆτερ, τῶν
πεσῶν ἀγαθῶν χάριν καὶ τῶν
ἐμῶν ἐν κακοσυμφορῶν, προ-
βουλήσεται, ἀφορμάς τινας
τῷ σῷ τούτῳ κελλίῳ τοῦ ζῆν
παρασχεῖν· καὶ ἐπαυξῆσαι
τοῦτο ὡς τὸ εἰκός. ὥσαν θο-
ρύβων ἐκτὸς διαμένουσαι·
τοῦ τ᾽ ἐμοῦ ὑπερέχοντος κρά-
τους· καὶ τῷ πλήθει τὰς τῶν
χρειῶν ποτε περὶ ὧν ἐλπίδας αἱ
πεισθεῖσαι παρὰ θεοῦ· ἡ δὲ μα-
καρία· μὴ δὴ ταῦτα βασιλεῦ
ἐπάγει, τὴν ἀφιλοῦσαν,
οὕτω μισθὸν αἰρεῖν· πόρρω
γὰρ τῶν τοιούτων ἡμεῖς·
καθάπαξ τὴν ἐκ τῆς φροντί-
δος ὧν ἀποταξάμεναι ποτε·
ἄλλως τε καὶ παρ᾽ ὅσον ἡμῖν
προμηθὲς φαρμήσῃ, παρὰ
τοσοῦτον ἡμᾶς τῆς θείας
ἀντιφρήσης περιοπῆς.
Καὶ ὁ βασιλεύς· ἀλλ᾽ οὕτω μὲν ἀ-
δίων ἐστί, μὴ μικρόν τι καὶ
ἐκ τῶν ἐμῶν εἰς δόξαν
σου ἢ ἐν ὁσιότητα. ὅτι μὲν
γὰρ οὐ χρεία σοι τῶν ἡμετέ-
ρων χρημάτων, ἴσμεν σαφῶς·
ἀλλὰ καὶ τὸ παρὰ φαῦλον
τίθεσθαι οὕτως ἐστὶ τὸ ἡμέ-
τερον, οὐ παντὸς τοῦτο τῶν ἐν
τελῶν· ἢ τοι μὴ ὁσία·
ὡς ἤδη τὸν κρατοῦντα ταῦτα

τῆς λύσεως ὅλον γενόμενον,
τεσσαράκοντα μόνον χρυ-
σοῦ νομισμάτων· ὃ δὴ σολ-
μίον λέγεται δεξαμένη, τὸ
λεῖπον ἀπέσωσεν πάντα πα-
σιν· ὃ καὶ ἐκ τοῦ σχεδὸν κατό-
μαν ἐπὶ ταύτης· γράμμασιν
ἐρυθροῖς ὁ βασιλεὺς ὑπο-
σημηνάμενος, τῇ τῆς μα-
καρίας μονῇ ἐπαφῆκεν·
ἐξ ἐκείνου τοίνυν καὶ ἐς δεῦ-
ρο ταῖς κατὰ διαδοχὴν τῆς
ὁσίας μαθητρίαις τὸ τῷ
βασιλεῖ λόγον τι κυρωθὲν ἐκ
τῶν βασιλικῶν ταμείων
ἐπικρατεῖται· ὁ μέντοι
σοφώτατος βασιλεὺς ὡς ἔ-
θος τὰς τῆς ὁσίας εὐχὰς
ἐφόδιον καὶ συμμαχίαν λαβών,
πρὸς τὰ τῶν ἀνακτόρων
μετεχώρησεν ἤθη· ἡ δὲ θεί-
θ´ κα β´ Κατ' ἐκεῖνον καιροῦ· τῶν ἐ-
ν ἀξιώμασι διαπρεπόντων·
περιφανής τις ἀνήρ· δρουγ-
γάριος τὸ ἀξίωμα· τοῦ
πλοΐμου στόλου παντὸς ἐξη-
γούμενος. μέγα δὲ τοῦτο
παρὰ Ῥωμαίοις βούλεται
εἶναι εἰς περιφάνειαν· Ῥω-
μανὸς ὄνομα τῷ ἀνδρί·
οὗτος ἐπεὶ τῶν τῆς ὁσίας τε-
λουμένων κατήκοος γέγονεν,
ἄπεισι παρ' αὐτὸ ταύτης
διαιτητήριον· ὡς γοῦν
Μείζω τῶν ἠκουσμένων ἡ ὁ-

αὐτῷ τὰ ὁρώμενα· τότε πρῶ-
γικρὸν φημὶ τοῦ οἰκήματι.
Καὶ τὸ πλὴν ψιαθίου μηδὲν
αὐτὴν ἐπιφέρεσθαι· ἔτι μὴν
δὲ σιδήροις διεζωσμένην
ἁπανταχοῦ· καὶ ἀράχνης
τῆς σωτῆς ἀκάτου δέρμα δια-
φέρουσαν· τῷ κατεσκληκέ-
ναι τῇ μακρᾷ νηστείᾳ καὶ
ταλαιπωρίᾳ τοῦ σώματος.
ὁ δὲ λόγος ἐρῶν αὐτῇ καὶ ἡ ῥεῖ-
τὸν πρόσωπον ἐχαίου καὶ μέ-
λιτος· καὶ εἰς αὐτὴν τὴν καρ-
δίαν ὑποδυόμενος· καὶ
εὑρίσκων τὸ προσῆκον ἐπα-
γομένην τε καὶ ἁρμόζουσαν,
ὅρος τοῦ πράγματος γίνεται·
καὶ ἥκιστα ῥᾳδίαν εἶχε τὴν
ἀναχώρησιν· τῷ μέλιτι τῆς
ἐκείνης στρηνος κατακη-
λούμενος· καὶ ἀοράτῳ τι-
νὶ δεσμῷ ἅμα περικρατού-
μενος· ὡς δ' οὖν ἐγένοιτο.
Καὶ τῆς εὐλογίας ἤδη τυχ(ὼν)
μόλις ἀναχωρεῖν ἔμελλεν,
ἡ μακαρία τοῦ κρασπέδου
λαβομένη τοῦ Ῥωμανοῦ·
καὶ μικρὸν ὑποκατακλίνα-
σα, ἄπελθε φησὶν ἐν εἰρή-
νῃ τέκνον· καὶ πρὸς ὑπουρ-
γίαν τῶν κρειττόνων πα-
ρασκεύαζε σεαυτόν· ὅσον
γὰρ οὔπω πέρας ἕξει τὸ
ῥῆμα τοῦ θεοῦ ἐπί σε· ὁ γὰρ
βασιλεὺς τῶν βασιλευόντων

καὶ ἐκ τῶν κυβερνώντων,
βασιλέα μὲν ἑλέσθαι τὸν ἐπιτ-
ήδειον κατὰ στάσιν· οὐδ' ἄλλο ρά-
μὴ πρὸ καιροῦ ἐπιδράμῃς
τῶν ἔργων· ὥρισται γάρ, καὶ
εἰς πέρας αἴσιον ἐλεύσεται·
ὡς ἂν γε ἁρμόττοι διαμονῆς,
ἐν μεγάλως σοι πάντως
ἐπαινούστερον· καὶ ὁ μὲν ἀ-
Πῆει· λίαν ἐν ῥηδίως θεὸς τῇ
ψυχῇ φυλάττων ἐν ἑαυτῷ
τὸ ἀπόρρητον· Λέων δὲ ὁ
σοφώτατος μετ' οὐ πολὺ τοῦ
τῆς ζωῆς ἑώρων διαμετρη-
θέντων· τό τε κράτος
καὶ τὴν ζωὴν ἀπειπὼν, ἐξ-
αμείβεται· καὶ ὁ ἀδελφὸς
αὐτοῦ Ἀλέξανδρος ἐπιβαί-
νει τῶν σκήπτρων· ἀλλὰ καὶ
οὗτος ἐπὶ μικρὸν καὶ πρὸς
τοῖς τρισὶ τὴν βασιλείαν
διῳκηκὼς ἐν τρυφαῖς καὶ
ἀκροτήσι, τοῦ βίου ἐξίστα-
ται· τοῦ δὲ παιδὸς τοῦ λέ-
οντος Κωνσταντίνου· κομιδῇ
νέου ἀπολειφθέντος· ἐπεὶ
δὴ ἄνανδρα παρ' ἅμα τῆς ἀρ-
χῆς ἤδη· ἱκανὸν τὰς ἡνίας
τῆς ῥωμαίων ἡγεμονίας
διαχειρίσονται· πολλῶν
τῆς βουλῆς πρὸς τοῦτο δὴ κρι-
νομένων, ἐξ ἁπάντων δὴ
ῥωμανὸς· τὰ πρωτεῖα
γαμμαάνα· τό τε γένος οὐκ
ἄσημος ὢν ὡς προέφημεν·

Τῶ πιμακέρων ἤδη· πολλὴν
ἀληθῶς ἐμπειρίαν· καὶ
ταῖς συχναῖς στρατηγίαις δὴ
αἰδοῖος τῇ βουλῇ ῥωμαίων
καθεστηκὼς· ἄλλως τε καὶ θυ-
γάτριον ἀστεῖον ἦν αὐτῷ ἐ-
πίγαμον ἤδη· καὶ προσῳ-
ρα μάλιστα πεφυκὸς· ᾧ γαμ-
βρὸς ὁ μέλλων ἔσεσθαι, ὁ νέ-
ος δηλαδὴ βασιλεύς· καὶ
ὁ μὲν οὕτω τῆς ἀρχῆς ἐπι-
βαίνει· πρῶτον μὲν ἐπὶ τῷ τοῦ
βασιλέως πατρὸς κεκλῆσθαι
ἀξίωμα ἀναβάς· οὐ πολ-
λῷ δ' ὕστερον καὶ ὑφ' ἑαυτὸν
πᾶσαν τὴν ἀρχὴν ποιησά-
μενος· οὐ μὴν ἐν τοσούτῳ
σαφὲς φέρον τι δὸν γενόμενος·
τῶν τῆς οὐσίας χρημάτων
ἐμπλήθη γέγραφαι· ἀλλὰ ἀκριβέ-
στερον τὰ κατ' αὐτὴν ἐκ τῆς
περρηνόθως διαφοροις, πολύ-
τι τὸ φιλότιμον ἐπ' αὐτῇ
τῆς πίστεως ἐπεδέξατο·
φιλονεικῶν ὡς ἄν τις εἴποι,
τὴν καινὴν δὴ ταύτην φιλο-
νεικίαν· ὑπερβαλέσθαι τοὺς
πρὸ αὐτοῦ βεβασιλευκότ-
τῇ περὶ τὴν οὐσίαν σπου-
δῇ· ἀμέλει καὶ ὁσημέραι
Πίστιν τῇ πίστει τιθέμενος,
εἰς μάταιον καὶ μάρσιον
τὸ περὶ ταύτην ἐμπυρὶ φι-
τρον ἐξῆρε· καὶ ἐπὶ τοσοῦ-
τον πρῆρες ὄφερον, ὡς καὶ

ὅπη μὴ δέδοικά σοι πρὸς ἐχθ-
ρὸν ἵεμαι, οὐ μόνον ταῖς εὐχ-
αῖς αὐτῆς καὶ δεομίαις περι-
έφραττεν ἐμὲ αὐτὸν, ἀλλὰ καὶ
ὡς θυρεῷ τινὶ χρεὼ μένος,
τὸ ἐκ τειχῶν παχυτέρων
ἐξυφασμένον τῇ διὰ χιτῶ-
νιον, κατὰ στόματος τοῖς ἐχθ-
ροῖς χωρεῖ· οἱ ὁμόνοος· ὅπερ ἦν
καὶ ταῖς ἀληθείαις τοιοῦτος,
μηδενὸς κακοῦ τῶν ἐκ τοῦ
πολέμου πεῖραν λαβών·
ἀτρεμίας γὰρ καὶ θάρρους
ὅλος μεστὸς, ἐξῄει· ὑπὸ τῷ
σιδηρῷ χιτῶνι, τὸ τρίχι-
νον ῥάκος ἠμφιεσμένος.
οὐ μόνον τοίνυν ἀπείρα-
τος τῶν ἐκ τῆς μάχης ἀνε-
χώρει δεινῶν, ἀλλ' οὐκ ἐ-
αἰρ οὕτω καθωπλισμένος·
καὶ ὡς χρεὼν τῇ περὶ τὴν
ὁσίαν πίστει μάλα φραζά-
μενος· μὴ καὶ τροπαίων
πλήρης ὡς τὴν Κωνσταντί-
νου εἰσήλαυνεν· οὐ τοσοῦ-
τον ἀλουργίδι καὶ τοῖς ἄλ-
λοις τῶν ὅπλων μέγα φρο-
νῶν, ὅσον τῷ τοῦ χιτῶνος
τῆς ὁσίας τριχολῇ· οὕτω
πιστῶς· οὕτως ἐχέσθων περὶ
ταύτην ὁ κρατῶν εἶχεν·

Ἐν τούτοις δ' ὄντων τῶν πραγ-
μάτων· καὶ τῆς θαυμασίας
ἀφροσύνης ἐφ' ἱκανοῖς
ἔτεσι· κατὰ τὸ ὑπόγαιον ἐκείνῳ

Καὶ ζοφώδει ὀρδιαιήματι,
τὸν ὁσιώτατον καὶ ὑπερένθιλον
νίον διατρεχούσης· ἔτος που
ἕβδομον· αἴφνης πόθεν μαρ-
μάρων μέγεθος σκυθῶν· ἐκ τῶν
ὑδριατρίων ῥάθρων χθόνων·
λάθαν μυσθὼν ὁμαλεῖται ταῦτα
ἐς Θράκην καὶ Μακεδονίαν
ποιεῖται· πολλῶν δὲ τῶν Θρᾳ-
κῶν περιρρεόμενοι, καὶ μέχρι
τῶν τῆς Κωνσταντίνου πύ-
λῶν καταπατρέχουσι· καὶ τῆς
προσωφερούσης ἵστανται· οὐκ
ἀμάχω προσκαλοῦντες προ-
μάχω· ἐν τάθεν οἱ ῥωμαῖοι

Ἀναθαρσήσαντες· πλεῖστα
καὶ τῶν διὰ χωρῶν τῆς ὁσίας
συναρρηγνούσης, τοῖς ἀθρόοις
ἐπιπεσόντες ἐξάπιναι-
ως, κτείνουσί τε οὐκ ὀλίγους.
Καὶ τῶν οἰκείων ἐξελαύνου-
σι μόρων· τότε τοίνυν ἡ θαυ-
μαστὴ γυναικῶν· τῇ τοῦ θείου
ἐπὶ δρομῇ· πάνυ πολλαχεῖ
ασθεῖσα, ἐξάγει τοῦ καταμω-
λου· ἄγαν γὰρ ἦν τῶν τα-
χῶν· τῷ γὰρ συχνῷ θορύβ-
ῳ καὶ τῷ τοῦ πολέμου ἀλ-
λαλαγμῷ, οὐ ῥαδίως ἔχουσα
τὰ κατὰ σκοπὸν ἐκπλη-
ρῶσαι, ἐκεῖθεν ἀπαναχθεῖσα,
περὶ τὴν τῆς σκέψεως μο-
νὴν τίθεσθαι· κακεῖ δὲ τὰ ὅ-
μοια δράσασα· καὶ τοῦ πολ-
ἐνδιαίτημα σμικρότατον

πάνυ ἐργασαμένη· ὡς αὐτὴν
ὀρθίαν μόλις ἵστασθαι δύνα-
σθαι· καὶ τὸ δέρος αὐτῶ ἐσορ-
γιαμ πού τάχα ἐκτείνεσθαι,
ἐκεῖσε σφοδρότερον ἅπτε-
σθαι τῶν καμάτων· ἅμα τού-
τω εἰς ὀξεῖαν ἢ κατὰ ἐπιδιδοῦ-
σῃ τῇ ἀρετῇ· ἄλλως τε καὶ γηρω-
ρίσασα ἦν, ὡς θᾶττον ἐφάναι
αὐτῇ, πρὸς τὸν πάλαι ποθού-
μενον ἀναλῦσαι Χ(ριστό)ν· ἐνθένδε
Τοι καὶ ἡ ἀσιτία ἐπὶ μᾶλλον
αὐτῇ ἐκρατύνετο· καὶ ἡ προ-
σευχὴ ἐν χείλεσιν ἦν ἀδιάλει-
πτος· ὥστε καὶ πλείστας ὅλ-
ας ἡμέρας διανυκτάζειν· ὅλην
ἐξεχομένην τῷ πόθῳ πρὸς
οὐρανόν· καὶ ταῖς ἐκεῖσε τῶν
ἀγαθῶν ἐναποτρίζεσθαι καὶ ἐγκα-
λλύνεσθαι· ἦν καὶ γὰρ αὐτὴν
ἰδεῖν· ἣν καὶ οὕτως εἰ χρὴ ὅ-
λην κεχηνυῖαν πρὸς ὕψος·
Καὶ ἀκλινεῖ τῷ ὄμματι, ἀμε-
τεωρίστως τοῦ σώματος
ἔχουσαν· ἱδρῶτι περιρρεο-
μένην ἀπείρω τὰς χεῖρας
ἐκτάδην· οἷα τισὶ χρω-
μένην πτεροῖς· καὶ τὸ κάτω
βρῖθον τοῦ σώματος ἀνέλκειν
πειρωμένην πρὸς τὸ πο-
θούμενον· τὸ δ᾽ ἐδάκρυον
ὕδωρ ποταμοῖς αὐτῇ ἔρρει·
ὥσπερ ἐμπυρουμένην· ἢ μᾶλλον
ἀναπτερουμένην τῷ πόθῳ·
Καὶ τοσοῦτον χρόνου·

Τοῦ ἀληθινοῦ νυμφίου, ὡς πορ-
ρωτάτω καθεστηκέναι· ἐν
φωνίᾳ δὲ καὶ τὸ πρόσωπον
ἦν· καὶ ἐνθερμοτέροις μετὰ ἀκτῖνος
αἴγλης φωτὸς· ἀθέατον
καθεωρᾶτο· χόρτος δὲ κατὰ
ψιλοῦ τοῦ ἐδάφους ἦν αὐτῇ ἡ
στρωμνή· ὃν ἐπισείσαντο ἡ
αἱ διακονούμεναι ἐναλλάτ-
τουσαι, σκωλήκων καὶ ἰοβόλ-
ερπετῶν ἀρεσκόμενοι κτη-
ριον· ἐνώκιζε δὲ αὐτὴ μοι κελλα-
χίσω καὶ ὅτων σιδηρῶν δεσ-
μός· ὃν ἐνίγημεν ταῖς σαρ-
ξὶ περιέφερεν, οἷα τινα χαλι-
νόν· ἐνδ᾽ οἰκεῖα ταύτης σαρκὸς
ὡς ἔθος σκιρτήματα· ὅς τῷ
μακρῷ χρόνῳ κατιωθεὶς· καὶ
ὅσον ἐνῆν ταύτης σαρκὸς πε-
ριελεῖ χρήματι ἐκδαπανηθεὶς,
ἐκκεχυμένην εἰς μῆκος ἐξεβ.
ὄζων καὶ ἀποφοράν τινα οὐκ ἀ-
θηνὸς ἔφερε τῷ· ὡς δὲ τῷ πο-
λλῷ χρόνῳ κεκμήκει· καὶ
τῷ τῆς ἀσκήσεως ὡς ἀνενδότω·
ὡς γὰρ ἀλλοτρίω παντάπασιν
χρῆσθαι τῷ σώματι· ἐδεδίει
αὐτὴν καθῆραι μὴ φάσμα
εἶναι τῇ τῶν ἔργων ὑπερ-
βολῇ, ἀλλ᾽ ἄνθρωπον πρὸς τὸ κατ᾽
εἰκόνα ἐπαναγόμενον· ἐκά-
λει δὲ αὐτὴν ἄνωθεν ὁ δεσ-
πότης· ὁ γὰρ τῶν στεφάνων
ἐπέστη καιρός, τί μη...
Ὑποδρ... τὸν ἄνιμο

Τ

ὄρθμα χθὸν τοῖς παλαιώσ-
μασιν· ἀκμάζουσα δ᾽
ὅμως τῇ προαιρέσει τῆς
εὐθύτητος τοῦ καλοῦ, τοῦ μὴ
συντόμου ἀπιέναι· καὶ ἀκη-
τῇ φθορᾷ· ἢ πρότερον καὶ
ἁβροτέρα φανεῖσα ἀδά-
μαντος· καὶ λανθάνει τοῖς
ἀφέρπουσα τοῖς ἔνδον
χειρίστη δι᾽ ἀθέσμοις ἡ ἐρημία
λίαν ἀποχαρώσα, μόνος δὲ
μὴ περιπίπτει· καὶ κατὰ
μικρὸν τρόμος· εἶτα πά-
ρεσις ὅλη μελῶν· καὶ ἀλ-
γησία προσεπιγίνεται·
ἐφθηνίεν γὰρ αὐτὴ καὶ πρό-
τερον τὸ σῶμα τοῖς μα-
κροῖς καταθεὶν καμάτοις
ἐκλαπαρνήσασα, ὥσπερ
δὴ ταῖς καὶ ἄρνηται· τῶν γὰρ
τῆς κατὰ γῆν ὁδῶν. κομι-
δῇ τε καὶ χαμαιζήλω, ἀμφο-
τέρας τὰς κνήμας ταῖς
πτέρναις κατὰ τῶν μηρῶν,
κολλᾶσθαι ξυνέβαινεν, ὡς
μὴ δ᾽ ἀλλήλων ἔχειν ἀνι-
στασθαι· τοῖς δὲ τῶν γονάτων
Τυλογοτ ταῖς συνεχέσι προσ-
κλίσεσιν, εἶδες ἂν ἐκ τραχύ-
νομένοις σφόδρα, καὶ ζώου
μᾶλλον, ἢ ἀνθρώπου τὰ προσδιε-
φέρειαν· ἢ λεπτυνθείσης· τὸ δὲ
τῆς κόμης αὐτῆς μέτωπον, καὶ
τὸ ἐπὶ γυμνοῖς τοῖς ποσίν.
ἐν Ἑλλήνων καὶ ταῦτα, τοῦ

Ε

Βορέου δὲ ἀνέμου καὶ δεινοῦ
πνέοντος, καὶ τῷ κρύει πε-
ἰ πταρομμίζασκάζοντος
ὅσον δ᾽ ἀρρενοῦν τε καὶ γηρο-
τόσον ἄν τις εἴποι πρὸ
κατάρυσμον σώματος· ὅπει-
γοῦν αὐτῇ· προσῆκεν τὸ πᾶν
μέρος· καὶ δὴ τῆς σιμάδος
ἀκίνητος ἔμενε· μόνη δὲ
τῇ γλώσσῃ ἀντὶ πάντων
ἐκέχρητο πρὸς θεόν, ἀχοῖνος
μένων πόθον ἐξαρτηθεῖσα,
καθεῖτο· ἧς ἐξεχομένη
μόλις μηδὲ κινεῖτο, δέησι-
ν τοῖς προσλόγοις ἦκεν, πὰρ
ὅσον δὴ τὴν νόσον συνεῖχεν.
ὁ μὴν ἀγὰρ μελιστῶν ἐσω-
κεῖτο ἀντρόν, ἀνδρῶν. γυ-
ναικῶν· τῶν ἐν ἀξιώμασι·
τῶν ἐκ τοῦ ἱεροῦ καταλόγου·
ἐκ ὀλίγον δὲ καὶ τῶν ἐρημά-
σκησαν διαπρεπόντων π.
συνδραμόντων· τὴν ἱερὸν
ἐκείνην φημίδιαν προσ-
θεν διαναιρούσαν· ὡς τῶν
καὶ ἀποτηρηθεῖν ἐπιμελ. καὶ
ἡ ἡμέρα παρῆν· καθ᾽ ἣν
πρὸς τὸ πάλαι ποθούμενον
διαναίρειν ἐδόκει τῷ κρά-
τορι, ὃν δὲ ὄνομα δὲ εἶχε Μηνᾶ
ὁμοδήμιος· ὅτε δὴ καὶ τὸ
τῶν ἀσωμάτων συναξίν
ἐπιτελεῖν εἴθισται· αὐτὴ δ᾽
ὁ χρόνος ἐς ἑβδομήκοντα.
ἐρρωσθέντος, ἐπεραίνετο.

Παρῆσαν μὲν οὖν οἱ τῆς ἄνω χορο-
στασίας· πρὸς ἑαυτοὺς τὴν
μακαρίαν μετακαλοῦντες·
ἔχηπτον δὲ καὶ οἱ τῆς γεηροῦ-
σίας συνῆσαν· οὐ κἂν εἴ τι
καὶ γένοιτο μεθῆσαι δια-
πειρώμενος, καὶ τῆς ψυχῆς
ὡς ἐκ καθ' ἑκάστης δ' ἠθρούντας
δοι λαμβανόμενοι· ἤδη δ' ὅλη
τῆς ἀνόδου γενομένη
μετὰ φρονήσεως ὅσης τὰς
χεῖρας διαπετάσασα ἀφυ-
εῖται καὶ ἐς τὸ στῆθος κατὰ σχῆ-
μα περιαγαγοῦσα σταυροῦ· καὶ
τοὺς πόδας ἠρέμα διατεί-
νασα καὶ εὐσχημόνως· ἤδη δὲ
ὥσπερ τὰ ὄμματα μύσασα·
καὶ τὸ στόμα κατὰ χώραν
ἔχειν οἰκονομήσασα, χερ-
σὶν ἀγγέλων τὴν μακαρίαν
ὡς ἀφῆκε ψυχήν· ἐσέμνη δ' εἰς
Αἴγλη φωτὸς· καὶ ὑπερφυὴς
λαμπηδὼν· τῷ προσώπῳ
αὐτῆς αἴφνης περιεχύθη·
καὶ τὸ δωμάτιον ἅπαν τῆς
λαμπρότητος· καὶ τῆς πε-
ριουσίας τῆς ἐκεῖθεν ἐκ-
πηδώσης αἴγλης ἐνεφο-
ρήθη ὡς καὶ πάντας τοὺς
συνειλεγμένους ἰδόντας
ἐπὶ στόμα πεσεῖν, καὶ μηδ'
ἀτενίζειν τῷ προσώπῳ
αὐτῆς δύνασθαι· ἡ μέν τοι
πρόσθεν ἐκδημία τῆς μακα-
ρίας· περαιλαμοῦσα, φθά-

(41)

ναμὲν τὸ πλῆθος, καὶ ἑαυτ-
βασιλέα ἀνέτρεχε· καὶ αὐτίκα
πάντων, ποταμοῦ δίκην ῥέ-
οντος ἦσαν· οἱ ὁμένοι τὸ
φαῦσαι τοῦ θείου σκήνους ἐκεί-
νου, πρὸς τὸ δοκοῦν ἑκάστῳ,
ὀνήσιμον τιμὴν ἀξιοῦσθαι· μέν-
τοι γε καὶ τοῦ σκοποῦ, οὐδα-
μῶς διημάρτανον· πολλοὶ
μὲν παραλελυμένοι ἄλλοι
πορνήρως τῶν σκελῶν ἀχρο-
πηροὶ ἕτεροι· οἷς δὲ καὶ χρο-
νια νοσήματα· τὴν κεφαλὴν
καὶ τὰ στέρνα· καὶ ἄλλα ἄλλ-
οι ἔχοντα, θᾶττον ἐλύοντο· ἀ-
ναι καὶ δαιμονῶντες ἦσαν
ἐκεῖ· οὐ μέντοι δαιμονώντων
καθαρὸν χῶρον· ἀλλ' ὡς ἀμή-
λεπτοτε παρὴν αὐτοῖς ἐνό-
χλουν, δοξάζοντες θεὸν καὶ
θεὸν ὑπέρεφον· ὁ δὲ βασιλεὺς
σὺν τῇ γυναικὶ θεοδώρα πα-
ραγενόμενοι· θαυμαστὲ ὅλ-
μετ' οἱ καὶ ἐκπλήξεως γέμον-
τες, ποταμηδὸν κατάχεον δά-
κρυα· οἵου καλοῦ ζημίαν ὑ-
πέστησαν ὀδυρόμενοι· ἡ γὰρ
μὴν βασιλὶς θεοδώρα, καὶ
ἰδίαις χερσὶν αὐτὴν περιστέλ-
λει· τιμῶμένη μᾶλλον ἐν-
τεῦθεν, οὐ τιμῶν οἱ ὁμὲν ἱκ-
τὴν θεραπείαν· καὶ τὸ ῥάκ-
ὃ περιμένει λῆσθαι συνῆται
μετὰ τῶν ἀνδρεί καὶ βασιλίσσοιον
ἱμάθυρεον περιτίθεσθαι

σταμένων· βασιλεὺς δὲ καὶ
οἱ περὶ αὐτὸν συμπᾶσα θερα-
πεία, τὸ τίμιον ἐκεῖνο μέ-
γαλοπρεπῶς μάταια καὶ ὅσοι
περιστείλαντες λείψανον,
οἱ ἄρτι μαθήσαντες ἐκεῖσε ἐπὶ
τὴν γῆν κατακρύπτουσι· τὸ
τῶν οὐρανίων θαλάμων ὡς
ἀληθῶς ἄξιον· ἀλλ' οὐκ ὀ-
πιπολὺ κρείττων τοῦ τοσού-
των ἀγίων θεοβουλήτου· καὶ
τοσαύτης ζημίας τὸ αὐτοῦ
ἔθνος ἀναπιμπλᾶν· θαυ-
μάτων γὰρ ὅτι πλείστων
ἐκεῖθεν ὡς ἀπὸ πηγῆς
ῥεόντων ἐξάγεται· τὸ μηδαμοῦ
κρύπτεσθαι ἄξιον· καὶ τί
λέγειν ὅσα δὴ ταῦτα τῶν παραδό-
ξων καὶ διειργάσατο τοῦ μα-
κροῦ χρόνου· τὰ μὲν πλήθη πα-
ραδεδωκότος· τὰ δὲ τῶν ἔτι
πλήθη καὶ μαθητάς, αὐτὸς κρατ-
εῖν ποιοῦντος ἡμᾶς· ὥστε κα-
τέχειν τε καὶ τὸν χρόνον οἱ μα-
διηγουμένοις τὰ ὑπερφυῆ
αὐτῇ τελεσθέντα· ὅσας μὲν
ἀτεκνίας συνεχομένας δε-
μοῖς, τὰς μήτρας διαρραγείσας
μέρας εἰργάσατο· ὅσοις θηλά-
ζουσι καὶ ἄλλοις παιδικοῖς
νοσήμασι προσπαλαίουσι
καὶ θανατῶσι μικροῦ, τὸ ζῆν
ἐχαρίσατο· ὅσων δὲ τὰ μάτια ὠτ-
της διέλυσε· καὶ ὦτα κωφά
ἠνέωξε, ὑπήνοιξε τὰς ἀκοάς

Καὶ τὰ χώραν μὲν ἀμείψασα
καὶ τἆλλα· ἃ μακρὸν ἂν εἴη δι-
έρχεσθαι· ἀλλ' ἡ μὲν ὡς τῶν ἐκ-

Πάλαι γὰρ ἐρημουμένων τέως ἀφο-
μένοι, ὥστε τὰ τοῦ καθ' ἡμᾶς
χρόνων τῇ μακαρίᾳ μνήμῃ,
τὸν τοῦ λόγου ῥοῦν τρέψομεν·
ὀλίγα τῶν αὐτῇ πεπραγμένων
ἐκδιηγούμενοι· ἵν' ἐκ τοῦ κρα-
σπέδου τὸ ὕφασμα· τοῦτο δὴ τὸ
τῆς παροιμίας· καὶ ἐκ τῶν ὀνύ-
χων γνωρίζειτε τὸν λέοντα· ἐγέννα

α

Ἡ βασιλὶς· ἡ ἐκ Παιόνων τοσοῦ-
μεν ἀπὸ δὴ ἦθεν· ἄνωθεν δὲ ἐκ
Ῥωμαίων καὶ βασιλικῶν αἱ-
μάτων τὰς τοῦ γένους ἕλκε σει-
ράς. ὥστε τῷ ἐκεῖ βασιλεῖ ἐκεῖ-
θεν· ἐς γάμου κοινωνίαν· τῶν
περιφανῶν τοῦ γένους· καὶ
τῷ ἄλλως ὡραίῳ τοῦ σώματος
ἐξελέγη· καὶ πρὸς τὸ συγγε-
νὲς καὶ οἰκεῖον πάλιν ἀνέδρα-
μεν· πρὸς παιδογονίαν
ἀνεδείκνυτο· τοῦτο ἡ μία μᾶλ-
λον ἅπαντας· μάλιστα δὲ τῷ βασι-
λεῖ ἀφορμὴν τὸ μὴν· δέος καὶ
ἐμφαίνοντος· μὴ οὕτω δὴ τὸν
ἅπαντα χρόνον μένειν ἄπαι-
δας ἐρημίαν καταλιπεῖν τὸν
βασιλέα, κἂν τὰ ἄλλα καὶ τὸ κρά-
τος οὐκ ἐν διαδοχαῖς, τὸ δὴ
πάντων βασιλεῦσι ἀρεστά-
τον εἶναι· πολλὰ μὲν οὖν
αὐτῇ καὶ παῖδες ἰατρῶν ἑτα-
ρῶν προσάπτειν· τὴν τό-

φύσιν ἐπιρρῶσαι· καὶ πρὸς
γονὰς ἀγαθὴν ἀπεργάσασθαι·
καὶ ἄλλως δὲ τὰ θεῖα ὅσα δὴ
προστατοῖ αὐτὰ δεξιῶς ἔχου
σιν ἐκ τῆς ἐλθοῦσα, μόλις
δὲ ἐπεὶ κατήκοος τῶν τῆς ὁσί
ας γενέσθαι χαρισμάτων, ὅλη
πρὸς αὐτὴν χωρεῖ τὴν ἀρχήν·
Τοίνυν καὶ τῷ λειψάνῳ ταύτης
περιχεῖται· καὶ τὰ ἄκοντα
δὲ αὐτὴ διασπαραξαμένη· τῷ
τελαίῳ τῷ ἐκ τῆς φωταγωγοῦ
ταύτης· καὶ τῶν ἱερῶν ταύτης
κρασπέδων, μέρος τῷ τρα
χήλῳ ταύτης ἀπαιωρήσασα·
καὶ ζώνῃ δή τινι σηρικῶν
προσπλακεῖσα νημάτων·
ἐκ τῆς σοροῦ ταπεινότερι τῇ
ὀσφύϊ διασφίγξασα· αὐτίκα
δὲ ἡ συλλαμβάνει· καὶ οὐ μὴν
μόνον, ἀλλὰ καὶ βασιλέως
ὠδίνας δείκνυται μήν· καὶ ὅσον
προσήκων μάλα· τῇ τε πα
τρικῇ βασιλίδος· καὶ τῇ τῆς
ὁσίας ἀρχῇ· ἐκ ταύτης γὰρ
ὁ θεῖος ἀνέθορε βασιλεὺς
Μιχαήλ· περὶ οὗ τ᾽ ἀπ᾽ ὧν διη
γήσομαι, οὐ μοι τῶν λόγων
εἶναι δοκεῖ· πλὴν ἀρκέσαν
φάναι, ὡς ἄξιος τῇ τελευτῇ
σῃ καὶ ταῖς εὐχαῖς ὡς μά
λα δὴ ὠρεγμένῃ· ὃν ἰδὼν
εἶπεν ἂν ποιητής· ὅσπερ
ὡς ἤτοι ὅς ἦεν· ἀμφότερον
βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽

ταῖς χρήμασι· Οὐ μόνον δὲ αὐτ
Ἀλλὰ καὶ ἡ βασιλὶς τῶν ὄντων
βασιλίδων· καὶ μὴ αὐτὴν δεξ
ιτελικῶν ἀπομαχεῖσα τῶν
βασιλέων· ἢ τῶν γε μεινόντων
πολλῶν ὑπερφέρουσα· τῶν
γὰρ μαρκωσίων ἦν τὸ γόμος
κατάγουσα· φύσεως δὲ ἀγαλμα
ταύτην ἂν προσάγων, οὐκ
ἄν τις ἁμάρτοι· ἢ οὐ μᾶλλον
τὴν ἀξίαν, ἢ τὴν φύσιν βα
σίλισσα· ὅτι περ τῷ τῆς ἀ
σεβεῖ ἔρωτι· καὶ τῶν λογισμῶν
ἀτίμως ἀληθῶς βασίλισσα,
Καὶ τὸ αὐτοκρατὲς ἐπεὶ πᾶσι
ἐμφαίνουσα, ἢ τῇ κλήσει κα
τ᾽ ἄλληλον, καὶ προσφυῶς ἡρ
μοσμένην καὶ τὴν πρᾶξιν
περιέχουσα· τὴν θαυμασίαν.
Καὶ αὐτὸ δὴ τοῦτο ἐρῶ· ἵνα
οἶδ᾽ ὅτι πάντες ἂν ἐγνωτο.
Καὶ αὕτη τὸν ἴσον τρόπον πρὸ
γονὰς τὸ κατ᾽ ἀρχὰς ἀφυῶς
ἔχουσα, ἢ πρὸς τὴν μακαρίαν
εὐφροσύνην φορῶν καὶ ἀμέα
θεῶ καρδίαν, μὴ καὶ αὐτὴ δεί
κνυται· καὶ παίδων πλάτω
τε καὶ καλλίστων πρᾶτον βα
σιλέα ποιεῖ· Ταῦτα οὐ μόνον
αἱ τῆς Ῥωμαίων ἡγεμονίας
ὑπήκοοι διηγοῦσαι· ἀλλὰ καὶ
αἱ τῆς περὶ ὑπέρας ἐθνῶν
ἄγνοιαν ἔχουσαι· περιαδ
όμως οὖσαι καὶ ἀγόμενοι χρό
νοις μακροῖς· πολυάσαι

β

γ

Καὶ πιστεύειν ἐπιχαλῶσαι τῶ
πόθω· φέροντες τὸ ἐκ τῆς
φωταγωγοῦ μετακομίζουσι·
καὶ ζώμας δή τινας ἐκ σηρι
κῶν νημάτων ἐπικλωσθεί
σας· αὐτῶ τῆς ὁσίας δι᾽ ὅ
μετὰ περιβολῆς σαρκικῆς ὥστε·
ταύτας δὴ πίστει περιζω
σάμεναι· καὶ στεγαίω τῶ ταύτης
σώματι τὸ λύπημα ὑπερι
χρίσασαι, παραυτίκα
μετὰ τῶν οὐκ ἀγεννῶν ἀμειφα
μησαν παίδων· τὸν τῆς
φύσεως δημιουργόν· καὶ
τὴν αὐτῆς θεράπαιναν μεγαλύ
ἀφροσύνης ὅσης ἀναφη
μοῦσαι· πλὴν ἀλλὰ τοῖς
γε καταμέρος ἐπιδεξιέναι,
ὅσοις· καὶ τοιούτοις δὴ τὰ
ἑτέρου αὐτουργὸς θαυμάτ(ων)
ἐξαισίων ἡ μακαρία γνέμης·
ἐμοὶ μὲν οὐκ ὡραῖον μέ
μοι τὸ ἐπεξελθεῖν· πολλὰ τε
ὄντα καὶ ἀγχύφυσιν ἐκκαί
νοντα· πλὴν ὅσον δεῖγμα τοῦ
χαρίσματος ἰαχὸς· καὶ ταῦτα
προσθήσομεν· γυναῖόν τι
λαϊκὸν πανταχῆ καὶ ἄπορον·
δ Δὲ ἐκ τῶν τῆς ἐπιμενόντων ὁρ
μώμενον· ἀγρίω δέ τινες
παιδίου τῆς ἡλικίας προσπ
λάσον ὑπὸ δαίμονι· ἐπεὶ τοί
νυν οἱ προσήκοντες· ἐπεὶ
πάντα πράττοντες ἀπείρη
κεσαν, πρὸς αὐτὴν τῶν λεί

ψάνων σορὸν τὴν λαμπρὰν μάρτυρος
λάμποντος ἀνθρώπου τῆς κρί
σεως φέροντες ῥίπτουσιν· ὡς
ὡς δὲ ἐπὶ πολὺ ἐπιρρεῖ τοῦτο
τῶ τόπω ἐμβριαστός· καὶ ἡ παῖς
ἐν τοῖς ὁμοίοις μάλιστα ἦν·
νυκτὸς ὁμαρὸρρα· γυναῖκα τινὰ
καταμοναχὰς ἀπροσωπ
ἐπαλμένην· ἤδη καὶ παραστ
ταύτη· οὕτω δὲ τῆς τυχῶς ἀχούση,
ἀλλ' οὐκ ἐνταῦθα σοι ὥρισται μέ(ει)
τὸ δαιμόνιον ἀπορρίψαι· ἐπει
δ' ἐσχάτη ἀπορία συζῆς, παρὰ
τὸν ἐπιμονοικονόμου· ἀλλὰ
ὁ τὸς ἐστίν· καὶ αὐτίκα λήψη
τὴν θεραπείαν· ἐπειδ' οὖν προ
ἀνήκεν αὐτήν, ὁρμῆ ἀπροαι
ρέτω τινὶ ἐνθενκἀκεῖθεν πε
ριφερομένη, παρ' αὐτὴν θήκη
μετὰ τῆς θαυμαστῆς Ἀφρο
σύνης· ὡς δ' οὐδὲν ἔσχηκε τὸ τό
μιος, τὸ δαιμόνιον φοβηθὲν
ἐπιθέμενον τῆ παιδί· ἀνα
τε καὶ κατοικῆσαι· καὶ αὐτὰ
κτω περιφορᾶ, πανταχοῦ δι
ατρέχειν τὸ τέμενος παρε
σκεύαζεν· ἱκανῶς οὖν ταύτη
ἐπιδράξαν· καὶ τρόμοις ἀπρο
αιρέτοις σφοδρῶς ὑποβαλὸν,
μόλις πρὸς τῆς ὀρθῆς τῶν
λειψάνων φέρον ἐπικατα
ρίπτει αὐτήν· ἀφρὸν τινα
σιελώδη καὶ αἱματώδη τοῦ στόματος
ἀπορρέουσαν· ἐκεῖσε τοίνυν
τὴν ἡμέραν ὅλην προσδιε

Καὶ ὅτι τῆς μυλικτὸς πλάδον δι-
αρροῦσα, πρὸς ὕπνον δὴ τὴν α-
τρέπεσθαι· καὶ ὁρᾷ τὴν ὁσίαν
ἐρχομένην ὡς τοῦ κιβωτίου
ἐξελθοῦσαν· καὶ παρ᾽ αὐ-
τὴν γενομένην, ἐπιτιμᾶν
τῷ δαιμονιώδει ἐλθεῖν· ὡς δὲ
ἡ πονηρὸν ὑπήκουσε· τὴν χεῖρα
μέχρι τοῦ ἀγκῶνος διαχαρά-
ξασαν κατὰ μέσου τοῦ στόματος·
περὶ τὸν θώρακα ἀγαγεῖν· καὶ
διαψηλαφῶσαν τὰ ἔνδον μοι-
ον τι γὰρ αἱμῶν ἐν τοῖς σπλάγχνοις
ἐπικαταλαμβάνειν· καὶ πιέζου-
σαν ὅσον τάχος, πρὶν ἢ μόνην
αὐτῷ ἐπιστῆσαι, καὶ οὕτως
ἔχουσαν ἐξαγαγεῖν τε καὶ ἐπὶ
τοῦ ἐδάφους καταβαλεῖν
σπαίροντα· τὸ δὲ γύναιον,
αὐτίκα αἷμα ἀθρόον ἐμέσα-
σαν καὶ ὀδυνώδης, παραυτὰ
σωφρονοῦν ὁρᾶτο· μηδὲν
ὧν πρότερον ἔπασχεν· κἂν
ἐν σχήμασιν ὑποφαῖνον·

ε Τοῦτῳ δὴ παραπλησίως τῷ
τεραστίῳ, μοναχή τις ἄλλη πα-
ρην, ἐκ τῆς μονῆς ἢ τοῦ λειχό-
λη οὕτως ὀνομάζεται· ἢ τινι
κώφωσις ἀμφοῖν ὠτίοιν προ-
σῆν· θαμινοῖς γοῦν ἐκ τοῦ ἀσ-
δὸν πλησθεῖσα, ἀλλ᾽ οὐδ᾽ ἄλλων
φησὶ γενοίμην τοῖς οἴκαδε·
ἅμα τὸ λείψανον ἐνθάδε ἰδία
ἐρείσασα. ἐρρωμένοις ὠσὶ
πᾶσα θαυμάσια μὲν ἀφρο-

Φ

σύνη διαθρυλλεῖ· χρόνος
γάρ μοι ὀξήκει ἕβδομος ἤδη
προσταλαιπωρούσῃ τῷ πάθει·
καὶ ἰατροῖς ἅπαντα τὰ ἐμὰ
ἀναπαρὴν καθίσταται· εἶπε·
καὶ τὴν μυρῶ κόρον ἱκέτευε·
τῆς σοροῦ τὴν κλεῖδα τῶν ὠ-
τίων αὐτῆς ἐπιμαλάξαι· καὶ ὁ μὲν
ἐδίδου· ἡ δὲ μοναχὴ προσε-
λαβομένη· καὶ τὸ κλειδίον τῷ
ὠτίῳ ἁρμοσαμένη, τῇ πα-
λάμῃ αὐτὸ ἐπεθρίζε· μὲ-
ρον οὖν ἠρεμήσασα πρὸ-
ς ὕπνον ἀθρόως τρέπεσθαι· καὶ
τὴν μακαρίαν εὐθὺς ἀφρο-
σύνην ὁρᾷ· τὴν μὲν δεξιὰν
δ· τοῦ σταυροῦ σημεῖον τοῖς ὠσὶν
ἐπιβάλλουσαν· θατέρᾳ δὲ
εἶδος τι θυμιάματος περι-
φέρουσαν· στρογγύλον μάλα
καὶ ἡδύ τι ἀπόζον· καὶ φησί·
διὰ τὴν σὴν ἄκραν φημὶ πίστιν·
καὶ τὴν ἐλαχίστην ταύτην, πλὴν
ἐκ πόθου σὴν τοῦ θυμιάματος
προσφορὰν, ἰᾶται σε τῇ χάρι-
τι τοῦ Χριστοῦ· καὶ αὐτίκα διαθρο-
ισθεῖσα· καὶ τῇ ἀκοῇ τῆς
κλειδὸς μέγαλον τινὰ οἷον
θεῖσα παθεῖν· ἡδίω τινὰ κρ-
ατεῖον· τὸ πάθος ἀπήλλακται·
ἦχον δή τινος σκεδασθέντος
διαρρυέντος· ἐπεὶ δέ τις.

Καὶ αὕτη μοναχικῷ λαμπρύ- ς
νουσα σχήματι, ἐπὶ πολλοῖς
ἔτεσι τὸ λοξίον οὖς διαλα-

ἧς
βυθισθεῖσα· ὕστερον μοχθη-
ροτέρας ἐπεισκηψάσης
αὐτῷ, ἐπέσχε· βολβὸς δὴ ἦν
ὁ πρὸ τῶν ἄλλων αὐτὴν ἐνο-
χλῶν· τὸ γὰρ πρόσωπον αὐτῆς
ἀριθμῷ τῆς ὀδύνης διατρι-
πτομένη ἠχὼ τοῦ κόμμου
προσελογίζετο· ἀμέλει τοι
καὶ πολλὰ πρὸς ἰατροὺς
ἀναπαρήσασα, ἐπεὶ χεῖρον ἐν
ταυτῷ ἠδύνατο τὸ καλυ-
πτοῦν, τὸ καθορᾶν μόνον τὸ
χεῖλος ὂν αὐτῇ πρὸς χεῖρ
μεταρρέοντα ἰατρῶν·
τοὺς γε μὴν ῥοίζου μὴ δαπάν
διακούειν· τῆς τοῦ κόμ-
βου ἠχοῦς, ἐπιποθοῦν ἐκεῖν
μάλα καθικομένης· οὐ
δὲν δὲ αὐτῇ μὴ ἰάσιμον καὶ
τῶν ἱερῶν ἀπολέλειφθαι.
Τέλος ἀπαγορεύσασαν ὑ-
πὸ δὲ τῆς κρυσταλλίνης σχήματι,
ὡς ἐκ λαβοῦ μου δέ τι δάκτυλος
ἧκε τοῦ θαυματουργοῦ κλήμ-
τος· ἀντὶ τοῦ λαμπάδος μὲν
τοῖς τοιούτοις νοσήμασι·
ὁ δὲ τοῦτον μνημεῖον ἀγαγὼν, πα-
ρὰ τὸν τῆς ὠπαίνης ἐπὶ
νόσον, Νικολάου τοῦ μυρο-
βλύτου· ἡ δὲ πιστεύσασα ῥᾷ-
ον ἄρχειν· ἐπεὶ ἔγε γὰρ αὐτὴν
ἀρχὴ κίνα τὸ δεινὸν, συγ-
κρατῶν ἐν θεῷ ἐν μνήμῃ λίμου,
ἀφάσματι, τῇ παιδὶ τῆς
τῆς ἐδίδωσι· πρὸς κατάλλα

ε
βῆναι τε καὶ ὡς οἷον τε κατα-
γνώριον δὲ ἄξιον αὐτὴν ἀπρε-
πῆσαι· λοιπὸν ἐδεῖτο καὶ αὐτὴ
διατριβούσης ἑπτὰ καιροῦ,
τὸ λυποῦν ἀποθέσθαι· καὶ
ἡμέραν, ὡς τάχος ἀπῄει· ἤδη
μοναχικὸν τὸ τὴν δὴ καὶ αὐτὴ
ἐξιοῦσα, οὐ πάνυ πόρρω προ-
ῄει· καὶ ὥσπερ ἔξω φερομένων
γενομένη, καὶ ἄλλην ἠρεμεῖν
τρέχειν τοῦτο δὴ τὸ τῆς
παροιμίας, ἄλλην ἐνιάδιζε.
ἔνθεν δὲ κἀκεῖθεν ὀλωλυ-
μόλις ἡλίου κατὰ κορυφὴν
ἑστηκότος ἐνθάπτον τῆς ὁσίας
ἐκεῖ τὸ λείψανον, γέγονε· ἐ-
Κεῖσε δὲ δῶρον ἑαυτὴν γενομένη·
καὶ σὺν δάκρυσι ὅλην ἀναπαφα-
μένη τὸ πρὶν φιλόστοργον.
Καὶ ἱκεσίαν ὅτι πλείστην
ἐκχέασα τὸ παμοικτήριον
τῆς λάρνακος· τῷ παρόντι
μετὰ προσεπιθεῖσα, ὅλη ἐκ τοῦ
σχεδὸν ὑγιὴς ἀναδείκνυται·
κτύπον τινα ἐξαίσιον τῇ
τῆς κλάδος ἐκ μολὴ διακού-
σασα· ἄθροος δή τι μοσχάριον
καὶ ὅσον ἠπότου· ἐκεῖθεν
θεία δυνάμει ἐκφυσηθέντ
τὶς ἣν ταύτην τὴν μορφὴν, καὶ
ῥάδιος τις ἐκεῖ χαλάσασα τὴν τοῦ
γενομένου κατ' ἄλλων ἀλλάξειν,
ὡς φθῆναι παθῶν· ἀλλὰ περὶ τῆς
ὁσίαν τὴν ἴασιν· μᾶλλον δὲ
ἐκ πολλῶν ἀγόμενα τί φιν

ἐπιδεξάμενος, τῷ μόλις
ἀπηλλάγημαι, τῆς θεραπείας
οὐκ ἀστοχεῖ. ἐπολέμει τοῦτο
Δὴ τὸ τῆς κωφώσεως πάθος. τὸ
ἀλλ' αἰτεῖ σιγῶσα ἐξῆν, περὶ τὴν
μισῶν διατρίβουσαι Φλώρου
καὶ Λαύρου τοῦ μάρτυρος. ἀλ-
λ' ἐπὶ τοσοῦτον ἦν αὐταῖς ἐμεδρασμένον
τὸ πάθος, μηχεῖς οὖν παρὰ τῆς σορῶ
τῆς ὁσίας γένοιντο εὐφροσύνης.
ὡς δὴ κοινὴ καὶ τὰ ὦτα τοῖς πο-
σὶ τῆς ὁσίας ἐπέκλιναν, εὐ-
θὺς αὐτῶν ἐπακούει. καὶ εὐ-
φροσύνης ὅτι πλείστης παρὰ
τῆς θαυμαστῆς εὐφροσύνης
ἐμφορηθεῖσαι, τῷ τῆς λήμης
τῶν ὤτων ἀποκαθᾶραι τῇ
προσψαύσει δὴ καὶ μόνῃ, οἳ
καὶ δὲ ἐπανήεσαν. οὐ μόνον
τὴν ἀκοὴν ἐρρωμένην κτη-
σάμεναι, ἀλλὰ καὶ πρὸς τὸ
βέλτιον μεταρρυθμισθεῖσαι,
μὴ φαύλων ῥημάτων τοῦ
λοιποῦ ἀκοὴν ἐνδοῦσαι. εἰς δὲ
ξαθαι πώποτε τῇ ὁσίᾳ ἐπα-
γγειλάμεναι. ἐν ᾗ δὲ ὁ προ-
αχθεὶς, τοῦ λοιποῦ καταπαύ-
σω τὸν λόγον. γυναικί τι-
Νι, Θεοδώρα τὸ αὐτῇ ὄνομα,
αὐτὴ ἐκ τῶν χυμῶν πονη-
ρῶν τὴν τοῦ σώματος πλάσιν

εἰς οὐ καλαγαθὴν μετασκευασ-
μένη τὴν ὄψιν. κἀντεῦθεν νό-
σῳ περισχεθεῖσα δεινῇ, καὶ
ἐφ' ἱκανοῖς τοῖς χρόνοις πολλαῖς
ταλαιπωρήσασα, ἀκινήτως εἶχε τὸ
πάρεσιν ἐπάσχετο τῶν μελῶν.
ὅσα καὶ λίθος ἐπικλινὴς διὰ τὸ
κάμνειν. ὡς δὲ πολλὰ μὲν
ἰατροῖς δαπανήσασα. πλεί-
στην δὲ καὶ ἐν ἱεροῖς τὴν μεγα-
λοψυχίαν ἐνδειξαμένη, ἥκιστα
τῶν πρὸς ἔφεσιν ἀπελάμβανεν.
ὡς ἐπὶ τὴν τελευταίαν ἄγκυραν,
τὴν σορὸν τῶν λειψάνων τῆς
θαυμαστῆς εὐφροσύνης προσφεύ-
γει. καὶ ἥκιστα τῆς ἐπιμονίας ἥμαρ-
τανεν. ὀλίγων γὰρ διεληλυθυιῶν
Ἡμερῶν, ἠρέμα καὶ κατ' ὀλίγον
τὰς ἁρμονίας ἀνίετο. εἶτα καὶ
μετετίθει τὰ κῶλα. καὶ ἐν βραχεῖ
τῷ χρόνῳ κατὰ τὸν ἤπιον βήματι
ζουσα ἦν. ὕστερον δὲ καὶ ἐπὶ
πᾶσαν τὴν ἁρμονίαν, κατὰ χώ-
ραν εἶχε κείνου μένειν ἀλύπως.
καὶ ἡ πρὶν φόρτος τῇ σορῷ προσ-
ριφεῖσα. τοῖς οἰκείοις ποσὶ χρω-
μένη πρὸς τοὺς οἴκους μετεχώρει
διατειβάς. μηδὲν τι λείψανον
ἐπαγομένη τῆς νόσου. τοῦτο
αὐτὸ καὶ τῇ μοναχῇ. Ἱερομπαι-
δ' ἐπὶ τῶν μονῇ ἦν, ἴαμα εἴ τι
φθόνοις πάθει τε καὶ νοσήμα-
τι. πλὴν ὅσον ἐκεῖνο μὲν χρόνι-
ον ὄν, θᾶττον τῇ ὁσίᾳ τεθαυμα-

τουργοῖτο. τὸ δέ, πρὸς ὀλίγον
ἐμφιλοχωρῆσαν, πολλοῦ
τε μόνος ἐδεήθη χρόνου πρὸς θε-
ραπείαν. ἀλλὰ καὶ γάγγραινά
τις ἀφημία τοὔνομα, μιᾷ
τινὶ τῶν ἐπὶ τῆς σκέπης μοναχῶν
τὰ πρὸς χρείαν ὑπηρετοῦσα,
τὰ περὶ τὸ στόμα δεινῶς ἐπάσχου-
σα, ὑπ' ἀγρίοις δή τισι ῥεύμασι
τοῖς μὲν ἐκ κεφαλῆς χωροῦσι·
κατά τε τῶν ὀδόντων τῶν αὐτῶν
ὡς καὶ τὰ περὶ αὐτὰ σαρκώδη,
ἑλκοῖ βρύειν· καὶ πᾶσαν τὴν
ὑπερῴαν ὑφαιμόν τι καὶ
δαιμόνιον ἐξανθεῖν· τοιοῦτο ὀδόν-
τας ταῖς τῶν ῥευμάτων ἐπιρ-
ροαῖς ἐκκρούεσθαι τῷ δοκεῖν·
καὶ τῆς ἕδρας ἐξίστασθαι· καὶ
διαβρωθῆναι σύμπασαν τὴν
οἰκονομίαν τοῦ στόματος· πᾶ-
σαν ἀνθρωπίνην ἐπίνοιαν
ὑπερωθουμένη, ὅλην τὴν ἐλπί-
δα τῇ τῆς ὁσίας ἐξῆρτα πρεσβεί-
α. καὶ οὐ παρὰ τὰ πάσης τῆς προσ-
δοκίας ἐξίσταται. ὡς γὰρ τῷ ἐκ
τῆς σοροῦ ἁγιάσματι τὸ στόμα πε-
ρικλύζουσα ἦν. καὶ τῷ θείῳ ταύ-
της ἐλαίῳ ἐπέχρισεν, ἀναχαιτί-
ζει μὲν τὸ πονηρὸν ἐκεῖνο ῥεῦ-
μα. καὶ ἀναποδοχωρῆσαι παρα-
σκευάζει. ἠρέμα δὲ καὶ τὸ ἐκεῖ-
θεν κόμμι συγχωσθὲν ἐπιπλασθέν,
τὸ διαβρωθὲν τῶν σαρκῶν ἐκεῖ-
νο ἐπλήρου. καὶ τὸ ποσὸν ἀνωλί-
γωκαθίστα. ἀκλονήτως τε τοὺς

ὀδόντας ἑδράζουσα. καὶ πρὸς
ἄκραν ῥῶσιν τὰ περὶ αὐτὸ καθι-
στῶσα, ὡς μηδ' αἴσθησίν τινι
παρέχειν. ὡς πολλάκις ποτὲ τῆς
ὁμιλίας δεξαμένης, οὕτω
πίστεως μόνης ὑποκειμένης,
οὐδὲν τῶν νοσημάτων πρὸς
τὴν ἐκείνης χάριν ἀντιπαλαί-
σασθαι τῶν ῥᾳδίων μάλιστα
ἦν. ἀλλὰ ταῦτα μέν, οὕτως.
τὸ γὰρ περαιτέρω βαίνειν, ἴσον
ἄν τις θείη, καὶ κύμασι μέτρον
ἐπιβάλλειν. τὸ δὴ μέτρον ὅσον
ἐνδείξασθαι τὸ τῆς παροιμίας
ἐκ τῶν ὀνύχων τὸν λέοντα. εἰ
γὰρ τοῖς κατὰ μέρος ἐπεξηγεῖσθαι
πειραθείημεν, καὶ βίον ὅλον
ἐπιλείπειν οἴομαι διηγουμέ-
νοις. ὅσας πρὸς θεοῦ ἀμοιβὰς
τῶν πόνων δεδέξασαι. εἴτ-
ε φανῆναι δι' ἣν καθ' ἡμέραν
χοίη τῆς ὁσίας ἐνέργεια. ταῦ-
τα τῆς θαυμαστῆς εὐφροσύνης
τὰ ἀσκητικὰ ἀγωνίσματα.
αὕτη τῶν μακρῶν πόνων καὶ
καμάτων ἡ ἀμοιβή. τοῦτο τὸ
γέρας, τῶν κατὰ θεὸν ἱδρώτων
καὶ ἔπαθλον. οὕτως ἀντιτα-
χθεῖσα πρὸς τὰς μεθοδείας τοῦ
πονηροῦ, καὶ ταῦτα γυνὴ τὴν φύ-
σιν οὖσα καὶ τὸ ἀσθενὲς τῆς
πολιτείας τῆς κατὰ θεὸν γνώσεως
ἀρρενωσαμένη. οὐ γὰρ μόνον ἀν-
δρικῶς ἠγωνίσατο, ἀλλὰ καὶ
τὸ ξένον, ὅτιπερ καὶ τὸ σχῆμα

μεταβαλλοῦσα, μετ᾽ ἀνδρ-
ἠγωνίζετο. ἐν ἀκμάζοντι
σώματι, τὴν φύσιν μάλα
βιαζομένη. ἔδειξε γὰρ ὁ θεὸς ὡς
ἡ εὐφροσύνη τοῖς βουλομένοις
ὁδὸν τὴν σωτήριον. ἣν καὶ
ἡμεῖς ἐμφορηθείημεν, ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα
καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ
αὐτοῦ πατρί· καὶ τῷ παναγίῳ
καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ
πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων, ἀμήν:–

βίος καὶ πολιτεία τῆς ἁγίας καὶ ἐνδόξου θαυματουργοῦ βασιλίδος, Θεοφανοῦς::

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν
συγγράψασθαι διήγησιν, πε-
ρὶ τῶν πεπληροφορημένων
ἡμῖν· τῆς ἁγίας Θεοφανοῦς βασι-
λίσσης θαυμάτων. καὶ ἃ μὲν
αὐτοὶ ἐθεάσαντο, διηγήσαντο·
ἃ δὲ καὶ ἐξ ἄλλων ἀληθῶς παρ-
ειλήφασιν, συνεγράψαντο.
τὰ δὲ ἐκ βρέφους αὐτῆς προ-
τερήματα. καὶ τὴν ἐκ παιδό-
θεν αὔξησιν καὶ ἀνατροφήν· καὶ
τὰ πρὸς τὰ βασίλεια ἄνοδον· καὶ
τὴν ἐν τῷ κράτει τῆς βασιλείας
μυστικὴν ἄσκησιν, οὐδαμῶς
ἐπενοήθησαν. ἔδοξε κἀμοὶ
τῷ ἐλαχίστῳ· καὶ παντὸς λό-
γου ἀμοιροῦντι, ὡς ἔκ τινος
θείας τοιαύτης τραπέζης, τὰ ἐκεῖ-
θεν ἐκπεσόντα ψιχία, κατὰ
τὴν πίστιν τῆς χαναναίας συλ-
λέξασθαι. καὶ δὴ ἦν ὑμῖν, εἰς
ἀξίαν μὲν τὴν παραστήσασθαι
τράπεζαν. καὶ ἵνα ἀπέλθητε,
τρυφήσαντες ὄντως τὰ μὴ κι-
νούμενα. καὶ γὰρ ἐγὼ σήμερον
ἑστιάτωρ τῶν ἐκείνης θαυμάτων
ὀφθήσομαι, ὡς πατέρος αὐτῆς
φίλος τυγχάνων. καὶ τὰ περὶ αὐτῆς
ἀληθῶς διηγούμενος· ἀλλὰ
παρακαλῶ, μηδεὶς ὑμῶν τὴν
περιπέτειαν μέμψοιτο· μηδὲ
τὸ ἀτεχνὲς τοῦ λόγου προσέχων
τὸ σύγγραμμα. διὰ τὴν ἡμετέ-
ραν ἀμαθίαν· εἰς ἀπιστίαν χω-
ρήσηται τὰ λεγόμενα. οὐ γὰρ
ποιητικὴν δόξαν θηρώμενοι.
εἰς ταύτην ἥκομεν τὴν διή-
γησιν. ἀλλὰ χρέος ἀφοσιού-
μενοι ἀποδιδῶντες, τῶν
δι᾽ αὐτῆς εἰς ἡμᾶς γενομένων
θαυμάτων. ἐπειδὴ δὲ καλὸν καὶ
καιρὸς πάρεστι τὰ περὶ ἐκείνην διη-
γήσασθαι, θεῖα καὶ παναγαθὰ
διηγήματα, φέρε δὴ πρῶτον
τὴν ἐκ γένους αὐτῆς περιφά-
νειαν εἰς μέσον ἀγάγωμεν.
Αὕτη μὲν οὖν ἡ ἁγία καὶ ὄντως θε-
οφανεῖσα ἐπώνυμος. ἡ ἐκ βρέφους
τὸν θεὸν ποθήσασα· καὶ τὰς θείας
ἐντολὰς αὐτοῦ πορευθεῖσα, πα-

τεία δὲ μὲν τῷ κάτω, τὴν ναι-
δαίμονα ταύτην καὶ βασιλεύ-
ουσαν πόλιν ἔσχον· ὅτι οἱ βασιλεῖς
βασιλέως γονεῖ· καὶ τὰ σκῆπτρα
τῆς ῥωμαϊκῆς ἀρχῆς ἐν ᾗ
κρατοῦνται. ἡ δὲ ἄνω ταύτης
πατρίς, ἡ μήτηρ τῶν πρωτοτόκων.
ἣ ὄντως ἱερουσαλὴμ κατεστά-
θη· ὅτι ἡ διὰ ἀρετῶν καὶ εὐσεβῶν
κατορθωμάτων, ἐπολιτογραφή-
θη· καὶ ἐν δόξῃ ὡς τῷ θεῷ καὶ βασι-
λεῖ τῶν ὅλων παρίσταται· ἐξ αἵ-
ματος δὲ βασιλικοῦ τὴν γένε-
σιν ἔχουσα· ἐκ τῶν πάλαι περι-
βλέπτων μαρτινακίων ἐξ ὀσ-
φύος· πρὶν μὲν ἡ κωνσταντίνου
τῇ τῶν ἰλλουστρίων τετιμημένη
ἀξίᾳ. εἰς ὕστερον δὲ καὶ εἰς
πατρικιότητα ἀναχθέντος.
ἡ δὲ ταύτης μήτηρ, ἄννα τοὔνομα
καὶ αὐτὴ εὐγενὴς ἐκ τῶν ἀφ' ἡ-
λίου ἀνατολῶν ἐτύγχανε· οἳ
καὶ καλλωπίζοντο βίῳ εὐπρέπον-
τες. φόβῳ θεοῦ καὶ πίστει τὴν
ἑαυτῶν εὐγένειαν συνετήρη-
σαν· ἤσχαλλον δὲ καὶ ἐπ' ἀτεκνίᾳ
ρ. παιδὸς αὐτοῖς μὴ ὑπάρχοντος.
καὶ τὴν ἁπάντων κυρίαν καὶ μετὰ
τοῦ κτίστου, εἰς βοήθειαν ἐπεκα-
λοῦντο· καὶ νύκτωρ καὶ ἡμέρας
τὸν ἐκεῖ μυστικὸν θεῖον νεὼν τὸν ἐν
τῆς βάσσου τιμώμενον, κατε-
λάμβανον· καὶ λιταῖς καὶ δεή-
σεσι τὴν θεομήτορα ἐλιπάρουν
δοθῆναι αὐτοῖς τέκνον αἴτου μοι.

ἄσγένους διαδοχήν. καὶ εἰς βί-
ου σου πλήρωσιν. μιᾷ δὲ τῶν
ἡμερῶν. ἐκ τοῦ θείου ναοῦ πρὸς
ἑσπέραν ἐλθόντα· μετά τινος συνή-
θη δοξολογίαν, πρὸς ὕπνον κα-
θευδῆσαι ἐπιχθήσαν· ἐπέστη δὲ
αὐτοῖς ὡς ἔλεγον καθ' ὕπαρ, ἄν-
θρωπος γηραιός τις τῶν γνω-
ρίμων ὑπάρχων, ἀγγελίαν δὴ
θείαν αὐτοῖς παιδοποιίας φθεγγό-
μενος· ὅς τις πρὸς αὐτοὺς χαριέν-
τως ἔφη· τί μοι παρέχετε ἔχων
δῶρα ὑμῖν ὑπομνήσω τὸ ἐξαιθαι
τέκνον. οἱ δέ, φασὶ πρὸς αὐτὸν·
φιλίαν. καὶ ἀλλ' ἐν ναῷ εὐχαριστ-
ῆν· ὁ δέ, πρὸς αὐτούς· ἀμὴν ὡς ἀ-
γγελίζομαι ὑμῖν, ὅτι θυγατέρα
οντὸ ἐξέτε· καὶ δι' αὐτοῦ μεγάλη
ὑμᾶς διαδέξεται δόξα. καὶ μετ'
οὐ πολὺν χρόνον, συνέλαβεν ἡ
ἄννα, τὴν θεομεμελημένην ναί-
γίαν. τοῦ δὲ χρόνου τῆς κυήσε-
ως αὐτῆς ἐπιστάντος, ἡ ἡ ἰδὼν θαυ-
μάζειν ὄν. πάντα νοῦν ὑπερβαίνον
καὶ διάνοιαν. ἤγγισεν ἡ ὥρα
τοῦ τοκετοῦ· καὶ ἡ κυοφοροῦσα φο-
δρῶς εἶδεν τοκετόν· καὶ ἐπάλληλοι
πόνοι καὶ ὀδύναι τῇ γυναικὶ ἐπε-
σφύοντο· καὶ ὁ δεινὴ ὡς ἠρά βοῇ καὶ
σκότασμος ἐπ' αὐτῇ περιέστη· καὶ
ἐκ τῆς ὀδύνης ῥαδίως τοκετοῦ ἀπ,
θάνατος τῇ γυναικὶ ἠπειλεῖτο.
οἱ δὲ παρεστῶτες, τῇ παρουσίᾳ
συνήλγουν. καὶ βοηθεῖν οὐδαμό-
θεν κατεφθέγγοντο. πάντων δὲ προσ

τοῦ τὸ παράδοξον ποιοῦντος, ὁ θεοφιλέστατος ταύτης ἀνὴρ τὸν οἶκον τὸν ἐν τοῖς Βλάσσου καὶ διεστραμμένου καταλαμβάνει. καὶ μίαν ζώνην τῶν ἐκεῖσε σεβασμίων κιόνων ἀναλαβών, τῇ ὀσφύϊ τῆς κυούσης ζωσθῆναι κελεύει. καὶ ἅμα τῇ προσψαύσει τῆς τιμίας ἐκείνης ζώνης, ἡ τῶν ὀδυνῶν κατευνάζετο τίκτουσα καὶ ἡ δυστοκοῦσα, καὶ θανεῖν προσδοκουμένη, αὖθις τῶν πόνων ἀπηλλάγη, ἀπόνως τὸ βρέφος ἐξελεῖν τὸς ὥς φασι προσμειδιῶν, εἰς τὸ φῶς παρεισήχθη. καὶ ποιεῖ τὸ αὐτὸ βρέφος παραπλησίως ἐκφωνῆσαι, ὁ ἱερὸς πατὴρ θεοῦ καταπλαγείς, διὰ τῶν ἐμφορημάτων τοῦ οἴκου εἰσελθεῖν ἐπειρᾶτο. οὗ δὴ θαύματος γενομένου, οἱ παρεστῶτες πάντες ἐδόξαζον παρόντες τὸ θαῦμα. ὀλίγου δὲ

Χρόνου παρῳχηκότος, καὶ τῆς μητρὸς τὴν παῖδα οἰκείῳ γάλακτι ἐκτρεφούσης, ὁ φθονικὸς τῇ μητρὶ τῆς παιδὸς ἐφίσταται θάνατος. ἡ δὲ παῖς ἀπορφανισθεῖσα τῆς μητρὸς τὴν θηλὴν, μὴ ἐθελομένη προσψαῦσαι ἄλλην καὶ τρέφεσθαι, οὐδαμῶς κατεδέχετο. καὶ ἦν τῷ πατρὶ θλῖψις καὶ μέριμνα πολλὴ ὀδυνῶσα. ἐμηχανᾶτο γὰρ τὴν παῖδα τοῦ ἑτέραν θηλάσαι. ἀλλ' αὐτὴ τοῦτο οὐδαμῶς ἐπευδόκει. ἐζήτει τὸ δὲ τροφὸς, οἱ τοῦ βρέφους ἐρασμίοι. καὶ πολλῶν δουλίδων τε καὶ ἐλευθέρων τῶν ἀπὸ παρθένων ἀπόντων, ἐμοῦ δὲ μία τούτων ἡ παῖς συνευδόκει. ὕστερον δὲ πάντων, μία τῶν ἐκείνων θεραπαινίδων προσόντων, τέκνου τε καὶ γάλακτος ἀμοιροῦσα, δεηθεῖσα κατασιγάσαι σπεύδουσα τὸν κλαυθμὸν τοῦ παιδίου· τὴν ἑαυτῆς θηλὴν προβαλλομένη τῷ στόματι τοῦ νηπίου προσῆψεν. ἡ δὲ παῖς αὐτὴν παρευθὺ ἁψαμένη, γάλακτος πηγὰς ἐκβλύζειν ἐποίησεν. καὶ δι' αὐτῆς ἐκτραφεῖσα εἰς μέτρον ἡλικίας ἀνήχθη. καὶ ὡραιότητι σώματος διεπλάθη. ταύτης οὖν ἀπογαλα-

Κτισθείσης, καὶ εἰς δεκαετῆ φθασάσης ἡλικίαν, ὁ ταύτης γεννήτωρ φιλόθεος ὢν κατὰ πάντα, τοῖς ἱεροῖς αὐτὴν γράμμασιν ἐκπαιδεύειν πειρᾶται. ἡ δὲ περὶ τὰ μαθήματα ἐκδοθεῖσα, ποθεινῶς πρὸς τὴν μελέτην τῶν ἱερῶν γραμμάτων ἀπῄει. καὶ ἐν ὀλίγῳ καιρῷ, τό τε ψαλτήριον καὶ τοὺς ἑσπερινοὺς καὶ ἑωθινοὺς ὕμνους καταμαθοῦσα, ἅμα γνώσμασι καὶ μελέταις τὰς ἡμέρας αὐτῆς διετέλει. ἧς τὸ εὐφυὲς ὁ πατὴρ τότε περιβλέψας, χαίρων καὶ δοξάζων τὸν θεόν, ηὐχαρίστει. ὁ σπλαγχνισθεὶς δὲ ἐδυσθύμει, μὴ ἔχων ἐν τῷ οἴκῳ αὐτοῦ βαλανεῖον. ἔσπευδε γὰρ ταύτην ἱερῶς κατακρύπτειν. καὶ μηδαμῶς τῆς οἰκίας αὐτοῦ ἐξιέναι, διὰ τὴν ὑπερβάλλουσαν

καλλονὰς αὐτῆς θεωρεῖν· ἐβού
λετο δὲ πάλιν, μηδαμῶς
αὐτῆς κατὰ τὸ μαρανθῆναι τὸ
κάλλος διὰ τῆς μακρᾶς ἀλουσίας
καὶ σπάνιον ἔθετο τοιόνδε· ἐν
Ἑσπέρα ἢ ἑωθινὸς αὐγῆς εἰς τὸ
ψωθὸς αὐτῇ βαλανεῖον μετὰ
πλείστων θεραπαινίδων, καὶ
θεραπόντων περιεστώτων· μετὰ
οὖν τῶν ἡμερῶν τῆς συνήθει
πορεία πρὸς τὸ λουτρὸν ποιου
μένων πρὸς ἑσπέραν· ἡ δὲ τῆς
ἡμέρας κληθείσης, αὖθις ἐκ του
φορᾶς ἑαυτῆς δείως κατενεχθεῖσα,
πρὸς τὴν γῆν κατεφέρετο· συνέ
βη δὲ ταύτας καταλαβεῖν ἄν
τικρυ τῆς πύλης τοῦ ναοῦ
τῆς θεομήτορος τῶν βλαχ.
ἐκεῖθεν γὰρ αὐταῖς ἦν, ἡ πρὸς
τὸ λουτρὸν πορεία· τοῦ δὲ
ὑετοῦ σφοδρῶς ἐπιτεινομένου,
καὶ ῥαγδαίοις νέφεσι πρὸς τὴν
γῆν φερομένου, καὶ μὴ ἔχον
τος αὐταῖς τὴν ὁδὸν τῆς πο
ρείας ποιεῖσθαι, πρὸς τοὺς ἔνδον
τοῦ ναοῦ περιβόλους ἢ νεὼν
ὡς φυγάδες ᾤχοντο. καὶ δὴ ἔν
Δον τοῦ ναοῦ γενομένη, πρὸς τὸ
ἐκ δεξιῶν ἑστῶσαν τῆς θεομή
τορος εἰκόνα χαλκεντος θεασα
μένη, ἀπολεῖσθαι ταύτην καὶ προ
σκυνεῖν παρεκελεύετο· ὅτι πολλὰς
δὲ ὥρας τὴν προσευχὴν ποιοῦσα, τὸ δὴ
ἐκεῖ παρεστῶσα καὶ τὴν ἑτέραν προς
κλίνασα τῇ εἰκόνι, ὡς ὕπνον εὑρ

πη· καὶ ὁρᾷ δι' ἐνθυμήματος ὕπνου ὡς
τὴν εἰκόνα τῆς θεομήτορος,
προτρέπουσαν τὴν ἑτέραν ἐκεῖσε
πλησίον ἐστῶσαν εἰκόνι, τοῦ
λαβεῖν ἔλαιον ἐκ τῆς κανδήλης,
καὶ χρῖσαι τῆς νέας κόρης τὴν κό
ραν· ἡ δὲ τοῦτο λαβοῦσα, καὶ μό
νην τὴν ταύτης ὑπαλείψασα κάραν,
λεχθῆναι πάλιν πρὸς ταύτην, μὴ
μόνον ταύτης ἀλείψαι τὴν κάραν,
ἀλλὰ χρῖσον αὐτῆς καὶ ὅλον τὸ σῶμα
ἐλαίῳ τε καὶ τῇ συμπαθείᾳ· ἡ δὲ
τὸ φῶς αὐτῆς, ἅμα τῶν σὺν ὄντων
αὐτῇ θεραπαινίδων ἄντικρυ
ἔξω τοῦ ναοῦ διὰ τὸν ὄμβρον κα
θεζομένη, εἶδεν ἄφνω φῶς
ἐξαστράψαν ἐπὶ τὴν κόρην· τὸ
ὃν ἐφόρει λευκὸν χιτῶνα, ἀλουρ
γίδος ἄνθη καταβαφέντα. ἐ
σὺν ἐκπλήξει τοῦ θαύματος
γενομένη, αὖθις τὴν παῖδα
ταῖς οἰκείαις ἀγκάλαις ἀναλα
βοῦσα, τὸ συμβὰν εἰς ἑαυτὴν
ἐξορῶσα. ἡ δὲ παῖς πάντα τὸ
ἐν αὐτῇ ἐξεῖπεν· αὕτη δὲ τοῦτο ἑαυ
τῇ θεασαμένη ἀπεκρύβη· καὶ οὐκέ
τι πρὸς τὸ λούσασθαι ἑαυτὴν ἀ
πόφερει, ἀλλ' οἴκαδε πρὸς τὸν
οἰκεῖον αὐτῆς πατέρα ταύτην ἀπου
δαίως ὑποστρέφει· καὶ τὴν τοῦ
θαύματος αὐτῷ διηγησαμένη
λαμπρὰν θεωρίαν, τὸ μέλλον
εἰς αὐτὴν ἀποκαλύπτει. ἐπεὶ
Δὲ ὁ καιρὸς τῆς μεθηλικιώσεως
ηὔξει· καὶ ἡ σωματικὴ αὐτῆς πε

ἐκ τῆς ἡλικίας· καὶ τοῖς θαυμα-
στοῖς διεπλάττετο ἤθεσι, πλέον
ἢ τοῦ πρέποντι μελέτῃ καὶ στορ-
γῇ, εἰς αὐτὴν ἐκινεῖτο· καὶ τὸ ἔρ-
γον εἶχε τὸ ἡ παῖς τῶν πατέρων καὶ
συνηύξανε σοφίᾳ καὶ νουθεσίᾳ
κυρίου· ἐπεμελεῖτο ψυχῆς· ἐπαι-
δαγώγει τὸ σῶμα· νηστείαν ἐπό-
θει· ἁγνείαν ἐφίλει· παρθενί-
αν ἐξήσκει· ἐλεημοσύναις ἐποί-
ει· ὑμνῳδίαις καὶ εὐχαῖς, τὸν
θεὸν ἐλιπάρει· τὴν περὶ τὴν ὀφει-
λομένην τιμὴν ἐξεπλήρου·
τοὺς οἰκέτας ὡς ἀδελφοὺς
προσεποιεῖτο· τοὺς συγγενέσιν
ἠγάπα· τῶν αἰτούντων τὰ
καταθύμια ἐξεπλήρου· καὶ
συλλήβδην εἰπεῖν, ἁπάσης
θεαρέστου ἀγαθῆς ἐργασίας, ζων-
γαῖς θεωρίαν· εἷλκε δὲ αὐ-
τὴν ὁ καιρὸς καὶ εἰς γάμου
κοινωνίαν συναρμοσθῆναι·
πεντεκαιδεκαέτης γὰρ γενο-
μένη, ὑπὸ πολλῶν τῶν ἐκ παλαι-
περιβλέπτων τῶν γενεῶν περὶ
αὐτῆς τῶν περὶ προσλαλούντων,
οὐδεμία συζεύξεως ἐτελεῖτο,
διὰ τὸ αὐτὴν ὡς οἶμαι εἰς κοι-
νωνὸν βασιλείας, ὑπὸ θεοῦ
ὁρισθῆναι· μικροῦ δὲ χρό-
νου παρῳχηκότος, καὶ τοῦ με-
γάλου καὶ σεβαστοῦ βασιλεί-
ου τοῦ αὐτοκράτορος ἡμῶν
βασιλέως τὸ σκῆπτρον τῆς
ῥωμαϊκῆς ἐξουσίας σὺν υἱέσι

κρατοῦντος, ζήτησις ἐγένετο
ἀμφοτέρων παρθένων· καὶ ἐν
ἐρεύναις ἐκλαμπόντων, πρὸς
τὸ ἐξ αὐτῶν ἐκλεχθῆναι εἰς
συνάφειαν καὶ συναρμοσθῆναι
λέοντος τοῦ σοφοῦ ἄνακτος,
καὶ πρώτου υἱοῦ αὐτοῦ καὶ συμ-
πράκτορος· ἤκμαζε δὲ καὶ ἡ ἐκεί-
νου ὡραιανεότης· καὶ περιε-
λάμπετο ἁγνείᾳ καὶ κάλλει, καὶ
τὴν γάμου κοινωνίαν ἀπῄτει·
ἀποστέλλονται δὲ παρὰ τοῦ ἄ-
νακτος, ἄρχοντες καὶ στρατι-
ῶται· καὶ ἔξαρχοι τοῦ μυστικοῦ
κουβουκλίου, κατὰ πᾶσαν πό-
λιν τε καὶ ἐξαρχίαν, ἀναζητῆσαι
κόρην ἀξίαν τοῦ ὡραιοτάτου
λέοντος βασιλέως· καὶ ἄλλος
μὲν ἀλλαχόθεν ἀπήει πρὸς τὴν βα-
σίλειον πόλιν παρῆγον· καὶ
ἡ μὲν, τῷ κάλλει ἐξελέγετο τῆς
ὁράσεως· ἡ δὲ, τῷ ἄνθει τῆς ὡ-
ραιότητος κατεμέμφετο· μία
γὰρ ἐκ θεοῦ ὡρισμένη ἦν, ἣ καὶ
πρὸς μικρὸν ἀπεκρύβετο· ἐ-
Ἀρξε δὲ τινὶ πιστῷ τῇ εὐδοκίᾳ
τῇ αὐγούστῃ· τῇ καὶ συνεύνῳ
τοῦ μεγάλου καὶ κλεινοῦ βασιλέ-
ως· καὶ ἐκ τῆς οἰκείας ταύτης
πατρίδος, ἐξελεχθῆναι τινὰς παρ-
θένους ἀμώμους· καὶ ὡραίας
εἰς τὴν τοιαύτην ὑπόθεσιν· με-
θ' ὧν συνεξελέγη καὶ ἡ θαυμαστὴ
θεοφανὼ ἡ ἁγία· συνέβη δὲ
ἐκ πασῶν τούτων, δώδεκα μόνας

ἠκρατηθῆναι. καὶ ἐν τῷ τῇ βασιλι-
κῷ ταμιείῳ τῆς περιβλέπτου
μαναύρας σωθῆναι καὶ δια-
τηρεῖσθαι. καὶ τὴν τοῦ βασιλέως καὶ
τῆς αὐγούστης ἀπεκδέχεσθαι πα-
ρουσίαν. μία δὲ τούτων ἡ ἐξ Ἀθη-
νῶν ὁρμωμένη. ὡς ἅτε πατεί-
ω ἐπιθειασμοῖς τῶν μελλόντων
τὴν γνῶσιν καταξιωμένη, ἐξο-
χὴν εἰπεῖν ταῖς ἑτέραις, δεῦτε
ὦ φίλαι καὶ θέμεθα πᾶσαι βου-
λὴν μίαν, ἐν ἑνὶ περὶ πράγματι ἐ-
δ' ἑνὸς τὴν διαλλάγματος, γνώμην
τὴν ἐξ ἡμῶν ἐκλεχθησομένην,
εἰς τὴν δόξαν τῆς βασιλείας.
αἱ δὲ πρὸς αὐτὴν εἶπον. καὶ
πῶς γνωσόμεθα ταύτην; ἡ μὲν
ἄρα πρῶτον ὁ βασιλεὺς τίνος
ἡμῶν ἐρασθεὶς, ἐκ τῶν ἄλλων
χωρίσει. ἡ δὲ πρὸς αὐτάς· στησό-
μεθα ἐν αὐταῖς σημείου τινὸς
θεωρίαν. καὶ θέμεθα ὅρον καὶ
λόγον ὁμοῦ πᾶσαι πρὸς τὴν γῆν
χαμαὶ καθεύδειν. ἑκάστη δὲ
ἡμῶν θέτω πρὸ προσώπου αὐ-
τῆς τὸ τῶν ποδῶν περιβόλαια
καὶ ὁμοῦ πᾶσαι τὴν τοῦ βασιλέ-
ως ἀπεκδεξώμεθα παρουσί-
αν. ὅπως ἥντινα εἰς τὴν ἡμῶν
ἐπελεύσεται θεωρίαν, ἐκα-
στ' ἄφνω μετὰ σπουδῆς ἀνα-
στῇ. καὶ ἡ πάντων πρώτη μετὰ σπου-
δῆς ἐκ τοῦ οἰκείου τόπου ἀνα-
στῇ. καὶ τὰ οἰκεῖα περὶ ποδήματα
τοῖς ποσὶν ἀναλάβῃ. καὶ πρώτη

τῷ βασιλεῖ προσκυνήσει, αὕτη
ὑπάρχει κοινωνὸς βασιλέως.
Τοῦ δὲ προβλήματος δι' αὐτῆς
προσλεχθέντος, πᾶσαι ὁμοῦ
ὡς ἁπλαῖ καὶ ἄπειροι κόραι.
ἑκάστη τούτων θηρώμεναι τὴν
δόξαν, τὸν λόγον εἰς ἔργον
πληροῦν ἐπεχείρουν. τῇ δὲ ἐ-
παύριον ἡμέρα, μεσημβρίας
οὔσης ὥρα, ὁ βασιλεὺς ἅμα τῇ
πιστοτάτῃ αὐγούστῃ, πρὸς θέαν
αὐτῶν ἐπανῆλθον. καὶ αὐθεῖσ-
τὰς πύλας ἔνδον ἧσαν οἴκου
ἀναπετάσας, εἰσελθεῖν ἐπε-
χείρει. αἱ δὲ, τὸ οἰκεῖον σύνθη-
μα ἑκάστη πληρῶσαι προευθὺ
βουλομένη, πρὸ πάντων ἄλλων,
ἡ θεόφρων θεοφανὼ ἀναστᾶσα,
τὸ παρ' αὐτῶν μελετηθὲν ἐξε-
πλήρου. καὶ πρώτη τοῖς τῶν
ποδῶν προποδίοις ἀναλα-
βοῦσα, εἰς ὑπάντησιν τοῦ βα-
σιλέως καὶ προσκύνησιν, ἤ-
τοι μάθησιν. ἡ δὲ αὐγούστα ταύ-
την θεασαμένη, καὶ τὸ τάχει
τῆς γοργότητος ἀγασθεῖσα, ἅμα
δὲ καὶ τὸ κάλλος τῆς ὄψεως
αὐτῆς ἀπὸ μακρόθεν ἰδοῦσα,
πάσας καταλιποῦσα, πρὸς
ἐκείνην καὶ μόνην ἀπῄει. ἐγ-
γίσασα αὐτῆς γεναμένη. τὸ
κάλλος καὶ τὸ γένος. καὶ τὴν
πεῖραν αὐτῆς κατεμάνθανε.
καὶ ταύτην γνοῦσα ἐξ αἵματος
βασιλικοῦ πεφυκέναι, τῶν ἄλλων

ἀπὸ πασῶν διαστέλλει καὶ ταύτην χειροκρατοῦσα, τῷ βασιλεῖ προσκομίζει. ἀπόπειραν δὲ καὶ τῶν ἄλλων ποιήσασα, τὰς ἑτέρας δύο σὺν αὐτῇ προσλαμβάνει· τήν τε ἐξ Ἀθηνῶν ὁρμωμένην· καὶ τὴν τοῦ Γερβούνου θυγατέρα γνωριζομένην. τὰς δὲ λοιπὰς πάσας, δώροις καὶ χρήμασι πολλοῖς φιλοτιμησαμένη, πρὸς τὰ οἰκεῖα ταύτας ἀποστραφῆναι κελεύει· ταύτας γὰρ

Τὰς τρεῖς μόνας εἰς τὸ βασίλειαν μεθ' ἑαυτῆς ἄγουσα, τὴν ἀπόπειραν τούτων ἐν γυμνασίῳ ἐποίει. καθ' ἣν ἰδοῦσα δὲ πλέον τὴν ὡραιότητα τῆς ἁγίας ὑπερβάλλουσαν τῶν ἑτέρων, ταύτην βασιλικοῖς ἀμφιάσμασιν ἀμφιάζει· καὶ ἐκ τῆς δεξιᾶς χειρὸς αὐτὴν συλλαβοῦσα, πρὸς τὸν ἄνακτα καὶ υἱὸν αὐτῆς βασίλειον ἀπῆλθεν· καὶ ταύτην εἰς τοὺς ἐκείνου πόδας βάλλουσα, ἀξίαν εἶναι νύμφην εἰς τὸν υἱὸν ἐξεφώνει. ὁ δὲ βασιλεὺς καὶ αὐτὸς ἐπὶ τῷ ἀμωμήτῳ κάλλει τῆς κόρης θαυμάσας, ἐξαγαγὼν ἐκ τοῦ κόλπου αὐτοῦ τὸ ἐξ ὑπερτίμου λίθου κατασκευασθὲν αὐτοῦ δακτυλίδιον, εἰς τὴν χεῖρα τῆς νεάνιδος ἐπέβαλεν· καὶ ἔκτοτε ἡ νέα μελλοβασίλισσα τοὺς ἀρραβῶνας λαβοῦσα, τῇ πιστοτάτῃ αὐγούστῃ καὶ κηδεστείᾳ, ὡς μείζων παρῴκει. ὀλίγου δὲ χρόνου παρῳχηκότος, καὶ ἡ τῶν γαμηλίων εὐτρεπίζετο πανδαισία· καὶ τοσούτων θαλαμώνων ἀναπλεχθέντων, ὁ τρισέραστος τούτων κατεστέφετο γάμος· καὶ πολυτελῆ δεῖπνα καὶ δῶρα τοῖς ὑπηκόοις παρείχοντο· πτωχοτροφίαι τε καὶ εὐποιΐαι, ἀνὰ πᾶσαν τὴν πόλιν, δαψιλῶς ἐπαρείχοντο· καταδίκων ἐλευθερίαι, καὶ αἰχμαλώτων ἐπανορρύσεις κατὰ τόπον ἐγένοντο· χαραὶ δὲ καὶ εὐκλήσεις καὶ τιμαί, τῇ πάσῃ συγκλήτῳ εἰς κόρον ἐδίδοντο· τὰ τέκνα τῆς ἐπαλόφου στεφηφοροῦντα τοῖς ἄνθεσιν, ὕμνοις τῷ βασιλεῖ προσεπᾴδων· πόλεις πᾶσαι καὶ χῶραι, χαρμονικῶς ἐπεκρότουν· ὁ βασιλεὺς ἀδεῶς ὑπὸ τοῦ υἱοῦ ἐτιμᾶτο· καὶ ὁ χρόνος ἐν ἀγαθοῖς τὴν ἡμερίαν παρέχων, τὴν δαψιλῆ χορηγίαν τοῖς οἰκήτορας τῆς πόλεως ἐπρυτάνευεν. οἱ δὲ πιστοὶ βασιλεῖς τῆς ἐκκλησίας ὀρθοτομοῦντες, δικαίως καὶ ἐννόμως τὰ σκῆπτρα τῆς βασιλείας διεῖπον· καὶ τούτων πάντων οὕτως ἐχόντων· οὐ μετὰ πολὺν χρόνον ἡ θεοφιλὴς καὶ θεία αὐγοῦστα,

ἡ μήτηρ τοῦ νέου. καὶ σύμβι-
ος τοῦ πιστοῦ βασιλείου· τέ-
λει τοῦ βίου χρησαμένη, πρὸς
κύριον ἐξεδήμησεν. καὶ ὁ μὲν ἄ-
ναξ βασίλειος, τὴν διάζευ-
ξιν αὐτῆς ὀδυρόμενος· ὁ δὲ ἄλλος
καὶ βασιλεὺς πάνσοφος λέων,
τὴν στέρησιν τῆς μητρὸς ἐλυσοφό-
ρει. ἡ νέα δὲ αὐγοῦστα καὶ νύμ-
φη τῆς δευτέρας μητρὸς καὶ φαι-
δρᾶς καὶ δεσποίνας τὸν χωρισ-
μὸν προσεπένθει· καὶ αὖθις
ὁ βασιλεὺς τὴν νέαν νύμφην αὐ-
γοῦσταν, τὴν ἀρχὴν τῆς ἐξουσί-
ας ἐγχειρίζει· καὶ τὸν τῆς μητρὸς ἀ-
ναπληρεῖν παρακελεύεται τό-
πον. καὶ εἰς τὰ βασίλεια ταύ-
την ἱδρύσας ὥσπερ γνήσιος,
τὴν αὐτοῦ φιλοστοργίαν ἐδεί-
κνυτε. ὁ δὲ ἀεὶ τὴν κακίαν
Τεκταίνων διάβολος, ὁ εὑ-
ρετὴς τοῦ ψεύδους, καὶ τῆς ἀ-
ληθείας ἐχθρός, ὁ ἀεὶ πολεμῶν
τὴν ἀνθρωπίνην φύσιν, εἰς φθόνον
καὶ φόνον ταύτην ἐμβάλλει·
μὴ φέρων τὸ εἰρηνικὸν ἦθος
τοῦ εὐσεβοῦς βασιλέως· ἀλ-
λὰ σπεύδων αὐτὸν εἰς ταραχὰς
καὶ ματαίας φροντίδας ἐμβα-
λεῖν, εἰσέρχεται εἰς τὴν καρ-
δίαν τοῦ ἀββᾶ θεοδώρου·
τοῦ διὰ τὸν τόπον σανταβαρη-
νοῦ προσκληθέντος· μᾶλλον δὲ
διὰ τὸν τρόπον, σαταναβάρτα-
σιως ὀνομασθέντος. τὸν τὴν ἱ-

καὶ τὰ μὲν τῶν βασιλείων ὡς τὸν
πεφηνότα· μετ' οὐ πολὺ δὲ ἐχθρ-
καὶ ἀλλαζόμενα διὰ κακίαν σω-
φθέντα· καὶ τούτου τὴν καρδί-
αν πρὸς φόνον ἀναπτει· καὶ τὴν
γλῶτταν, πρὸς λοιδορείας ὀτρύ-
νας, δόλους καὶ συκοφαντί-
ας ῥάπτειν κατὰ τοῦ νέου διδά-
σκει. καὶ διάβολον αὐτὸν ἐργ-
θίζει γενέσθαι τῆς τοῦ νέου ἀ-
νακτος, ἱερᾶς πολιτείας.
ἵνα διὰ τῶν ἐκείνου ἀθέσμων
ἐγχειρημάτων τῆς φιλοτεκνίας
τὸν πόθον σκελίσας, καὶ τὸν
παῖδα τῶν πατρικῶν σπλάγχνων
ἐκσπάσας, διὸ καὶ δόλους καὶ
συκοφαντίας κρυφίως συ-
ῤῥάπτειν καὶ συλλέγειν ἐπιχει-
ρεῖ. καὶ τὴν εὐμενῆ καὶ πραεῖαν
ψυχὴν διὰ κακίας πειρᾶται
ταράττειν. καὶ λόγοις αἰσχί-
στοις σκώπτειν τὸν ἄνακτα ἐπι-
χειρεῖ. καὶ παραίτιον αὐτὸν
εἶναι λέγει, τοῦ πατρῴου θα-
νάτου ἐπιβουλόντε καὶ τῆς
ζωῆς ἐπιλιπεῖν καὶ ἀπολέσ-
ειπεῖν, ἐχθρὸν καὶ πολέμιον
καὶ αὐτὸν τὴν, τὸν πρᾶον καὶ
ἥσυχον καὶ εἰρηνικὸν διαβάλ-
λει· τὸν γὰρ φθόνον ἐν τῇ
καρδίᾳ ὠδίνας, τὸν φόνον
ἐργάσασθαι ἐμελέτα. οὐ γὰρ
ἐπαύσατο νύκτα καὶ ἡμέραν,
ὡς ὄφις τὸν ἰὸν προσεκχέ-
ων εἰς τὰ ὦτα τοῦ δικαίου καὶ

ἀγαθοῦ βασιλέως, μέχρις
ὅτου αὐτοῦ τὴν φιλότεκνον
γνώμην εἰς ὀργὴν κατὰ τοῦ
υἱοῦ καὶ βασιλέως ἐπήγειρε· τὸ
γὰρ τοῦ τρόπου ἦθος τῆς δικαίας ἐ-
κείνου ψυχῆς διαλύσας,
ἐκμανῆ τὸν πατέρα πρὸς τὸν
υἱὸν ἀπεργάζεται· καὶ τοῦ-
του τὸ πλάσμα διὰ κακί-
ας συγκλείσας, τῆς φύσε-
ως ἐπιλαθέσθαι παρα-
σκευάζει· ἀληθῶς γὰρ ἤ-
θη χρηστά, ὁμιλίαι κακαὶ
διαφθείρειν· καθάπερ καὶ
ῥανὶς ἐνδελεχοῦσα, κοιλαί-
νει πέτραν· διὸ καὶ ἀκρι-
τως μᾶλλον δὲ ἀνεξετάστως
εἰπεῖν, τὸν υἱὸν καὶ ἀγαθὸν
βασιλέα λέοντα, τῆς ἀρ-
χῆς ἀπορρίπτει· καὶ ἀποκη-
ρυκτον αὐτὸν τῆς βασιλεί-
ας ποιήσας, ὡς ἐν εἱρκτῇ τι-
νὶ ἐν ἑνὶ κοιτῶνι, ἀπρεπῶς
κατακλείει· μηδένα ἄλλον
μετ᾽ αὐτοῦ συγχωρήσασθαι
διάγειν κελεύσας, πλὴν τῆς
γαμετῆς αὐτοῦ καὶ τοῦ τέκνου
τῇ ἐνδείᾳ τῶν χρειῶν αὐ-
τὸν συμποδίσας, φυλάττε-
σθαι αὐτοὺς παρὰ τῶν ἐναν-
τίων κελεύει· μέχρις ὅτου
τὸ κατ᾽ αὐτὸν ἐξετάσας, τοῖς
οἰκείοις χρήσηται νόμοις. τού-
των οὕτως κατὰ συγχώρησιν
θείαν τελεσθέντων, ὁ μὲν ἐχθρὸς

καὶ ἀποστάτης ἀββᾶς Θεό-
δωρος, ἀρχάγγελος μὲν τοῦ βήματος,
ἀνάξιος δὲ τοῦ μὲν διὰ τὴν κα-
κίαν, ἔχαιρεν· ἐκρότει· φλη-
ρῶν μὲν τὸ δοκεῖν ἀγαλλόμε-
νος, ὄντως δὲ δεδιὼς καὶ σει-
ναι κλονούμενος· μήπως ὁ
τῆς κακίας αὐτοῦ διαγινωσκό-
μενος τρόπος, εἰς ἄμυναν
καὶ ἀνταπόδοσιν τὸν πατέρα
καὶ βασιλέα κινήσῃ. ὁ δὲ
πρᾶος καὶ ἄκακος καὶ ἀγαθὸς
λέων, ὁ ἄναξ· ὡς ἐν εἱρκτῇ τῷ
κοιτῶνι συγκεκλεισμένος,
καὶ τὴν τοῦ πατρὸς ὀργήν, ὡς
θεοῦ ἀπειλὴν ὑπομένων, ὡς
υἱὸς πειθήκοος, μέχρι θα-
νάτου ἑαυτὸν παρεδίδου.
ἤσχαλλε δὲ καὶ ἐδυσφόρει τὴν
στέρησιν τῶν ἀναγκαίων στερού-
μενος, βλέπων γὰρ τὴν γαμετὴν
καὶ τὴν παιδίσκαν δι᾽ αὐτὸν μετ᾽ αὐτοῦ
τῇ εἱρκτῇ συγκλεισθέντας,
τὴν ψυχὴν πλέον διεπείετο· καὶ
τὸ ὄμμα πρὸς θεὸν συχνῶς ἀτε-
νίζων, σὺν δάκρυσι τῷ πεσσῷ
τῷ τοῖς γόνασι κατακρύπτων,
ἀλαλήτῳ φωνῇ σιγῶν, τὸν θε-
ὸν εἰς βοήθειαν ἐξεζήτει. ἡ δὲ τού-
του γαμετὴ ἡ ἁγία Θεοφανώ,
ἡ ὄντως νέα Σάρρα. ἡ τὸν Ἀβρα-
ὰμ ἐν πάσαις ταῖς θλίψεσι
συναλγοῦσα· ἢ δευτέρα ὀφθεῖ-
σα Ῥεβέκκα διὰ τὸν φθόνον Ἡσαῦ
ἀλγεῖναι τοῖν υἱῶν, οὕτω καὶ αὕτη

τὸν τίμιον καὶ πιστὸν ὑπολει-
φθεὶς ἄνδρα, εὐθυμεῖν καὶ
εὐχαριστεῖν καὶ ἀγάλλεσθαι
προσπαρῄνει· τὴν γὰρ οἰκεί-
αν θλῖψιν, καὶ τὴν τῆς παιδὸς
δυσπάθειαν ἐνδοτέρω θεμέ-
νη, τῷ ἀνδρικῷ αὐτῆς φίλτρῳ
τὸν νοῦν πτερωθεῖσα, παρα-
μυθητικοῖς λόγοις θεραπεύειν
αὐτοῦ ἐπειρᾶτο τὴν θλῖψιν·

Ὅθεν καὶ τὸ τίμιον καὶ ἱερὸν ταύ-
της ὑπανοίξασα στόμα· καὶ ταῖς
χερσὶν αὐτοῦ τῆς χειρὸς λαβο-
μένη, παραμυθητικοῖς ῥήμα-
σι τοιούτοις πρὸς αὐτὸν ἀνεφώ-
νει· μὴ ἀθυμήσωμεν ὦ τίμιε
ἡμέτερε αὐθέντα καὶ βασιλεῦ· μὴ
δὲ τὴν εὐεργεσίαν ταύτην, τῆς
θλίψεως ἀφορμὴν λογισώ-
μεθα· καὶ μηδὲν ἀγεννὲς ἢ δια-
νοηθῆναι, ἢ πρᾶξαι, ἢ φθέγ-
ξασθαι· γενόμεθα ὑπήκοοι
τῷ πατρὶ μέχρι θανάτου· ὁ κα-
λὸς ὁ ἡμᾶς ὀργιζόμενος· παρ-
έστι τῇ φύσει, εἰ καὶ δι' αὐτότης
κατὰ τὴν πρόνοιαν ποιεῖ· οὐκ εἰς
τέλος δὲ ὀργισθήσεται οὐδὲ
συγκλείσει τὰ σπλάγχνα, εἰ δὲ
πρὸς μικρὸν προσωχθίσθη· οὐκέ-
τι δύσει ὁ ἥλιος ἐπὶ τῇ αὐτοῦ
ἐκχυθείσῃ εἰς ἡμᾶς καλη· τὸν
θν, εἰς βοήθειαν ἐκζητήσωμεν·
τὴν αὐτοῦ μρα καὶ θκον εἰς πρε-
σβείαν ὑπὲρ ἡμῶν προβαλλώ-
μεθα· τοὺς ἁγίους ἅπαντας,
σπουδαίους ἱκέτας ἡμῶν γενέσθαι πα-
ρακαλέσωμεν· ἐμβλέψωμεν
εἰς ἀρχαίας γενεὰς καὶ ἴδωμεν·
τίς ἐπίστευσε τῷ θεῷ καὶ κατῃ-
σχύνθη· ἢ τίς ἐνέμεινε τῷ φόβῳ
αὐτοῦ, καὶ ὑπερεῖδεν αὐτόν·
μικροὶ οἱ πειρασμοί, ἀλλὰ με-
γάλοι οἱ οἰκτιρμοὶ τοῦ θῦ ἡμῶν·
ὀδυνηρὰ καὶ ἐπονείδιστος ἡ
ἀρετή; ἀλλ' ἡ κλῆσις τοῦ θῦ
καὶ ἡ ἐπισκοπή, ἀσφαλῶς·
ζητήσωμεν τὸ πρόσωπον αὐτοῦ

Ἐν ἐξομολογήσει τῶν πεπραγ-
μένων, καὶ αὐτὸς τὴν ὀδύνην
τῶν ἀλγεινῶν διαλύσει· δῶ-
μεν δόξαν τῷ κράτει αὐτοῦ εὐ-
χαρίστως, καὶ αὐτὸς ἡμᾶς ἀντι-
δοξάσει ἐνδόξως· εἰ γὰρ καὶ
πειρασθῆναι ἡμᾶς πρὸς μικρὸν
συνεχώρησε, τάχα παιδεύων
ἡμᾶς τοῦ γενέσθαι αὐτοῦ μαθη-
τάς· ἵνα διὰ τῶν ἔργων τὰς θλί-
ψεις γευσάμενοι, τὴν συμπάθει-
αν διδῶμεν τοῖς πάσχουσιν· οὐκ οἶ-
δας ὅτι βασιλεὺς ἀπὸ μήτρας
ἐχρήσθης; οὐκ οἶδας ὅτι διά-
δημα τῷ βασιλικῷ ἐκοσμή-
θης; ἀγνοεῖς ὅτι πορφύρᾳ
καὶ τρυφῇ· καὶ κολακείᾳ ἐκβρε-
φόθεν συνανετράφης, καὶ οὐ-
δὲν δυσχερὲς ἐπέστη ἐν τῷ βίῳ;
θλίψιν οὐκ ἔγνως· πενίαν οὐ
κατεῖδες· θυμὸν δικαστῶν οὐχ ὑπέ-
στης· διὰ τοῦτο ἀγανάκτησιν
οὐ καθεῖδες· πένητος διαγωγὴν

οὐ γινώσκεις· ἐνδείας φωνὴν
οὐκ οἶδας· δεσμωτηρίων πο
λας οὐκ ᾔσθου· μαστίγων μω
λώπων οὐκ ἐπειράθης· καὶ
δυσχερὴς ἡ μικρὰ αὕτη κατα
φαίνεταί σοι θλῖψις· ἀλλὰ
μὴ ὀλιγώρει παιδείας κυρίου· μη
δὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμε
νος· ὃν γὰρ ἀγαπᾷ κύριος παι
δεύει· μαστιγοῖ δὲ πάντα υἱὸν
ὃν παραδέχεται· μὴ οὕτως
καταβαπτίζου τῇ θλίψει· οὐ
δὲν ἀγεννὲς εἰς ἡμᾶς ὁ σωτὴρ
διεπράξατο· οὐδὲν ὅμοιον
εἰς ἡμᾶς ἐνεδείξατο· φιλῶν
τ' ἄρα παιδεύει· ὁ γὰρ ἀγαπῶν
τὸν υἱὸν αὐτοῦ, ἐπιμελῶς
παιδεύει· καὶ συνεχεῖς μάστι
γας ἐπ' αὐτὸν ἐπιφέρει ἵνα
ἐπ' ἐσχάτων ἐπ' αὐτὸν εὐφραν
θῇ· τούτου δὴ χάριν ὥσπερ τὸν ἡ
μέτερον αὐθέντα καὶ βασιλεύς,
εἰς ἡμᾶς ὁ σωτήρ, οὕτω πῶς
διετέθη· τάχα δὲ καὶ τῆς
οἰκείας βασιλείας κληρονό
μους ἡμᾶς καταλεῖψαι βου
λόμενος, προγυμνάζει τῇ
θλίψει· συγχωρεῖ δὲ ἡμᾶς ὁ
θεὸς τοῦτο παθεῖν ὡς προγινώ
σκων τὰ μέλλοντα· ἵνα ἐν
καιρῷ τῆς ἡμῶν εὐπραγίας ἀ
σφαλείας· τὴν θλῖψιν τῆς ἀδο
ξίας εἰς μνήμην κατέχοντες·
τοῖς ὑπηκόοις εὐμενῶς ἐν
συμπαθείᾳ χρησώμεθα· ἐπ

γνῶμεν διὰ τῆς πείρας· ὅτι
ὀργὴ βασιλέως, ὡς ὁρμὴ λέ
οντος· καὶ πράως καὶ ἡσυ
χῶς καὶ δικαίως, τὰ σκῆ
πτρα τῆς ἀρχῆς διϊθύνωμεν·
αὐτὰ καὶ πλεῖστα τούτων ἡ
ἁγία θεοφανὼ σοφῶς διε
τῷ τιμίῳ ἀνδρὶ καὶ βασι
λεῖ παραινοῦσα, ὡς νέα δὲ
ἀλλὰ δούλ. τὴν θλῖψιν τοῦ ἰ
δίου ἀνδρὸς ἐθεράπευεν·
καὶ προθύμως πρὸς αὐτὸν εἰς
ἀγαθὸν διεγείρουσα, νύκτας
καὶ ἡμέρας τὸν θεὸν ἐν δάκρυ
σιν εὐχαριστεῖν καὶ προσεύχε
σθαι παρεσκεύασε· θέλημα τῶν
φοβουμένων αὐτὸν ποιῶν
κύριος· καὶ τῆς δεήσεως αὐτῶν ὑπα
κούων καὶ σώζων αὐτούς· ὁ
ἐγγὺς πᾶσι τοῖς ἐπικαλουμέ
νοις αὐτὸν ἐν ἀληθείᾳ πέλων
καὶ ἀεὶ προφθάνων, τοὺς ἐν
φόβῳ καὶ ἐξομολογήσει αὐτὸν
ἐκζητοῦντας, οὐχ ὑπερεῖδεν
αὐτῶν τὰς αἰτήσεις· οὐδὲ ἐμα
κρυνε τὸ ἔλεος αὐτοῦ ἐξ αὐτῶν·
ἀλλ' ἐτάχυνε τοὺς οἰκτιρμοὺς
αὐτοῦ ἐπ' αὐτούς· ἐν μιᾷ δὲ
Ηὖν κτὶ καθασόντων αὐτῶν ἀπὸ
τῆς ἱερᾶς αὐτῶν ἐπειμῆς δο
ξολογίας, ἐπέστη αὐτοῖς κα
τὸν ἀρμενιάνις τις στρατιώ
τικὴν στολὴν ἠμφιεσμένος·
ἐν μὲν τῇ δεξιᾷ χειρὶ, δόρυ κα
τέχων· τῷ δὲ ὤμῳ ἀσπίδα·

καὶ τοῦτον οἱ γενναῖοι ἰδόντες, φόβῳ καὶ δέει περισχεθέντες, ἔδοξαν ὅτι ἐκ τοῦ βασιλέως ἐπέμφθη πρὸς ἀναίρεσιν τούτων. πρόμως δὲ πολλῷ πε τὴν γῆν πεπτωκότες, αὐτὸν προσκυνεῖν ἐπεχείρουν· καὶ τοῖς ποσὶν αὐτοῦ προσδραμόντες, ἔδοξαν αὐτὸν ἱκετεύειν, μὴ ἄωρον αὐτοῖς τὸν θάνατον ὑπενεγκεῖν. ὁ δὲ ὁραθεὶς μεγαλειότης, χαριέντως τούτοις προφθάσας· καὶ τὸ προσκύνημα σὺν διὰ τοῦ λόγου κωλύσας, ἐπιεικῶς πρὸς μὴ δειλιῶν, πρὸς αὐτοὺς ἔφη· μὴ θροεῖσθαι φίλοι· ἀρχηγικός εἰμι ὁ ἐκ τῶν ἐναντίων· μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· μηδὲ διαλογισμοὶ ἀναβαινόντων ἐκ τῶν καρδιῶν ὑμῶν, καὶ ὑμᾶς ἐκπεπλήσσοιεν· οὐ γὰρ ὁ ξένος τοῦ ἥκων ἐνταῦθα. ἀλλ᾽ ὑμεῖς ἐκ Θεσσαλονίκης ὀφθέντες ἐπέμφθητε. ὁ γὰρ ἀποστείλας με Κύριος πρὸς ὑμᾶς, αὐτὸς καὶ τῆς δεήσεως ὑμῶν ὑπακούσας ἐκεῖθεν πρὸς ὑμᾶς ἐξαπέστειλεν. θαρσεῖτε λοιπὸν καὶ ἀγάλλεσθε· οἱ ἐχθροὶ ὑμῶν σῶοι ἀπεδόθησαν καὶ ἔπεσον. ὑμεῖς δὲ ἀνέστητε καὶ ἀνορθώθητε. ἡ γὰρ βοήθεια ὑμῶν

ἐν ὀνόματι Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. τῆς γὰρ εὐχῆς ὑμῶν ἐπακούσας ὁ Κύριος τῷ πατρὶ καὶ δεσπότῃ τῷ περὶ ὑμῶν ἀπέσταλκέ με. καὶ τὴν ματαίαν ἀκοὴν ἣν ἐκ τοῦ ἀλαζόνος ἐδέξατο, ἀφ᾽ οὗ δὲ ἐνελογίσατο· καὶ ἰδοὺ πάλιν δοξάσει ὑμᾶς, τῇ δόξῃ ᾗ ἐγεννήθητε. καὶ κληρονόμους τῆς αὐτοῦ βασιλείας ὑμᾶς καταλείψας, πρὸς Κύριον ἐκδημήσει. χαίρετε ἐν Κυρίῳ πάντοτε· χαίρετε. τὸ ἐπήκοον ὑμῶν· εὐμενῶς καὶ δικαίως· καὶ σοφῶς διϊθύνοντες. καὶ ταῦτα εἰπών, ἀφανὴς ἐκ τούτων ἐγένετο. διαπορηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν βλέπειν αὐτὸν, τῇ ἀληθείᾳ αὐτοῖς παριστάμενον. καὶ μικρὸν πάλιν εἰς ἑαυτοὺς ἐπανελθόντες, τὰ τῆς ὀπτασίας διηγοῦντο ἀλλήλοις· καὶ μικρὸν ὥσπερ ἔκ τινος ἀχθοφόρου βάρους κουφισθέντες, ἐν γαλήνῃ τὰς ψυχὰς αὐτῶν ἐλογίζοντο καθεστάναι. χαρᾶς δὲ καὶ θυμηδίας πνευματικῆς ἐμπλησθέντες, δόξαν καὶ αἶνον καὶ εὐχαριστίαν καὶ προσκύνησιν τῷ Θεῷ μετὰ δακρύων ἀνέπεμπον. ὀλίγου δὲ χρόνου παρῳχηκότος, ὁ ἅγιος Θεόδωρος· ὁ αὐτῶν διαβολ

καταστάς· ὁ μέγας ἀμαθ· καὶ
ἰάννης· καὶ ἰαμβρῆς· διὰ τῶν
ἔργων ἀναφανεὶς, προσῆλθε
τῷ μεγάλῳ καὶ χρηστῷ βασιλεῖ
βασιλείῳ· αἰτῶν καὶ λέγων·
ἀποσταλῆναι αὐτὸν εἰς τὰ ἴδι
α· ὀψόμενον τῶν οἰκείων πρα
γμάτων καὶ τῆς πατρίδος· ἑχέ
ων γὰρ τὴν νόσον τοῦ ἄνακτος
βασιλείου ἐπικρατεστέραν,
τοῦ σώματος γενομένην·
καὶ δεδιὼς, μή πως ὁ συμ
πλακεὶς παρ' αὐτοῦ δόλος,
εἰς τοὐμφανὲς διά τινος
ὑποθέσεως ἔλθῃ· καὶ ὁ πό
νος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ
ὑποστρέψῃ· καὶ ἐμπέσηται
εἰς βόθρον ὃν εἰργάσατο,
σπουδῇ τῆς πόλεως ἐξελθεῖν,
ἐπειρᾶτο· οὐ δὴ ἐμεκατεσ
που, τῶν βασιλείων ψήφω
θεν ἀπελαθεὶς, πρὸς τὴν οἰ
κείαν πατρίδα τὴν πορείαν
ἐποίει· αὐτοῦ δὲ τούτου τῶν
βασιλείων αὐλῆς χωρισθεί
α· πρὸς μικρὸν διαστάντος,
στυλιανὸς ὁ τηνικαῦτα πρω
τοσπαθάριος καὶ ἑταιρειάρ
χης ὑπάρχων· ὁ ἐπίκλην ζα
ούτζης· καιροῦ δὲ ἐπιλα
βόμενος εὑρών· ὡς ἅτε καὶ
σωματοφύλαξ ὑπάρχων τοῦ
βασιλέως· πάντα φόβον
καὶ τρόμον ἐκ ψυχῆς ἀπορ
ρίψας· καὶ τῷ θυμῷ μόνῳ τὴν

αὐτοῦ βούλησιν ἀναπαθεὶς, τόλ
μῃ χρησάμενος θεία· καὶ πρὸς
τὸν εἰωθότα αὐτῷ ἐπιστάσ
τόπον, τῇ συνήθει χρησάμε
νος παραστάσει. θλιβερῷ σχή
ματι ἑαυτὸν σχηματίσας,
καὶ τὴν μίαν παρειὰν τῆς ὄ
ψεως αὐτοῦ χειροκρατήσας,
τὴν κεφαλὴν δὲ ὅλην πρὸς
τὴν γῆν ἀποκλίνας· τοῖς δά
κρυσι τὸ πρόσωπον αὐτοῦ κα
ταβρέχων, κεχηνὼς πρὸς τὴν
γῆν ἀπεώρα· καὶ στεναγμοῖς
ἀλαλήτοις πρὸς ἑαυτόν·
καὶ θυμῷ ζῶν ἐγκάρδιον λύ
πην τὸ δοκεῖν ἐπεδείκνυε.
Τοῦ δὲ πιστοῦ βασιλέως, ἐκ
τοῦ λαμπροῦ κοιτῶνος αὐτοῦ
ἐξελθόντος, καὶ τοῦτον οὕτω
τοιούτῳ σχήματι ἑωρακότος,
καὶ τὴν αἰτίαν τοῦ σχήματος
μαθεῖν βουληθέντος, εἰπεῖν
πρὸς αὐτὸν ἐπιεικῶς, τοιαῦ-
τί σοι ἐστὶν αἴτιον· ὅτι πεν
θῶν καὶ σκυθρωπάζων εἰς
τὸ ἐμὸν ταμεῖον εἰσῆλθες.
καὶ ἐν τοιούτῳ σχήματι ἀπρε
πεῖ παραστῆναι μοι ἥκες; τίς
δὲ καὶ ὁ τρόπος τῶν οἰμωγῶν
καὶ δακρύων, ὧν ἐκ βάθους
καρδίας ἐκ τῶν ὀφθαλμῶν ἀν
εκφέρεις· μή τι σοι δυσχερὲς ἀπὸ
πρᾶγμα τῇ πόλει τι συνέβη;
ἢ ἄλλως τῆς πόλεως ἢ χώρας σου
ἐγένετο; ὁ δέ, φησὶ πρὸς αὐτόν·

Ἀθεώτατε κράτιστε ἄναξ, ταῦτα σοὶ ἐβουλήθη γενέσθαι, καὶ μὴ τὸ φῶς τοῦ κόσμου ὑπὸ τὸν μόδιον τεθὲν ἀποσβέσω. ὁ δὲ, μὴ συνιεὶς τοῦτο τὴν ἀπόκρισιν ἐποίει μὴ ὡς αὐτὸν, ἐρωτᾶν ἐπεχείρει· φράσον τίς ὁ λόγος καὶ τίνος χάριν ταῦτά μοι λέγεις καὶ πράττεις. ὁ δὲ, πάλιν πρὸς αὐτὸν ἔφη· τὸ φῶς ἐκ τῶν ὀφθαλμῶν ἐπηρώθη· τὸν ἥλιον βλέπω πρὸς δυσμὰς ἀπιόντα. καὶ στενάζω μήπως ἀμφοτέρων ἀφανισθέντων, τελείως πυρωθῶμεν ταῖς ὄψεις. καὶ ὁ βασιλεὺς πρὸς αὐτόν· δι᾽ αἰνιγμάτων πειρᾶσαι με δοκιμάζειν, καὶ τὸ σαφὲς τῶν λέξεων οὐ δηλοῖς μοι; ὁ δὲ, πρὸς αὐτόν· καὶ ποίᾳ τόλμῃ χρησάμενος τὰ ἐκ πολλῶν λαλούμενα καὶ θρυλλούμενα σαφῶς σοι ἐξείπω· δέδοικα σου τὸν φόβον· τὴν ἀπειλήν σου πτοοῦμαι· καὶ τὸν θυμόν σου αἰδοῦμαι. ἀλλὰ τὸν θυμόν σου πρᾳότητι μίξας, τὴν εὐμενεῖ ἀκοήν σου, τοῖς ἐμοῖς χείλεσι μὴ ὀργισθῆναι ποιήσῃς. ὁ δέ φησι· λέξον ἀφόβως ἃ βούλει· καὶ φράσον ἀπεριέργως τὴν δήλωσιν τῶν σῶν νοημάτων. ὁ δὲ, μέγα στενάξας, καὶ δάκρυσι μαχητοῖς τοὺς ὀφθαλμοὺς ἐμπλησθεὶς, πρὸς τὸν ἄνακτα βασιλέα

ἔφη· ἤκουσας, ὦ δέσποτα, τὰ ἐκ τῆς συγκλήτου ἁπάσης καὶ τῆς πολιτείας λεγόμενα ῥήματα; ὁ δὲ, φησί· ποῖα; αὐτὸς δὲ πάλιν· ἅπερ κατὰ σοῦ φθονοῦντες σκώπτουσί σου τὸ κράτος. ὁ δὲ συσχεθεὶς ἀγωνίᾳ, καὶ ὀψὲ ἐρυθριάσας, λαβὼν αὐτοῦ τῆς χειρὸς, πρὸς τὸ ἐσώτερον ταμεῖον κατ᾽ ἰδίαν εἰσελθών. καὶ τοῦτον ἐπιμελῶς ἐξετάζων, ἐδόκει τὴν ἀκρασίαν καὶ ἀνδρείαν διὰ τοῦ κινηθῆναι. καὶ πάλιν φησὶ πρὸς αὐτόν· μή τι μὲ ὥσπερ ἐκεῖνον κατὰ τε μοῦ στρατευθῇ; ὁ δὲ, φησί· μὴ γένοιτο, δέσποτα, τοῦτο ἢ γενέσθαι ἢ βουληθῆναι. ἀλλὰ μᾶλλον σχεδὸν πάντες τὴν σὴν ἀποκλαίουσι τὴν ἀπουσίαν. καὶ θλῖψις αὐτοὺς ἤδη τυχοῦσα πιέζει. ὅτι αὐτὸς μὲν μόσῳ προσπεσών, καὶ τὸ γῆρας χάρις θεία προβαῖνον, τὸν ἐκ τῶν σῶν τιμίων λαγόνων φυέντα βλαστὸν, ματαίας φωνῆς ἐπακούσας, πρὸ τοῦ ἐκ παιδαρίου ξηρὸν ἀπειργάσω· καὶ ἀποκήρυκτον αὐτὸν τῆς βασιλείας ποιήσας, ἐν εἱρκτῇ ἐπὶ ἀφώτῳ κατέχεις. καὶ πᾶσα ἡ σύγκλητος ἅμα τῇ πόλει, καταβοᾷ σου τοῦ κράτους· ὅτι ἀθεώτατε δεῖ, καὶ τῆς σῆς σοφίας ἐχθρῷ προσπελασθεὶς, τὸ φῶς

τοῦ κόσμου τὸ ἐκ θεοῦ τοῖς πα-
σι δοθέν, ὑπὸ τὸν μόδιον ἀπο-
κρύβη. ταῦτα οὖν ἀκούσας
ὁ βασιλεύς, καὶ συνδακρυσ γε-
νόμενος, καὶ μικρὸν πρὸς ἑαυ-
τὸν συσχεθείς, ἔφη· μὴ τοίνυν
καὶ αὐτὸς τῆς ἐκείνου συνωμοσίας
βουλευτὴς κατέστης; ὁ δὲ,
πρὸς αὐτόν· εἴθε πάντες οἱ κα-
τὰ σοῦ βουλευόμενοι, ὡς αὐτὸς
καλῶς γεγόνασι. καὶ φησὶ τὸ
ποίῳ λόγῳ ταῦτα ὁ ἀββᾶς
Θεόδωρος πληροφορηθείς,
ἐμοὶ παρακατήγγειλε. ὁ δέ, φη-
σὶ πρὸς αὐτόν· ὅτι ταῦτα
πάντα ἐκεῖνος κατὰ σοῦ ἐ-
μελέτησε δρᾶσαι. καὶ δι-
ότι ὡς τὴν ἐκ τοῦ υἱοῦ σου γε-
μησαμένην ἐκδίκησιν,
πρῶτον τοῦτον ἐκπέμψαι δι-
ενοήθη. τὴν γὰρ αὐτοῦ ἐνέδραν
καὶ κρυπτὴν ἐργασίαν ὁ υἱὸς
σου προδηλωθείς, ἐκεῖνον
ἐκ τῆς τοιαύτης ἀποσεῖλαι μα-
νίας σπεύδων. καὶ ἐν κρυφεῖ
αὐτὸν διελέγξας, κατ' αὐτοῦ τὴν
κατηγορίαν συνῆξαι. καὶ εἰ ἀ-
μδξινάκως τὰ περὶ αὐτοῦ ἐκ-
ζητήσεις, εὕροις ἂν τὴν ἀλή-
θειαν, οὕτως προσαχθεὶς ὁ ἄν-
καὶ τῆς ἐκείνου περιπετείας
οὐ μικρῶς κατεμέμφετο. τῆς
δὲ ἐπισήμου μνήμης τοῦ θεί-
ου Ἠλίου τοῦ προφήτου κατα-
λαβούσης, ὁ βασιλεὺς τοῖς λο-
γοις τοῦ ἀνδρὸς ἐν τῇ καρδία
αὐτοῦ θέμενος, τὸν υἱὸν καὶ
βασιλέα Λέοντα, σὺν αὐτῷ
περιελθεῖν ἐβούλετο· διενοσ-
τῶ γὰρ ἐμὲ αὐτὸς λέγων. ὅτι
ἐὰν πάλιν χωρὶς τῆς ἐκείνου
παρουσίας παρέλθω, ὅλας
κατ' ἐμαυτοῦ οὐ μικρὸν ἀμανύ-
ψει. τῇ δὲ ἑσπέρᾳ, ἐνῆεισα-
θει τὸν ναὸν τοῦ προφήτου,
διάχρυσος πάσσοις πέπλων
κατακοσμεῖν, περικαλλεστάτους
τὸν προρρηθὲν τὸ συλλίανον,
δι' αὐτοῦ τὴν συμπάθειαν καὶ
συγχώρησιν τῶν ἀρχῆθεν ἡμαρτη-
μένων τῷ υἱῷ ἀποστέλλει. ἅ-
μα δὲ καὶ βασιλικὰς διαζώσ-
τολάς, αὐτῷ προσκομίσαι· τὴ
ἐς αὐ ει ὃν αὐτῷ ἐπαγγείλασθαι,
θεωρεῖν. τοῦ δὲ λόγου τοῖς πα-
σι ἤδη ἀκουσθέντος, καὶ φήμης
οὐ μικρᾶς γενομένης, ἡ πᾶσα
πόλις τῷ θεῷ ὁλονύκτως ηὐχα-
ρίστει. παρρησίας δὲ γενομένης,
προσκαλεσάμενον αὐτὸν ὁ πατήρ,
τὸ τῆς βασιλείας αὐτῷ δίδωσι
στέφος. καὶ κείρασθαι αὐτοῦ τὴν
κόμην κελεύσας, [illegible]
αὐτῷ ὡς δεῖ διατάττει. ὁ δὲ συμ-
μέβη γενέσθαι ἐν αὐτῇ τῇ ἡμέρᾳ.
ὃν ἦν ὁ φωστὴρ τῆς βασιλείας λέ-
ων τοῖς διομάδα περιλάμβανε φθόνος:
οὐ δίκαιον ἡμᾶς σιωπῇ παραπέμ-
ψαι. τῆς γὰρ φήμης εἰς τὰ ὦτα τοῦ
λαοῦ ἀκουσθείσης· καὶ σχεδὸν

πάσης τῆς ὑφηλίου πρὸς τὸν ναὸν τῶν ἀσωμάτων συναγηρθείσης· καὶ τῆς συνήθους προελεύσεως ἐκ τῶν ἀνακτόρων τὸν μέγαν ναὸν καταλαμβανούσης, ἦν ἰδεῖν πάσας ὥσπερ μιᾷ καὶ φωλῇ κεχηνότας· καὶ τοὺς ἑαυτῶν ὑποκλίναντας αὐχένας· καὶ τὰ ὄμματα πρὸς τὴν κάθοδον πηγνυμένους· καὶ τὴν ἄφιξιν τοῦ μεγάλου καὶ νικητοῦ βασιλέως, ὡς ἄλλου ἀνίσχοντος ἡλίου ἀπεκδεχομένους. τοῦ γὰρ πατρὸς καὶ βασιλέως, ὡς ἄλλου ἀνίσχοντος ἡλίου ἀπεκδεχομένους. τὴν προπομπὴν ποιουμένου, ὡς δίκην ἀστέρων ἐκλάμπων λέων ὁ ἄναξ ἑπόμενος τῷ ἰδίῳ πατρὶ καὶ βασιλεῖ· ἡνίκα δὲ ἡ αὐτοῦ παρουσία πρὸς τὸν λαὸν ἀνεφάνη, ὁ πᾶς ὡς ὄχλος ὡς ἐκ συνθήματος ἑνὸς καὶ μιᾶς φωνῆς ἀνακράξας τὴν δόξα σοι κε φωνὴν ὀξυφώνησεν· ὀξείας φωνῆς ὁ βασιλεὺς καὶ πατὴρ μικρὸν διϊλιάσας εἰς τὰ βασίλεια πάλιν ἐπανελθεῖν ἐπεχείρει· εἰς ἑαυτὸν δὲ πάλιν ἐπανελθὼν καὶ τὴν εὐγνώμονα πίστιν τοῦ λαοῦ θαυμάσας, πρὸς ἔπαινον τῶν ὑπηκόων ἐτράπη. ἐπιστραφεὶς δὲ ἅ-

Ηα πάλιν μετὰ τοῦ υἱοῦ καὶ βασιλέως τὴν χεῖρα μετὰ χεῖρας λαβὼν, εἰς τὰ ἄκρα τῶν ἀνήωρων τοῦ ναοῦ χαίρων ἄνεισιν. Καὶ τῆς ἱερᾶς λειτουργίας ἐκτελεσθείσης, πρὸς τὰ βασίλεια ἀπελθόντες, εἰς δεξίωσιν τοὺς μεγιστᾶνας προσεκαλοῦντο, καὶ πολλῆς εὐωχίας καὶ ἀγαλλιάσεως τελεσθείσης, ὁ φιλόχριστος δεσπότης, ὁμοτίμως καὶ ὁμοδόξως ὑπὸ πάντων ἀνευφημεῖτο. ὀλίγου δὲ χρόνου παρῳχηκότος, ὁ μέγας καὶ πιστότατος βασιλέων βασίλειος, νόσῳ καὶ γήρᾳ καμφθεὶς, τῇ φυσικῇ κατεπείγετο διαλύσει· γνοὺς δὲ διὰ τῆς πείρας τὴν ἐγγίζουσαν αὐτῷ πρὸς κύριον τῆς ψυχῆς αὐτοῦ ἐκδημίαν, προσκαλεῖται τὸν αὐτοῦ τιμιώτατον, τρεῖς παῖδας ἔχοντα· καὶ ἀλέξανδρον τὸν σκηπτοῦχον· καὶ στέφανον τὸν μετ' ὀλίγον τῇ ἀρχιερατικῇ διαπρέψαντα δόξῃ· καὶ αὐτὸν ἀπὸ σεκρέτων ὁσίων καὶ εὐσεβῶν ὑποστηρίξας λογίων, αὐτοκράτορα καὶ κυβερνήτην τῆς βασιλείας χειρίσας, συγκληρονόμον δὲ καὶ συμπαραστάτην αὐτοῦ συνομαίμονα ἀλέξανδρον καθίστησι· προεξάρχειν δὲ καὶ ὑπερέχειν τὰ σκῆπτρα τῆς βασιλείας τὸν ἄνακτα λέοντα γέρεσι· ζώ-κει δὲ αὐτὸς καὶ ἡ ἁγία θεοφανὼ

περὶ ἧς ἡμῖν ὁ λόγος προοίμιον.
εἰς μακρὰν δ' ἐξήνεκται προοίμιον.
ἀλλὰ τοῦ κόρου τὸν λόγον κατα-
λείποντα, ἐπ' αὐτὴν ἤδη τὴν δι-
ήγησιν τρέπομαι. ἄρτι τὸ ἡ βα-
σιλικὴ τιμὴ ἀξιωθείσης τῆς
πελικῆς βασιλείας. ζωὴ ἐπὶ τὸ
αὐτοῖς· καὶ θεοφανὼ ἡ αὐ-
γοῦστα. σχολάζει δὲ ταῖς θείαις
μελέταις ὁ αὐτοκράτωρ· οὐ-
ος δὲ ἀλέξανδρος τοῖς μαθήμα-
σιν ἠσχολεῖτο. ὁ Ἰουλιανὸς
δέ, μετ' ὀλίγον βασιλεὺς ὁ πα-
τὴρ ἀναγορεύεται· γνώμῃ
καὶ προστάξει, τοῦ αὐτοκράτο-
ρος λέοντος· τὰς δημοσίας οὖν
τῶν πραγμάτων ἐξετέλει
φροντίδας· καὶ ἡ ῥωμαϊκὴ
πολιτεία, δικαίως καὶ ἐννό-
μως, μετ' εὐσεβείας ἐκυβερ-
νεῖτο. ἡ δ' ἁγία καὶ ὄντως
θεοεράσμια θεοφανὼ ἡ αὐ-
γοῦστα. τὰ βασίλεια περιπο-
λοῦσα, τῆς ψυχῆς σωτηρίας
ἐπεμελεῖτο· ὡς χοῦν καὶ κόνιν
καταπατοῦσα πάντα τὰ τοῦ βί-
ου τερπνά· νυκτὸς καὶ ἡμέ-
ρας, ταλαιπωρίαις ἀμώμοις καὶ
ἀγῶσι γενναίοις τὸν θεὸν θερα-
πεύουσα. [illegible]
αὐτοὺς ἐκζητοῦσα· τὸ
γὰρ ἀληθῆ τῆς ἁλουργίδος φο-
ροῦσα καὶ τὴν ἐκ τοῦ ἀπρεπῆ
ἀνβασιλικῶς περιβεβλημένη,
τοῖς ῥάκεσιν ἔνδον κρυπτομένοις

κατέτρυχε τὸ σῶμα· καὶ ἀσκη-
τικὴν ἀγωγὴν αἱρουμένη, τῶν
πολυτελῶν τραπεζῶν τὰς σι-
βάδας, ὡς οὐδὲν κατεφρόνει·
τὴν γὰρ τρυφὴν τῶν ἐνδυμάτων
προσήκει μὲν ὑμνοῦ ἐρῶσα, τὴν ἀ-
τελῆ καὶ αὐτοσχέδιον τοῦ ἄρ-
του καὶ τῶν λαχάνων ἐτρέφε-
το πανδαισίᾳ· τὰ δὲ ἐν ταῖς
χερσὶν αὐτοῖς παρεμποῖ τῶν
τὰ χρήματά τε καὶ κτήματα
τὰ τίμια τοῖς βιωτικοῖς φαν-
τάσματα, τοῖς πένησι διεδί-
δου· τῶν δὲ πολλῶν τὰ πο-
λυτίμητα εἴδη τοῖς δεομέ-
νοις παρεῖχε· χηρῶν δὲ καὶ ὀρ-
φανῶν τὰς ἀπορείας, ἐπε-
χορήγει χρήμασι καὶ κτήμα-
σι κατεπλούτει. τῶν οἰκετῶν
ὡς ἀδελφῶν προενόει· οὐ-
κ ἐκάλει κέ τινα ἁπλῶς τῷ ὀνό-
ματι πώποτε· ἀλλὰ πάντων
ἐκυριολόγει τὰς κλήσεις· οὐδὲ
πώποτε εἰς θυμὸν ἐκινήθη· οὐ-
κ ὀργίσθη πώποτε· οὐ μικρῶν οὐ
μεγάλων φθόνος· ἢ μῖσος κατὰ
τοῦ πέλας, οὐδέποτε εἰς τὴν
θείαν ψυχὴν αὐτῆς ἀνῆλθεν· οὐ-
κ ἐμφθέγξατο ὅρκον διὰ τῆς
γλώττης· οὐ ψευδῆ ῥήματα διὰ
τῶν χειλέων αὐτῆς ἐξῆλθον· οὐ-
κ ἐφθέγξατό ποτε κατά τινος
λοιδορίαν· οὐκ ἐπαύσατο πώποτε
κρυπτῶς πενθεῖν καὶ σκυθρω-
πάζειν· καὶ ταλαιπωρουμένη τοῖς δα-

κρουνοῖς καταβρέχων. τῆς γὰρ

Κλίνης χερσὶν ἐφαπτομένη τοῖς τάπησι κατεστρωμένης· τὸ δοκεῖν ἐπὶ πέρας ἔπαυε τὴν ἅμα παύειν τὸ σῶμα τοῖς οἰκείοις ὅσα τό· ἡνίκα δὲ ἡμέρα ἐξ τὴν ἀρχὴν ἐποιεῖτο, τῆς κλίνης ἀνισταμένη ψιάθῳ χορτίνῳ καὶ τριχίνοις ῥάκεσιν ἐν τῷ ἐδάφει κειμένων, τὴν ἀνάπαυσιν ἐποιεῖτο· ὥραν ἐξ ὥρας ἀνισταμένη καὶ τὰς χεῖρας εἰς τὸν ἀέρα διεκπετῶσα καὶ τῷ θεῷ ἅμα πέμπουσα τὰς αἰνέσεις καὶ τὴν τῆς ψυχῆς σωτηρίαν ἐπιζητοῦσα. διὸ καὶ ἐκ τῆς ἄγαν σκληραγωγίας, ἡ σωματικὴ αὐτῇ περιεστοίχησε νόσος· καὶ ὅσον ὁ ἐκτὸς αὐτῆς διεφθείρετο ἄνθρωπος, τοσοῦτον ὁ ἐντὸς αὐτῆς κατὰ θεὸν ἀνεκαινοῦτο. τὰς γὰρ ἐκ τῶν νόσων τοῦ σώματος ἀλγηδόνας, ὡς τινὰς εὐεργεσίας λογιζομένη, εὐχαριστεῖν καὶ δοξάζειν οὐ διέλειπεν τὸν κύριον. τὸ γὰρ ὡραιότατον αὐτῆς καὶ τίμιον σῶμα κατατρυχόμενον ταῖς ἀσθενείαις ὁρῶσα, οὐδὲν ἀγεννὲς ἢ βλάσφημον προηλάτο ῥῆμα· ἀλλὰ μᾶλλον πρὸς προσευχὰς καὶ δεήσεις τὴν ἑαυτῆς στομώσασα γλῶτταν, οὐ διέλιπε τὸν θεὸν ἱκετεύειν. τῇ γὰρ περαιτέρᾳ τῆς ἀσκήσεως ἀγωγῇ ἑαυτὴν ἐπιδοῦσα, καὶ εἰς ἀφορμὴν ἐγκρατείας

τὴν νόσον λαβοῦσα, οὐ διέλιπε διὰ θρήνων πέμπειν τοῖς πένησι τὸν πλοῦτον· τὸ δὲ τίμιον αὐτῆς στόμα, τῇ μελέτῃ τῶν θείων ὕμνων κατειθισμένον, οὐκ ἐπαύετο τὰ τίμια λόγια τοῦ ἱεροψάλτου Δαβὶδ τοῦ προφήτου ἐπᾴδειν. καὶ γὰρ οὐ παρῆρχετο ὀξὺ αὐτῆς ἡ ἑπτάκις τῆς ἡμέρας αἴνεσις τοῦ κυρίου· οὐδὲ ὕπνῳ τὴν ἀνάπαυσιν ὑπέμενον ἄνευ δακρύων· τὸ γὰρ βρῶμα αὐτῆς, μετὰ σποδοῦ ἤσθιεν· καὶ τὸ πόμα αὐτῆς, τοῖς δακρύοις ἐκέρνα. ταῖς δὲ ἀλλοτρίων συμφοραῖς συμπαθοῦσα, δακρυρροοῦσα τὸν θεὸν ὑπὲρ αὐτῶν ἐλιπάρει· καταπονουμένοις χεῖρα ὀρέγουσα βοηθείας· καὶ ὀρφανῶν καὶ χηρῶν προϊσταμένη, ὡς μήτηρ τῶν ἐν θλίψει καὶ ἀθυμίαις χειμαζομένων, ὑπάρχουσα. τῶν γὰρ

Ἡδονῶν πατήσασα τὰς νιφάδας, κούφως καὶ καθαρῶς τὸ τοῦ βίου πέλαγος, ἐν ἁγνείᾳ διέπλει· καὶ τὴν πρόσκαιρον καὶ φθαρτὴν καὶ ῥέουσαν δόξαν μισοῦσα, τῶν μονίμων καὶ ἀράστων καὶ ἀθανάτων, τὴν λῆξιν ἐπιτυχεῖν ἐπεζήτει· πάντα κόσμον καὶ τὰ ἐν κόσμῳ, διὰ Χριστὸν ἀπαρνησαμένη, τὸν χρηστὸν ζυγὸν τοῦ κυρίου λαβοῦσα· καὶ τὸν σταυρὸν ἐπωμισαμένη

δραμοῦσα, καὶ ἁπλῶς τοῖς ἴχνε-
σι τοῦ Χριστοῦ ἠκολούθει· διὸ καὶ τῆς
ἐφέσεως αὐτῆς εὑραμένη τὸ πέ-
ρας, τῶν ἐλπιζομένων αὐτῇ
οὐ διήμαρτεν ἀγαθῶν· ὁ γὰρ
βλέπων τὰ ἐν κρυφῇ αὐτῆς
ἐκτελούμενα ἔργα, αὐτὸς αὐ-
τὴν φανερῶς διὰ τούτων καὶ ἐμ-
φανῶς δοξάζει· καὶ γὰρ ἀψευ-
δὴς ἡ φάσκουσα αὐτοῦ θεία φω-
νή· οὕτως λαμψάτω τὸ φῶς
ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὅ-
πως ἰδόντες τὰ καλὰ ἔργα ὑ-
μῶν, δοξάσωσι τὸν πατέρα ὑμῶν
τὸν ἐν τοῖς οὐρανοῖς. ὁ γὰρ τίμιος
Ταύτης καὶ ἔνδοξος θάνατος, τὴν
τοῦ προφήτου Δαβὶδ ἐβεβαίω-
σεν ἀπαγγελίαν· τίμιος γάρ φησιν
ἐναντίον κυρίου ὁ θάνατος τῶν
ὁσίων αὐτοῦ. προέγνω γὰρ αὐ-
τῆς, τὴν ἐκδημίαν τὴν ἐκ τοῦ
σώματος· καὶ αἰτουμένη τὴν
ἐκ τοῦ κόσμου αὐτῆς ἀναχώρη-
σιν, ἀπολαβέσθαι αὐτὴν πάν-
τα προσεύξατο· καὶ τὸν σο-
φὸν ἄνακτα πρὸς ἑαυτὴν ἐκζη-
τήσασα, αὐτὸν τὸν τελευταῖον
ἀσπασμὸν, κατὰ τὴν πρόσοδον· καὶ
σὺν δάκρυσι τὰς παρειὰς αὐ-
τοῦ καὶ τὰς χεῖρας φιλήσασα,
τὰ ὑπὲρ τῶν συγγενῶν καὶ φί-
λων καὶ οἰκετῶν ἐπιτρέπει· τῆς
τῆς ὥρας αὐτὴν ἤδη κατεπει-
γούσης, πρὸς ὑμνῳδίας καὶ
εὐχὰς ἐξετράπη. καὶ ἐπὶ τῆς

δοξολογίας ἐν τῷ πανσόφῳ στό-
ματι αὐτῆς. τοῖς στέρνοις σταυ-
ροειδῶς σχηματίσασα· καὶ
ὡς ἐν ὕπνῳ μειδιάματι τὰς
παρειὰς προσδείκνυσα, τὴν ὁ-
σίαν αὐτῆς ψυχὴν, εἰς ὁσίας
τοῦ θεοῦ παρέθετο χεῖρας· καὶ
αὖθις ἡ τοῦ προσώπου αὐτῆς
ὡραιότης ὡς φῶς ἡλίου καθά-
περ ἐξαστράψασα, ἀκτινοβολεῖν
τοῖς παροῦσιν ὁρᾶτο· τὸ δὲ
τῆς μειδιάσεως τῶν παρειῶν
αὐτῆς σχῆμα, τὴν ἀγαλλίασιν καὶ
ἀνάπαυσιν τῆς ἁγίας ψυχῆς
αὐτῆς ὑπεμφαῖνον· μέχρι
τῆς ἐν τῷ τάφῳ καταθέσεως
αὐτῆς, ἀπαράτρεπτον διε-
φυλάχθη. τοῦ γὰρ τιμίου
Σώματος αὐτῆς βασιλικῇ δό-
ξῃ πρὸς τὸν σηκὸν τῶν θείων
καὶ ἱερῶν ἀποστόλων ὑπὸ τοῦ
βασιλέως καὶ τῆς συγκλήτου,
ἐν ὑμνῳδίαις καὶ ᾄσμασι καὶ
λαμπάσι κομιζομένου, ἐγέ-
νετο τι ξένον καὶ παράδοξον
θαῦμα· τοῖς μὲν πολλοῖς ἀ-
γνοούμενον. τοῖς δὲ τὰ ἐκεί-
νης περισκοποῦσι φανερῶς,
καὶ ὁραθὲν καὶ λαλούμενον.
χειμερίου γὰρ τοῦ καιροῦ ὑπάρ-
χοντος, καὶ τῆς ἡμέρας καὶ ὥ-
ρας χιονώδους ὑπαρχούσης,
ἡνίκα τὸ τίμιον αὐτῆς σῶμα
ἐκ τῆς Χαλκῆς πρὸς τὸ ὕπαι-
θρον ἀνεφάνη, ὁ ἥλιος ὡς ἐν

θεερμὴ ὥρα τὰς ἀκτῖνας
θερμῶς ὑφαπλώσας, πάλιν
αὖ παρεσκεύασε τὴν ἡμέραν.
Καὶ ὥσπερ ἐκ πυρὸς ἐρήμης
θάλψεως οἱ σωκομισθέντες προσ
θαλφθέντες, ἱδρῶσι καὶ ζέσι
τῆς πυρείας κατεβρέχοντο· ἡ
μῖν καὶ δὲ πρὸς τὸν ναὸν τὸν θεῖ
ον εἰσελθοῦσι τὸ πνεῦμα ἦπον ἐκεί
νης σῶμα. Καὶ ἐν τῇ θείᾳ
σορῷ τοῦ λαρνακος κατετέθη,
πάλιν ἡ ἡμέρα τὴν τοῦ ἰδίου
καιροῦ ἀναλαβοῦσα φύσιν,
ζοφώδη καὶ ἀφεγγῆ τὸν ἀέρ
ἀπεργάσατο· ὥστε δοκεῖν καὶ λέ
γειν πάντας, ὅτι καὶ αὐτὴ ἡ ἡ
μέρα συναλγεῖ· πενθοῦσα
τῆς τιμίας βασιλίσσης τὴν
στέρησιν· μετὰ δὲ τὴν τεσ
σαράκοντα ήμερον τῆς καταθέ
σεως ταύτης ἡμέραν, ἐν παν
τὶ τῷ κόσμῳ τὰ διὰ ταύτης ἐξέ
λαμψαν θαύματα· καθ' ὅσον
γὰρ τῆς ψυχικῆς ἐμπαθείας τὸ
ἄλγος, τῷ ποιητῇ καὶ θεῷ ἀμέ
σως παρέστη· καὶ τὴν χορηγίαν
τῶν θαυμάτων διὰ τῆς παρου
σίας λαβοῦσα, τῶν ἰάσεων
τὰς πηγὰς ἀναβλύζει· πολ
λῶν γὰρ καὶ μεγάλων ἐκ τῆς
τιμίας αὐτῆς σοροῦ ἰάσεων
τοῖς προσιοῦσι παρεχομένων,
ἡ ταύτης εὐεργεσία εἰς πᾶσαν
τὴν γῆν ἐξηκούσθη· καὶ ὁ φθό
νος τῶν θαυμάτων αὐτῆς, ἧς

τὰ πέρατα τῆς οἰκουμένης κα
τεμηνύθη· καὶ πολλοὶ δι' αὐ
τῆς ἐκ τῶν ἀνιάτων νόσων
ἀπαλλαγέντες· οἵτινες καὶ
μάρτυρες καὶ μάρτυρες τῶν
ἐκείνης ἐγίνοντο ἱερωτάτων
θαυμάτων· ἐξ ὧν κἀγὼ ὁ τα
λας ἐκ τῆς τιμίας ἐκείνης
σοροῦ ἰάσεις ἀπολαύσας, οὐ
δίκαιον ἔθεμεν τὰ εἰς ἐμὲ
γεγονότα ἐξαίσια θαύματα,
σιωπῇ κατακρύψαι· ἵνα μὴ
ὡς ὁ πονηρὸς ἐκεῖνος δοῦλος
ὁ τὸ τάλαντον κρύψας, τὴν
κατάδικον ὑφέξω· ἄλλως γὰρ
μὴ σωλάγειν, ἀψευδῶς εἰρή
σεται πάντως· οὐ γὰρ πρὸς χά
ριν ταῦτα ἔρχομαι λέξων, ἀλ
λ' εἰς πολλῶν ὠφέλειαν καὶ πί
στιν τῶν αὐτὰ πιστῶς ἀκου
όντων· ἤλγει μὲν γὰρ ὁ ἐμὸς
γόνυ κάτω τοὺς πόδας· καὶ
ὁ δυνατὸς σφοδρῶς· τὴν θε
ραπείαν ἀνιάτον ἔχων· ἦν δὲ
καὶ καιρὸς τοῦ θέρους· μῆνα
ἰούλιον ἔχων· ἐν ᾧ καὶ ἡ μνή
μη τοῦ θεσπεσίου προφήτου
ἠλιοῦ ἐκτελεῖται· συνή
θεια δὲ ἦν ἀπὸ χειμώνων ἐκ
τῶν περιφανῶν ἐκκλησιῶν
ὧν συνάγεσθαι πλεῖστα χειρο
ὑφαντα πέπλα· ἐξ ὧν ὁ
θεῖος σηκὸς τοῦ προφήτου
λαμπρῶς κοσμούμενος ἐλα
ζοῦτο· συνέβη δὲ καὶ ἐκ τοῦ

περιβλέπτου μαλοῦ τῶν τιμί-
ων ἀποστόλων στολὰς περισ-
λαβέσθαι. ἐπλήρου δὲ τὴν τε-
των διακονίαν, μύρων ὅπερ
διαπαντὸς ὅστις προστάξει
τοῦ ἐμοῦ πατρὸς ὡς ταχύτερα
φος αὐτοῦ ὑπάρχων, τὸ προσ-
ταττόμενον δ' ἐκτελεῖ. λα-
βὼν γὰρ ἐκ τοῦ τότε τὸν να-
ὸν περιεστῶτος τὰ τίμια πέ-
πλα· σὺν τοῦ σεπτοῦ μα-
φορίου τῆς ἁγίας θεοφιλῶ
βασιλίσσης. διὰ τὸ καὶ αὐ-
τὸ χερσὶ ποικιλτὸν εἶναι·
πρὸς τὸν ναὸν τοῦ προφήτου
Ἠλιοῦ τὸν συλλεχθέντα πε-
πόμφει. τὸ δὲ θεῖον μαφό-
ριον τῆς ἁγίας ὡς διαφανὲς
καὶ λεπτότατον πέπλον, ὑπὸ
τὸ ἴδιον αὐτοῦ χειρίδειον
κατακρύψας· καὶ τῷ οἰκείῳ
ἐπιβὰς ἵππῳ, πρὸς τὸν ἀπο-
στείλαντα ἔσπευδεν ἀναστρέ-
ψαι. γυνὴ δέ τις ὑπὸ πονη-
ροῦ πνεύματος ὀχλουμένη.
καὶ ἐν τοῖς ψιαθοφόροις τοῖς
πρὸ δόμου τῆς βόρου κελλίοις
τὴν οἴκησιν ἔχουσα· τοῦτον
θεασαμένη διὰ τῆς ὁδοῦ
περιιόντα, αὖθις δ' ἐξαναστᾶ-
σα, κατὰ βοᾶν καὶ ὑλακτεῖν
ὀπίσω αὐτοῦ ἐπειρᾶτο. καὶ
λόγοις αἰσχίστοις, σὺν τούτοις τὴν
ἁγίαν. τὸ ὄνομα αὐτῆς δ' ἐκ-
φωνεῖ. ὁ δέ, φόβῳ καὶ δειλί-

συσχεθείς, τοῖς ποσὶ πλήξας
τὸν ἵππον· καὶ τῷ χειριδείῳ
ἐν ᾧ τὸ τίμιον μαφόριον τῆς
ἁγίας κατεῖχε, τῷ δαιμονιώσῃ
γυναικὶ καταπλήξας ἐπὶ τὴν κά-
ραν, ὑπτίαν αὐτὴν εἰς τὴν ὁ-
δὸν πεσεῖν παρεσκεύασεν.
ἡ δὲ μεγάλῃ κράξασα τῇ φω-
νῇ, ἐξαγγεῖσα παρευθὺ τῆς ἰά-
σεως ἔτυχεν. ὁ δὲ τὸ γεγονὸς
ἑωρακὼς δ' ἐξαίσιον θαῦμα
φόβῳ καὶ τρόμῳ συσχεθεὶς
καὶ ἀγωνιῶν πρὸς ἡμᾶς ὡς χελιδὼν
παραγέγονε· τὴν αἰτίαν
δὲ τοῦ ἀγῶνος ἐρωτηθεὶς, τὸ
συμβὰν αὐτὸ κατὰ τῆς ὁδοῦ
διηγήσατο· καὶ τὸ τίμιον
μαφόριον τῆς ἁγίας ἐκ τοῦ
κόλπου δ' ἐξαγαγὼν, τῷ δ' ἐλ-
θούσῃ διωαμὴν ἤμην ἀνεκά-
λυψεν. ὅπερ τίμιον μαφό-
ριον ὁ ἐμὸς πατὴρ ἐκ πίστεως ἀνα-
λαβών. καὶ τοῖς ἀλγοῦσι ποσὶν
ἐπιθεὶς, παραυτίκα τῆς ἰάσεως
ἐπέτυχε. τῆς γὰρ ὀδύνης εὐθέως
ἀπελαθείσης, καὶ ἡ τοῦ φύμα-
τος κατέπεσεν ὄγκωσις· καὶ
ῥωσθεὶς ταῖς ἐκείνης πρεσβεί-
αις ἐν ὅλαις τεσσαρσὶν ἡμέραις
τῆς κλίνης ἐξανέστη, οἰκεί-
οις ποσὶ περιπατῶν ἀπο-
σιωπῶς, τῷ θεῷ καὶ τῇ ἁγίᾳ
ἐκ πίστεως ηὐχαρίστει. ὀλίγου
δὲ χρόνου παρῳχηκότος· καὶ ἡ
ἐμὴ μήτηρ καὶ δούλη κυρίου Εἰρήνη,

τῇ συνήθει διακονίᾳ τῆς πτω-
χολογίας καὶ διατροφῆς
τῶν πενήτων ἐν τῷ εἰωθότι
λούματι τῶν ἀρμακτίου ποι-
οῦσα, ἐκ τῆς ἄγαν φιλοπτωχεί-
ας καὶ τῆς ἄγαν θεραπείας τῆς
εἰς τοὺς πένητας ποιουμένη,
λιποθυμίᾳ ληφθεῖσα, εἰς ἐ-
πιληψίαν κατηνέχθη· καὶ πε-
ριπεσοῦσα, ἄπνους καὶ ἄφω-
νος ὅλη σχεδὸν καθορᾶσθαι· ταύ-
την δὲ ἐκεῖθεν ἀναλαβόντες,
οἴκαδε οἱ θεράποντες ἤγαγον· αὐ-
τῆς δὲ ἐπὶ πολλὰς τὰς ὥρας
ἀφώνου καὶ ἀκινήτου μενού-
σης, ἐδόξαμεν πάντες ταύτην
τεθνάναι· ὁ δὲ τίμιος ἡμῶν
πατὴρ καὶ δεσπότης, ἐκ τῆς ἐν-
δόξου τάξεως αὐτοῦ, μετὰ
τῆς συνήθους προελεύσεως
αὐτοῦ οἴκαδε ἐπανάγων ταύτην
θεασάμενος, καταπλαγεὶς
δὲ ἠπόρει· καὶ μικρὸν εἰς ἑαυ-
τὸν ἐπανελθὼν, τὸ συμβὰν ἐ-
πηρώτα· καὶ αὖθις ὑπὸ θεοῦ
ἐμπνευσθεὶς, πρὸς τὴν τῆς ἁ-
γίας ἐπικούρησιν ἐκινήθη·
καὶ καλέσας τὸν λειτουργὸν
Τῆς αὐτοῦ ἐκκλησίας, ἀπελθεῖν
πρὸς τὸν θεῖον ναὸν τῶν ἁγί-
ων ἀποστόλων κελεύει· καὶ τὸ ἐκεῖ-
σε ἀποκείμενον τίμιον δακτυ-
λίδιον τῆς ἁγίας· τὸ δὲ ὑα-
λίνου λίθου κατασκευασθὲν,
ἀναλαβέσθαι· καὶ μετὰ τῆς πε-
ρισσῆς κοσμούσης αὐτὸ τιμῆς, πρὸς αὐ-
τὴν διακομίσαι· τοῦ δὲ προσ-
τάγματος αὐτοῦ δι' ἔργου τελει-
ωθέντος, λαβὼν ἐκεῖνο τὸ ἐκ πί-
στεως αἰτηθὲν, καὶ εἰς τὸ ὕδωρ
τῶν ἁγιασματίων τοῦ τὸ ἐμβά-
ψας, τοῖς χείλεσιν αὐτῆς πε-
ριρρᾶναι προστάττει· καὶ ἅ-
μα τῆς περιρράνσεως γεναμένης,
τὰ χείλη δι' ὕδατος ῥανθεῖσα, κινεῖν
ἐπεχείρει τὴν γλῶτταν· τῶν
δὲ αὐτοῦ ὡς οἱ μαιπλιχομένη
τὴν ἴασιν ἐπισπάσασθαι· καὶ
οὐ μετὰ πολλὴν ὥραν τὰ ὄμ-
ματα ὑπανοίξασα, τὴν χεῖ-
ρα προτείνειν πρὸς ὑποδοχὴν
τούτου ἐσπούδαζεν· ὁ δὲ, λαβὼν
τὸ δακτυλίδιον, εἰς τὴν δεξι-
ὰν χεῖρα ταύτης ἐμβάλλει· ἐν
ὅλαις ὀκτὼ ἡμέραις τῶν
δὲ αὐτοῦ ἁγιασθέντων ναμά-
των πίνουσα καὶ ἀπαλειφο-
μένη τὸ σῶμα, ὑγιὴς καὶ ἀ-
βλαβὴς κατέστη· δόξαν
καὶ αἶνον τῷ θεῷ καὶ τῇ ἁγίᾳ
προσάγουσα· μετὰ δὲ
Τὴν ἐκείνης τελευτὴν καὶ τὴν πρὸς
κύριον ἐκδημίαν, διὰ τοῦ χρό-
νου παραδραμόντος, ὁ μὲν
πατὴρ ἡμῶν τῶν δημοσίων
φροντίδων ἀπαλλαγεὶς τὰς
φροντίδας διὰ τὸ γῆρας αὐτοῦ
καμφθῆναι, καὶ ἐπαλλήλοις
νοσήμασι περιπεσεῖν, οἴκα-
δε παραμένων ἐκάθητο· καὶ

τὴν τοῦ οἴκου φροντίδα τῷ
υἱῷ αὐτοῦ καὶ ἡμετέρῳ
σπουδαίῳ μονίμῳ Μιχαὴλ τῷ πρω-
τοσπαθαρίῳ, διοικεῖν ἐνε-
τείλατο· τὸ γὰρ ἄοκνον αὐ-
τοῦ καὶ ἐντρεχὲς τῆς ἐπιμε-
λείας γινώσκων, τὴν πᾶσαν
αὐτοῦ περιουσίαν, εἰς χεῖρας
ἐκείνου παρέθετο· καιροῦ δὲ
καλοῦντος, καὶ χρείας τινὸς
μικροῦ πράγματος ἀναγκαί-
ως πραχθῆναι μελλούσης, ὅπερ
τὴν διακονίαν πληρῶσαι τῷ
υἱῷ ἐνετείλατο· ὁ δὲ, τοῖς
φροντίσιν ἑτέραις περιασχο-
ληθεὶς, τὴν πατρικὴν διάτα-
ξιν, διά τινος οἰκέτου γενέ-
σθαι προσέταξεν, οὐ τὴν τοῦ
πατρὸς καταφρονῶν διάταξιν,
ἀλλὰ τὴν εὐτέλειαν τοῦ πρά-
γματος εἰς οὐδὲν λογισάμενος·
τῆς δὲ ἐννάτης ὥρας τῆς ἡ-
μέρας ἐκείνης ~~καταλαβούσης~~ ης
ὁ μὲν ὀκνηρὸς ἐκεῖνος οἰκέ-
της, ἐπιλαθόμενος τῆς
προσταχθείσης αὐτῷ διακονί-
ας, ἀτελῆ τὴν διάταξιν εἴ-
ασεν· ὁ δὲ ταύτην γενέσθαι
Προστάξας, εἰς ζήτησιν τῆς
χρείας παρέστη· καὶ τοῦ ἔρ-
γου μὴ τελεσθέντος, ὅπερ
ὡς δεσπότης κατὰ τοῦ υἱοῦ
ἠγανάκτει· καὶ λόγοις τοῦτον
ἐπιτιμασίζων προσπλήξας,
δυσφημεῖν καὶ ἀνιᾶσθαι παρα-
σκευάζει· ὁ δὲ, τὴν ἀγανάκτη-
σιν τοῦ πατρὸς ἐξ ὀλιγωρίας μὴ
φέρων, τὸν πονηρὸν οἰκέτην
καὶ ὀκνηρότατον δοῦλον, ὡς
καταφρονητὴν τῆς αὐτοῦ προ-
στάξεως, ἀμύνασθαι ἠβουλή-
θη· προσκαλεσάμενος γὰρ τοῦ-
τον, ὑπὲρ τῆς ἀμελείας
ἐξερωτῶν αὐτὸς ἡμαρτηκὼς
ἀναιδέστερος ἀνεφάνη· καὶ
ἀπρεπεῖς καὶ ἀτάκτους ἀπο-
λογίας φθεγξάμενος, τὸ δο-
κεῖν τὸν δεσπότην παρελογεῖ-
το· ὁ δὲ, θυμοῦ πλησθεὶς, τῇ
τε χολῇ ὑπερζέσας, τοῦτον
λὰξ κατὰ τῶν κενεώνων
κινηθεὶς καταπλῆξαι· καὶ
ἔκ τινος δυστυχοῦς ἀποει-
τοῖς ποσὶ σκελισθεὶς, ὕπτι-
ος πεσὼν, τοῖς κροτάφοις
ἐπλήγη· καὶ λειποθυμίᾳ λη-
φθεὶς, ὥσπερ ἀπλῆξ ἄφωνος
καὶ ἀκίνητος παρευθὺ κατω-
σθη· φωνῆς δὲ καὶ κραυγῆς
Παρὰ τῶν παρεστώτων οὐ μικρᾶς
γενομένης· ἀκούσας ὁ πα-
τὴρ τὸ συμβὰν τῷ υἱῷ παρ' ἐλπί-
δα, καὶ περὶ νόσῳ κρατούμενος,
ἀναστὰς ἐκ τῆς κλίνης δρομαῖος,
ἦλθε τρέχων· καὶ τὸν υἱὸν
ἐν τῇ τοιαύτῃ θεασάμενος
ἀμορφίᾳ, τίλλων τὰς τρί-
χας καὶ δακρύων, αὐτὸν κα-
τεθρήνει· νομίσας δὲ τοῦτον
τεθνάναι, τὸν ἐντάφιον αὐτοῦ,

ἤρξατο ποιεῖσθαι φροντίδα.
τῆς φήμης δὲ διαγγελούσης
τοῖς φίλοις καὶ τῶν συνήθων
ἁπάντων συνδεδραμηκότων,
ἐγένοντο οἰμωγαὶ θρήνων καὶ
ὀδυνηραὶ φωναί, τὴν ἄωρον
τοῦ παιδὸς θρυλλοῦσαι ἀκινη-
σίαν. πολλῶν δὲ ἀεὶ τῶν ἰατρῶν
συνελθόντων. καὶ πλεῖστα δι-
ὰ πείρας μηχανιῶν προβαλ-
λόντων, οὐδεμία ἦν φωνὴ ἢ
ἀκρόασις. ἡ κίνησις τοῦ παι-
δός, ὡς νεκροῦ προκειμένου
τούτων οὕτως ἐν τούτοις ἀνηλι-
βερῶς θρυλλουμένων, ἡ τῆς
ἡμέρας διῆλθεν ἑσπέρα. τὸ
ἦν νὺξ ἀρχὴν ἀναλαβοῦσα, τὸ
πένθος ἐπηύξει τοῦ παιδὸς
ἀφώνου καὶ ἀκινήτου τοῖς
πολλοῖς ὁρωμένου· ἔδοξε δὲ
τῷ πατρὶ τοῦτον πρὸς τὸ περι-
βόλαιον τοῦ οἴκαδε εὐκτηρί-
ου αὐτοῦ οἴκου τῆς δεσποί-
νης προσθῆναι. καὶ μικρὸν
ἤδη σιωπῆς καὶ σελήνης
ἐκεῖ συγκεχυμένης. καὶ πάν-
των ὡς ἀληθῶς εἰπεῖν, ἐκ
τῆς ἄγαν ἀθυμίας πρὸς ὕπνον
τραπέντων, μόνος ὁ πατὴρ νή-
φων καὶ ἄγρυπνος τὴν τοῦ υἱ-
οῦ ἀποκλαίεται συμφοράν τε
καὶ στέρησιν. καὶ τὸν θεὸν ἀλα-
λήτοις φωναῖς ἐλιπάρει. πο-
λλῶν δὲ ὡρῶν ἤδη τῆς νυ-
κτὸς διελθόντων, ἡ ὥρα τῆς

ἀλεκτοροφωνίας ἐπέστη. καὶ ἡ
πρὸς σύναξιν τῆς ἑωθινῆς
δοξολογίας τῶν ἐκκλησιῶν
ἧκει. ὁ δὲ παῖς ὡς νεκρὸς καὶ
ἄφωνος καὶ ἀκίνητος μένων,
ὕπτιος ἐπὶ τῆς κλίνης ἀνέκει-
το. αὖθις δὲ θεία τις ἐπισκέ-
ψις εἰς αὐτὸν γενομένη, καὶ
τὴν νέκρωσιν τοῦ σώματος
εἰς εὐκινησίαν κινοῦσα τὸν
ἀκίνητον ἀληθῶς, καὶ τρέ-
χειν καὶ φωνὴν προεσκάλε-
σε. τὰ γὰρ ἐπάνω τοῦ κείμενα
πέπλα, ὡς δοκεῖ μάτην διαρ-
ρήξας, τῆς κλίνης ἐξαναστάς,
δρομαίως πρὸς τὴν πύλην τοῦ
θείου ναοῦ ἐξίστατο. φωνῇ δὲ
μεγάλῃ κράζων, τοῖς προσοῦ-
σιν ἐβόα· ἀνοίξατε πάντες,
τὴν πάντων κυρίαν, τὴν μητέρα
τοῦ κτίστου καὶ θεοῦ, ἅμα τῇ
ἁγίᾳ θεοφανῷ βασιλίσσῃ
εἰς τὸν ναὸν εἰσιούσας· τῶν δὲ
φησάντων· οὔ· ἀλλὰ τίς καὶ πῶς·
καὶ πόθεν ἡ τοιαύτη μεταβολὴ
γέγονε τέκνον, αὐτὸς μὴ φων.
καὶ ἐρρωμένον ἔχων τὸν νοῦν
καὶ τὸ σῶμα. ὡς μηδὲ πώποτ' ὅλως
πληγείς. φόβῳ πολλῷ συνεχό-
μενος, ἔφη· εὐχαριστῶ σοι δέ-
σποινα θεομῆτορ, ὅτι οὐκ ἀ-
πηξίωσας καὶ τῆς ἐμῆς οὐθε-
νείας τὴν σωτηρίαν περιποιή-
σασθαι· ἀλλὰ διὰ τῆς ἱκεσίας
τῆς σῆς θεραπαίνης θεοφανῶ

βασιλίσσης, ταῖς περικαλλέσιν
εὐχαῖς ἐφιδοῦσα, ἐμὲ τὸν ἀ-
νάξιον σου οἰκέτην· τοῦ ἀθ-
λίου τούτου ζῆν ἤλου θανάτου·
ἕως πολὺ δὲ παραπέμπων· καὶ
τοῦ πρὸς πλέον μεριμνωμένου ἀ-
πάντων τὴν αἰτίαν καὶ θέαν τῆς
ὁσίας, ἀνοίξας τὸ στόμα
μετὰ δακρύων, ἔφη· ὦ μην
ὥσπερ καὶ φίλοι ὡς ἐν ὕπνω-
δη τῷ καθεύδειν· μηδὲν δὲ τὸ
σῶ ὁλοφύρεσθαι ἀθυμεῖσθαι· ἢ
λογίζεσθαι τινὸς τῶν ἐν βίῳ·
ἐπέστη δέ μοι ἄφνω γυνή τις
εὐωπὸς καὶ ὡραία πορφυ-
ροῦν χιτῶνα φοροῦσα· ἦν δὲ αὐ-
τῆς καὶ ἡ ἐπιμετώπιος τῆς
κάρας κόσμησις, τὰ ξίφανη ὁ-
λίου λίμου σιβαρῶς διαπλού-
μενος· περιβέβλητο δὲ καὶ ὡς
περιβόλημα φορείου, ὥσθε-
ει στρομνὸ κκίμον, χρυσοῖς κρο-
σοῖς διαλάμπων· ἐκ δεξι-
ῶν δὲ ταύτης παρείπετο ἡ
ἁγία θεοφάνω ἡ βασίλισσα·
ὑποβεβλημένη τὴν αὐτῆς
χεῖρα τῇ δεξιᾷ τῆς πανάγνου·
ἦν δὲ καὶ ἡ ταύτης στολὴ βασι-
λική· χλαμὺς περιστιλβομένη
χρυσίῳ καὶ μαργαρίταις· στεμ-
μένη δὲ διαχρύσῳ βασιλικῷ
διαδήματι· ἐπὶ δὲ τῆς εὐω-
νύμου χειρὸς τῆς πανάγνου, πα-
ρείπετο καὶ ἡ ἐμὴ μήτηρ δακρυρ-
ροοῦσα καὶ στενομένη ταῖς ἀμφο-

τέραις καὶ θερμῶς λιπαροῦσα, ἐ-
ξῶν, πρὸς ταύτην ὡς ἤκουσα
λέξαι· μὴ ἀθυμεῖν γύναι· πί-
στευε καὶ ὄψει τοῦ υἱοῦ καὶ θεοῦ μου
τὴν δόξαν· αὐτίκα καὶ πλησίον τῆς
ἐμῆς κλίνης ἐλθοῦσαι, περιε-
τεύψαντο τὸ δοκεῖν τὴν ἐμὴν
μελ, σχήματι πολλῷ με ὑποδεῖ-
ξαι ταύτας τῶν σπλάγχνων τὴν
θέσιν· ἡ δέ, τοῦτο ποιήσασα
τάχει, λέξαι πρὸς τὴν ὄντως
ἁγίαν θεοφάνω τὴν θεοῦ μητέρα,
τάδε· ψηλαφῆσαι τὴν αἰτί-
αν τοῦ πάθους, καὶ ἰάσασθαι τοῦ-
τον. ἡ δέ, ἔφη· τίς γὰρ ἐγὼ

Εἰμὶ κυρία, ἵνα τοῦτο πράξω·
αὕτη δὲ ἔφη· μὰ διὰ σοῦ γὰρ
μέλλει τελεσθῆναι τὸ ἔργον· ὅτι
δέδωσοι τὸ κράτος, αὐτός σου τὸ
τὴν χάριν παρέσχεν· ἡ δὲ ἁγία
τῶν ἐμῶν σπλάγχνων ἀψαμέ-
νη, ἔφη πρὸς ταύτην· ἀπαθὴς
ὑπάρχει κυρία τοῖς σπλάγχνοις.
ἡ δέ, φησίν· ἅψαι τούτου τὴν
κάραν· μέ πως ἐκ χολώδους
ἀναθυμιάσεως, προσηνυξάν-
θη τὸ πάθος· καὶ ἡ τῶν φρενῶν
αὐτοῦ κίνησις ἐπηρώθη. ἡ δέ,
φησίν· ὡς κελεύεις κυρία·
καὶ ἅμα τῷ λόγῳ τοῖς τρισὶ δα-
κτύλοις τῆς δεξιᾶς χειρὸς αὐτῆς
ἀψαμένη σου τοῦ μετώπου
καὶ σφοδροτέρως τοῖς κροτά-
φοις συσφίξασα σης, αἰσθόμενος
τινὸς πόνου δριμυτάτου, ἐκ τῆς

ὁ δι' ὅλης ἡμέρας. καὶ ἰδοὺ ἀκ-
μὴν βλέπω ταύτας πρὸς τὸν
ναὸν τοῦ εὐκτηρίου, χωρεῖν
τως εἰσιούσας· ἡμεῖς δὲ πάν-
τες, ἐκ τῆς φωνῆς τοῦ παιδὸς
ἀγασθέντες, δρομαῖοι πρὸς τὸ
εὐκτήριον εἰσήλθομεν οἶκον
καὶ εὕρομεν πάντα τὰ ἐκεῖσε
κρεμάμενα φωτοδοχεῖα· ὡς
ἔκ τινος σεισμοῦ κινηθέντα· καὶ
ἀλλ' ἀφρόμενα πρὸς ἄλληλα· αἱ
δὲ τῶν κεκλεισμένων θυρῶν
ἀσφαλεῖς κλειδοῦχαι, ὥσ-
ἐκ πατάγου τινὸς ἀνέμου κρό-
του καὶ ἤχου, οὐ μικρὸν ἀπε-
τέλουν· καὶ ταῦτα ἑωρακότες,
κοινῇ φωνῇ ἅμα καὶ γνώμῃ,
τῷ θεῷ τὴν πρέπουσαν ἀνε-
πέμψαμεν δοξολογίαν. ἄλλη
Δέ με φοβερὰ καὶ ἐξαίσιος τῆς
ἁγίας ἐπισκιασία πρὸς διήγησιν
ἐπείγει. ὅπερ ἔπαθον ἐξ ἀμοι-
ας, εἴτε ἐξ ἀφροσύνης· εἴτε
ἐκ δαιμονικῆς ἐνεργείας, οὐ-
κ ἐπαισχυνθήσομαι φράσαι·
τῷ θεῷ γὰρ καὶ τῇ ὄντως ἁγίᾳ,
ἐξαγγέλλων τὸ πρᾶγμα. ἐγώ με-
τό μοι τῆς δυσπιστίας, τῶν
διὰ αὐτῆς τελουμένων θαυμά-
των. καὶ ὁ νοῦς τῇ αἰσθήσει
πρὸς ἄλλην ἄλλως σχολάζων, συ-
λλογισμοὺς ἐξ ἑκατέρων συ-
νίστα· τοῖς μέν, πείθεν κελεύων·
τοὺς δὲ ἀπιστεῖν παρασκευάζων.
διαλογισμοὶ δέ μοι ἀνέβαινον

ἐν καρδίαις, πλέον μᾶλλον
τὸ δυσπιστεῖν ἀνακελεύοντες.
εἴπερ εἰς πίστιν τὸ λεγόμενον
φέρειν. μιᾶς οὖν ὥρας μεσημ-
βρίας ἐπὶ κλίνης μὴ φωνὴν
ἀναπαύσει τὰ αὐτὰ σκοπῶν,
τὸν νοῦν ἀναμαλάζων, εἰς
ὕπνον ἐτράπην. καὶ φησί· καθ' ὕ-
Παρ ἐπέστη προσομιλῶν τίνος
ὄναρ τὸ κλίνης. ὁ τῆς ἁγίας
μὲν θεῖος ὑπάρχων· ἐμοὶ δὲ γνή-
σιος φίλος καὶ γνωστὸς κατὰ πάν-
τα· καὶ ὡς δῆθεν λιπαρῶν, ἔφη
μοι τάδε· πῶς σὺ λέγεις φι-
λεῖν με. μὴ θέλουσα μοι τὰς μέ-
ρας ταύτας αἰτήσεις. ἐγὼ
δὲ πρὸς αὐτὸν ἀπεκρίθην ποί-
ας ταύτας ὦ τίμιε φίλε. ὁ δέ,
φησίν, εἶπον σοι· διαφόρως
ὕμνοις δοξάσαι με τὴν ἁγίαν.
Καὶ ὅσην ὁ θεὸς χορηγήσει σοι φρά-
σιν, ἐξειπεῖν φθάσαι καὶ μόνα εἰς
δόξαν τοῦ κυρίου· καὶ ταύτης τι-
μὴν καὶ ἀγαλλίασιν. ἐγὼ δὲ
Φησὶ πρὸς αὐτόν· καὶ ποίαν ὑπό-
θεσιν χρήσομαι τῶν ἐκείνης κα-
τορθωμάτων· οὐ παρέστιν αὐ-
τῇ ἀσκήσεως δρόμος· οὐ δὲ
μαρτυρίου ἀγῶνες· οὐ θαυμά-
των ἐπίδειξις· καὶ τί λέξαι ἢ
συγγράψασθαι ἀπορῶ. ὁ δέ,
φησὶ πρός με· μὴ καταφρόνη-
σης διὰ θεὸν τοῦ ἐγχειρήματος
τούτου· ἀλλὰ λαβὼν χάρτην
καὶ κάλαμον, ἅπερ σοι λέγω

συγγράφου. λαβὼν αὖθις κα-
λαμον ἅμα καὶ χάρτην γελοιά-
ζων πρὸς τοῦτον ἔφην· λέγε
ἃ βούλει· ἑτοίμως ἔχω τοῦ γρά-
φειν ὅσαπερ ἂν προσφωνήσῃς με.
ὁ δὲ, φησὶ πρός με· ποίησον
Πρὸς τὸ, ὁ διηγήσατο τί πάλαι Θε-
οφανείας λαμπτῆρα φωτ-
ισθεὶς ἔθετο τῇ ἐκκλησίᾳ Χριστοῦ.
καὶ αὖθις ἔξυπνος γενόμενος
εἰς μνήμην φέρων τὸν ῥηθέν-
τα μοι λόγον· ἐξαναστὰς δὲ τῆς
κλίνης καὶ τὸ μελανοδοχεῖον
λαβόμενος καὶ κάλαμον ἅμα δὲ
καὶ τόμου τινὸς ἄχρηστον μέ-
ρος, ἠρξάμην γράφειν ἅπερ
καθ᾽ ὕπνους ἐρρέθη. καὶ τοσοῦτον
ὁμοίως μου κατέπειγε τὴν χεῖρα,
ὥστε μήτε τὴν βαφὴν τοῦ καλά-
μου συγχωρεῖσθαι τελεῖν με. τὸ
αὖθις τοιοῦτο ἅμα ἐπιγρά-
ψαι μνημονεύσας· τὸν εἰς τέ-
ταρτον τόνον τα, καὶ τὸν εἰς
πλάγιον δεύτερον. ἔκ τε τούτου
βεβαίαν πίστιν περὶ ταύτην
λαβὼν, ἐδεόμην δὲ τὴν ταύ-
της ἀντίληψιν· καὶ τὴν πρὸς
θεὸν παρρησίαν. μετὰ τοῦτο ὀλίγων
δὲ χρόνων, πάλιν ἧκέ τι μοι ἐπέ-
σκηψε τῆς δυσπεψίας. καὶ
ἐμερίζετό μου ὁμοίως εἰς πίστιν
καὶ πίστιν. καὶ ὀλίγου καιροῦ
παρῳχηκότος, περιέστη με
ἀδόκητος νόσος κατατρύχου-
σά μου τὸ σῶμα. τῶν νεφρῶν

ἐκ τῆς χολώδους θερμότητος
λιθιασάντων, ὀδύνας καὶ πό-
νους κατὰ τῶν λαγόνων τεχθέν-
τες, ἐξέθλιβέ με μεγάλως.
ἐκ δὲ τῆς τούτων ὀδύνης καὶ
ἡ τῶν ἀναγκαίων χρειῶν ἐπαι-
σχύνθη μοι ἔκκρισις. καὶ γέ-
γονα ὥσπερ ἀδόκητος ἐν τέχνῃ. ἐν
εἴκοσι καὶ ἑπτὰ ὅλαις ἡμέραις,
δεινῶς πιεζόμενος. πολλῶν δὲ
ἰατρῶν εἰσελθόντων. καὶ
μυρίων φαρμάκων διὰ τῶν
ἐντὸς καὶ ἐκτὸς ἐπιθέντων, οὐ-
δεμία μοι ἐλπὶς σωτηρίας ἐδη-
λοῦτο. πάντων δὲ ἐξαπορησάν-
των καὶ ἀπόφασιν θανάτου προσ-
μελετώντων, ἔφη πρός με ὁ ἀνω-
τέρω μνημονευθείς μοι συμμοναστῶν·
ὁ διὰ τῆς χάριτος τῆς ἁγίας ἐκ
τοῦ φάρυγγος ἀποπαθεὶς τοῦ
θανάτου. οἶδας ἀδελφὲ· ὅτι
ἀπείκασμένοι τῶν ἰατρῶν ἡ ἅ-
πασα τέχνη. καὶ τί μὴ ἔχοιπ-
ποιεῖν· ἰδοὺ ἐπὶ θύραις τὸ τέλος.
καὶ ἡμᾶς πάντας καταλιμπάνεις.
ἀλλὰ δεῦρο ἄκουσόν μου, καὶ
ἀποσταλείτω τις ἐξ ἡμῶν εἰς τὸ
ἅγιον τέμενος τῶν σοφῶν ἀ-
ποστόλων. καὶ λαβέτω ἐκ τῶν
ἁγίων ἐκείνων ναμάτων καθαρό-
τατον ὕδωρ. καὶ ἀπομυρισά-
τω τὸν τάφον τοῦ ὁσίου πατρὸς
ἡμῶν Μεθοδίου. καὶ ἐκ τῆς
ἁγίας λάρνακος καὶ θεοφόρου
Θεοφανοῦς βασιλίσσης· ἄλλα-

λαβοῦσα τὸ ἔλαιον ἐκ τῶν ἐκεῖσε
φωτοφόρων κανδήλων· καὶ
ποιῶν δὲ αὐτῶν ἐκ πίστεως θεί-
ας, τῷ θεῷ παρακαλεῖ, καὶ
αὐτὸς ἡμᾶς ἐλεήσῃ· καὶ τού-
του παρευθὺ γεναμένου, ἡ
τῶν ἁγιασμάτων προέστη δωρε-
ά. ἄλλος δὲ λαβὼν τὸ σκιάδι-
ον ᾧ τὰ ἀνάμματα εἴθισαν, καὶ
τὴν βοήθειαν τῶν ἁγίων
καὶ τῆς θεοφόρου θεοφά-
νω τῇ ἐπικουρίᾳ προσ-
καλεσάμενος, ἐπιὸν ἀφει-
δῶς μέχρι σοῦ τοῦ δεξιωνικοῦ
τοῖς πλαταγίοις· καὶ ἅμα τῇ
κατὰ πρόσει τοῦ ἁγιάσματος,
ἐπεκτὰν θυμίου κατὰ γάσει-
ος πρόμος· ὥστε δοκεῖν μὲν
διαρραγῆναι καὶ θυμῆξαι·
μικρᾶς δὲ ὥρας παρελθού-
σης, ἡ ἐκ κυρώσεως τῶν ὑστέρων
μου τὴν ἀνίσην παρῆσαν· καὶ εἰς
τοσοῦτον τὸ στόμα πρὸς τεῦχω-
δες ὕστερον δεξιχύθη, ὥστε
ὀπληθῆναι ὕστερον ἐλίνας κλίνη·
ὄπισθεν δὲ τούτου, σπεκ-
περιπλώκει λίθος περιείζων·
ὑπερβιίνθου μέγεθος ἔχων· ὡς θε-
ὼς ἡ τοῦ δεξιοῦ λαγόνος,
ἐλόφησε τιμωρεία· καὶ οὐ
μετὰ πολλῆς προλίνωρας·
καὶ ἡ τοῦ εὐωνύμου ἤρξατο
ἐπαύξειν ὀδυνῶν· καὶ πά-
λιν τῷ ἁγιάσματι τῷ δὲ κόρον
ἐμφορηθεὶς, τῆς αὐτῆς ἔτυχον

σείας· καὶ ἐκ τοῦ τεχθέντι ἰθεία,
καὶ τῇ τῆς ἁγίας θεοφόρου πρε-
σβείᾳ, ἐκ τῆς τοιαύτης νόσου,
παντελῶς ἀπηλλάγη.
ἡνίκα δὲ ἀπὸ τοῦ τεμεῖν καὶ αἱ μοῖ-
ραι τῆς δεξιᾶς προσοδείας περιόνι-
αι τοῖς μεφροῖς ὀδύνη, τῶν
θείων αὐτῆς ἐμφορούμενος
μαμάτων, τὴν ὑγείαν ὡς ἐκ
τινος πηγῆς ἐμμάνου ἀπολα-
βών. ταῦτα τὰ τῆς πτωχῆς
ἐμοῦ διανοίας, τῆς θεοφό-
ρου βασιλίδος τὰ ἐκ πίστεως
διηγήματα. ταῦτα τῆς ὄν-
τως ἐκ θεοῦ μεμνημένης τὰ ἐκ
βρέφους ἱερὰ προστρήματα. ταῦ-
τα τῆς ἐκ μήτρας ἁγιασθείσης,
τὰ λαμπρὰ κατορθώματα. ταῦ-
τα τῆς ἐκ μήτρας ἁγιασθείσης
καὶ ἐκ θεοῦ εἰς κοινωνὸν βασιλεί-
ας ἐκλεχθείσης τὰ σεπτὰ διηγή-
ματα. αὕτη ἡ εἰς τὰ βασίλεια
ψήφω θεοῦ ταύτης ἀναβάσεως·
καὶ ἐν τοῖς βασιλείοις, κρυπτο-
μένη διαχύσει ἀσκήσεις. αὕτη
τῶν θαυμάτων ἡ ἀναβλύζουσα
πηγὴ ἀεὶ καὶ ἡ τῶν πίστει προσιόν-
των αὐτῇ, τῶν ἰάσεων δωρε-
ά. αὕτη τῶν θλιβομένων ἡ
ἀψευδὴς σωτηρία, καὶ τῶν ἀν-
θρώπων ἡ ἀνελλιπὴς τοῖς ἀρ-
ξεις. τὰ δὲ ἄλλα ὅσα ὁ χρόνος
διὰ τὸν φόβον εἰς λήθην παρέ-
πεμψε, τίς ἄρα ἀφίκοιτο λό-
γος. ἐκ τῶν τοιούτων ταῦτα σιωπῆ

μηνὶ ἰαννουαρίω, δ

τιμᾶσθαι, ὁ λόγος παρακε-
λεύεται. ὃς γὰρ ταύτην ἁγιάσας
ἐκ μήτρας, καὶ τὴν ὑπομονὴν
τῶν νόσων καὶ ζημίαν τῶν αὐτῆς
δωρησάμενος, καὶ τὴν ἀμνη-
σίκακον καὶ ἄφθονον αὐτῇ
χαρισάμενος δωρησιν, αὐτὸς
ὡς πάντα γινώσκων τὰ κρυ-
φεῖ καὶ φανερῶς εἰς αὐτὴν
ἐφ᾽ οἷς ἐπίσταται κινήμασιν, ἀν-
τεδόξασε τοῖς χαρίσμασι. δοὺς
ἡμῖν ταύτην τῆς περιουσίας ἡμῶν
καύχημα. εἰς βασιλείας ἀξ-
ίωμα. εἰς ἀρρωστείας ἀντι-
λήψεις τῶν πειρωμένων νόσων. εἰς
θλιβομένων παραμυθίαν. κιν-
δυνευόντων βοήθειαν. ἀπο-
ρουμένων παρηγορίαν. ὀρ-
φανῶν καὶ χηρῶν προστασίαν.
νόσων ἀνιάτων θεραπείαν. καὶ
δαιμονιώντων καθάρσιον.
διὸ ἡμεῖς τὴν εὐχαριστίαν καὶ τι-
μὴν καὶ προσκύνησιν, προσ-
φέρομεν τῷ θεῷ καὶ πατρὶ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἅμα τῷ ἁ-
γίῳ καὶ ζωοποιῷ πνεύματι. νῦν
καὶ ἀεί. καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων, ἀμήν :-

Βίος καὶ πολιτεία τῆς
ὁσίας καὶ θαυματουργοῦ,
θωμαΐδος :-

Ἐπεὶ δὲ καὶ δικαίων μνήμη μετ᾽ ἐγ-
κωμίων, τὰ ἱερά φησι γράμ-
ματα λόγια, πῶς οὐκ ἐγκωμι-
αστέον τὴν τὸ θῆλυ γένος κο-
σμήσασαν. ἐξαίρω τοῦ λόγου
τὴν θεομήτορα, τὴν τῶν χερου-
βὶμ ὑπερηρμένην, ὡς κτίσμα
πάντων ἐπέκεινα. τοίνυν ὑ-
μνητέον ὡς ἔφην, τὴν πασῶν
δικαίων δικαιοτέραν. ἧς καὶ
προοῦσα πανήγυρις, τὴν θαυ-
μαστὴν θωμαΐδα. τὴν γένει
καὶ βίῳ πᾶσι περίπυστον. τὴν
πάσαις ἀρετῶν ἰδέαις κεκο-
σμημένην, καὶ φωτοειδῶς
ἀπαστράπτουσαν. σεμνὴν τὸ
ἦθος. κοσμίαν τὸν τρόπον. κο-
σμιωτέραν, τὸν βίον. τὴν ἀσκή-
σει θωμαΐδα, τὴν τὸ γένος
τοῖς τρόποις μᾶλλον κοσμή-
σασαν, ἢ κοσμηθεῖσαν τῷ τοῦ
γένους κύδει καὶ τῇ περιφα-
νείᾳ καὶ τῇ λαμπρότητι.
Ταύτην ἣν εὐκλεὴς Λέσβος. νῆσος
ἄλλη μακάρων σχεδόν, τὴν
μακαρίαν ἐκφύσασα. καὶ ταύ-
την ἐναγκαλισαμένη τῷ παρόντι
βίῳ, μέγα τι καλλώπισμα εἶχεν
καὶ ἐράσμιον, ξύμπασας λε-
σβίδας κάλλει καὶ μεγέθει δια-
φερόντως ὑπερελάσασαν.
ἣν σωματικαὶ καθωραΐζουσαι χά-
ριτες. ἣν ἀρεταὶ περιεστοιχίσαντο
ξύμπασαι. τὴν καὶ φύσιν τοῦ
σώματος, καὶ ταῖς ἀσωμάτοις

ἐξισωθεῖσαν διὰ μέσου·
καὶ ἀγγελικῶς βιωσάσαν
καὶ τὰς ἀρχὰς τοῦ κόσμου,
πατήσασαν· μαιμῶν καὶ
τὰς ἡδονὰς ὡς ἄλλον σύρ
φετὸν ἐκδιωξάσαν· καὶ σταυρὸν
ἀραμένην κατωμαδόν,
καὶ τῶν ἀποστολικῶν καὶ θεί
ων ἰχνῶν κατόπιν βαδί
σασαν, καὶ ὅλην ὅλου γε
γονυῖαν χ(ριστο)ῦ· ὡς ἐκεῖνον
διαπαντὸς ἐνοπτρίζεσθαι·
κἀκείνου τῷ κάλλει καθα
περ ἁλίσκεσθαι, ὡς ἑαυ
τὴν τῷ κόσμῳ σταυρωθεῖ
σαν· ἢ μᾶλλον ἐκτὸς αὐτοῦ
γενομένην καὶ ὅλως οἱ
χολάζουσαν, τῷ πρώτῳ
φανωτάτῳ φωτί· καὶ φῶς
γίνεσθαι δεύτερον, τοῦτι
οὐ τοῦ φωτὸς δεχόμενον ἀ
πορρεύματα· ῥίζης εὐγε
νοῦς εὐγενέστερον βλάστη
μα· οἷον γάρ φησι τὸ δένδρον
τοιοῦτος καὶ ὁ καρπός· ταύ
την ὁ φύσας πατὴρ, ἀνὴρ θεοπρε
πῶς ζῶν καὶ βίον ἔχων ἀγγελι
κόν, μιχαὴλ ὠνομάζετο·
τὸν τρόπον χρηστὸς· τὸν βίον,
σεμνός· τὸ φρόνημα σταθη
ρὸς· καὶ πρὸ καιροῦ πολιὸς·
τέλεια καὶ βεβηκότα φρο
νῶν, ἐν τῇ τῆς ἡλικίας
τῷ καταστήματι· ὡς ἀλη
θῶς παρ' οὐδενὸς ἐστὶ τῶν ἁπάντων·

λόγου καὶ εὐφημίας ἐπάξιον·
οὐ φυσικόν· οὐκ ἀσκητόν· ὁ μὲν
ἐκείνῳ προσῆν· τὰς ἱερὰς τοῦ
ζ ἴδας ἅμα πτύσσων τοῦ κημῶσ,
ἐν αἷς ἅπαν ἀναγέγραπται τὰ θεῖα
θεοπτόματα· τοῖς ἐν τοῖς θεί
οις ναοῖς συνάξεις ἀνεραινῶν,
ὁπηνίκα τὸ θεῖον δοξολογεῖται
θερμῶς· τῇ λέξει προσέχων·
τὸν νοῦν ἀνιχνεύων· τὸ φρόνη
μα τῆς σαρκὸς ταπεινῶν· τὸ ἦθος
κοσμῶν· τὸν βίον σεμνύνων·
καλύπτων τὴν κεφαλήν· τὴν δὲ
τὴν ἀκραιφνεστάτην πίστιν· καὶ
τοῦτο πάντως ὡς ζωστὸς, τεθει
σπωχρεώμενος ἀγαθῷ, τῇ τετρα
κτύϊ λέγω τῶν ἀρετῶν· δι' ἧς ἐσθα
μένῳ τέρον ὡμίλει θεῷ· τούτῳ
συνέζευκτο καὶ συνεργὸς τοῦ βίου,
καλή· τὸ ἦθος καλλίστη· καλλίων
δὲ τὴν ψυχήν· σωφρονοῦσα μᾶλ
λον, τὸ δ' ἀληθὲς εἰπεῖν ὁμοφρο
νοῦσα τῷ ἀνδρὶ· τὴν πολιτείαν·
ἑπομένη τὴν γνώμην, συνετή·
καλή· τὴν προαίρεσιν· τοῦτο
δὴ καὶ τῇ γυναικὶ προσὸν τὴν
ξαικύειον ὄνομα· καὶ τοιαύ
την προσηγορίαν ἐκ καλλίστης
εὕρατο προαιρέσεως· ὅτι τὸ
κατ' ἄλληλος ὁ τρόπος ἀπεφάν
θη τῇ κλήσει· κἀντεῦθεν καὶ
συνεργὸς ἐδόθη κατ' αὐτὸν ἡ κα
λὴ, τῷ εἰρημένῳ ἀνδρὶ· ἐζεύ
γος ἀπεφάνθη χρυσοῦν· ζεῦγος
Τεισεύδαιμον, καὶ μακάριον· τὸν

δ' ἀγγελικὸν εὖ τὸ μονας ἢ κομ-
ζυγόν· καὶ φυλάττων τὰ θεῖ-
α θεσπίσματα· μακάριοι
τοίνυν ἄμφω κατὰ τὸν προ-
φήτην ἐκεῖνον. ὧν τὰ χείλη σε-
ραφικὸς ἄνθραξ ἐξέφηνεν ὑπο-
καθαρά· ὅτι ἐν σιὼν ἐσχήκασι
Ε σπέρμα, καὶ ἐν ἱερουσαλὴμ οἰ-
κείους. ἀλλ' ὅπερ ἐλέγομεν· οὔ-
τω μὲν ἡ καλλὴ τὸν βίον ὁμοῦ
καὶ θεοπρεπὲς ἐνδεικνύμενοι,
ὅμως τε ὅπως ζωῇ ἐζεύκτο· καὶ
ἣν ὁρᾶν ἄμφω φρονοῦντας τὰ
θλμα· τὰ τοῦ βίου περιφρο-
νοῦντας καλά· ὁμονοοῦντας.
συμπνέοντας· πλούτου δὲ
καὶ χρημάτων ἥττον ἔχοντας,
ἱκανῶς· οὔτε πενίᾳ συνδου-
λούμενοι, οὔτε χρημάτων
βάρεσιν ἐξοιδούμενοι· ἀλλὰ
τῇ μέσῃ τύχῃ προσελαυνό-
μενοι· ὃ καὶ τῆς ἀρετῆς αὐτῶν
τρανές· ὡς οἶμαι τεκμήριον.
τούτοις ἐφ' ἱκανὸν ὁ τῆς ἀπαι-
δίας ἐλύθη δεσμός· ὡς τοῖς τοῦ
κυρίου πάλαι προπάτορσι, ἢ τῆς
ἀτεκνίας πέδη ζυγῶν ἐσφίγγεν·
ἐκλόνει τούτους ποικίλως· κα-
τέσειε θαμινῶς· τὴν ψυχὴν
διετάραττε. συνεχῶς τοῖς
θείοις ναοῖς, προσεδρεύοντας·
προσευχαῖς ὑμνῳδίαις προσ-
μένοντας· νύκτωρ καὶ μεθ' ἡ-
μέραν, ὑμνοῦντας τὸν κύριον· οὐ
δὲ γὰρ σωματικῆς ἡδονῆς ἕνεκα

πρὸς ὁμοζυγίαν ἐτράπησαν·
οὐ μόνον· ἀλλ' ἐφέσει παιδὸς
ἀγαθοῦ. τῆς θαυμαστῆς φημὶ
Θωμαΐδος, πρὸς ἣν ὁ λόγος
μᾶλλον ἐπείγεται. ἀλλ' ἀμι-
Κρὸν ἀναμεινάτω ὡς ἂν τὸ
τῆς ἐπαγγελίας ὅπως ἔχοι σα-
φῶς ἀπαγγείλοιεν. ἔπασχον
οἱ γεννάδαι· τῷ πόθῳ κάμνον-
τες τοῦ παιδός, ὡς πρώην οἱ προ-
γονοι τοῦ ἐμοῦ δεσπότου Χριστοῦ.
οἷα δ' ἅτε πάντως ὁ λόγος τίνας
ἠνοίξατο· ἀθυμίᾳ συνείχον-
το. θρηνῳδίας ὥσπερ ἔπλεκον ῥή-
ματα· οὐκ ἔληγον ἐκλιπαροῦν-
τες θεὸν γονυπετοῦντες· καθ' ἱ-
κετεύοντες. ὅλην τὴν ἡμέραν
πενθοῦντες, ἢ στένον καὶ σκυθρω-
πάζοντες· οὐκ εἶχον ὅ τι καὶ
δράσειαν· ἐπεὶ περ οὐκ εἶχον
τὸ σφῶν αὐτῶν παρηγόρημα
τὰ τῆς δωιτικῆς ὠδῖνος οὐχ ἱκα-
νὲς ἦσαν ἐπιδόντες, πολλαὶ
αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ. τὸν
δὲ ἐλπίζοντα ἐπὶ κύριον, ἔλεος
κυκλώσει· ναὶ μέντοι καὶ περι-
εκύκλωσεν ἔλεος. καὶ δεομέ-
νων οὐδόλως παρεώρατο. ἐπάκου-
σον ἡμῶν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν· ἡ ἐλ-
πὶς πάντων τῶν περάτων τῆς
γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν.
ἐπέβλεψε τοίνυν ὡς ἐξ οἴκου ὁ κ(ύριο)ς.
καὶ τοῦ στεναγμοῦ τῶν πεπεδη-
μένων ἐπήκουσε· καὶ τῆς ἀπαι-
δίας δεσμοὺς ὡς ἄλλους τινὰς

Κλοιοὺς σιδηροὺς τοὺς ἐπικειμέ-
νους σοφίσι καὶ περισοφίζοντας,
ἔλυσε· καὶ ἦρε τὸ ὄνειδος δ' ἐξ αὐ-
τῶν· τὸν τῆς ἀπαιδίας φημὶ κλοι-
όν, τὸν βαρὺν αὐτοῖς ἐπικείμε-
νον. Καὶ ἦν γὰρ τοῖς εἰρημένοις
ἐξ ἐπαγγελίας καρπός, ὡραῖος
τὴν ὄψιν καὶ τὴν τοῦ ἤθους κατά-
στασιν· ὡραῖος ἦν εἰς ὅρασιν ὁ
καρπός· τὴν δὲ ψυχὴν ὡραιό-
τερος. ἀλλ' ὅσα μὲν καὶ οἷα τῆς
οὐσίας ἔπαθον οἱ γονεῖς στερού-
μενοι, φθάσας ὁ λόγος ἤδη
προδιεσάφησεν· ὡς γοῦν τῶν
παρακαλούντων δὲ πολλὰ πολ-
λάκις ἐκδυσωπούμενος ἤ-
κουσε. καὶ πρὸς καιρὸν πάλιν
ἰᾶσθαι. τοῦτο μὲν, δοκιμά-
ζων τὴν καρτερίαν εἰ μὴ ἐκ-
κακοῖεν τοῖς πειρασμοῖς· τοῦ
μὴ ἀπαγορεύοιεν· εἰ δ' ἀνατι-
θέασι τὸ πᾶν τῷ θεῷ καθά-
περ δὴ τὰ καὶ πεποιήκασιν.
Ἀμέλει καὶ τοῖς θείοις ναοῖς σ-
ύχνακις τῆς ἡμέρας σχολά-
ζοντες, ἐπταπλῶς ὕμνουν τὸν
κ(ύριο)ν· καὶ ταῖς τῶν θείων γρα-
φῶν ἀναγνώσεσι προσεμμέ-
νοντες, προσευχῇ τε παννύχῳ
καὶ νηστείᾳ προσκείμενοι, τέ-
κνον δοθῆναι τούτοις ἐξελιπά-
ρουν τὸν κ(ύριο)ν· τὰς τῶν δικαί-
ων ἐζήλουν λιτάς· Ἰωακεὶμ
καὶ Ἄννης τῶν προγόνων τῆς
θεομήτορος· ἔπαιον συχνά-

κις τὰ στέρνα· τὰ δὲ μηρία, τοῖς
δάκρυσιν ἔλουον· ἀλλά τι
βοᾶν τε πρὸς ὁμιλίαν κ(ύριο)ν ἐπή-
κουον· ἀλλ' ἤτοι καὶ γὰρ γε-
ναιμοῖς ἐβόων πρὸς κ(ύριο)ν· ἐπά-
κουσον ἡμῶν ὁ θ(εὸ)ς ὁ σ(ωτ)ὴρ ἡμῶν
ἡ ἐλπὶς πάντων τῶν περάτων
τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μα-
κράν· γενοῦ τοῖς δεομένοις
αὐτὸς ἀρωγός· φάνηθι συνε-
ρίθος τῷ βουλήματι· δὸς καρ-
πὸν κοιλίας τοῖς σοῖς οἰκέταις
ἐξαιτουμένοις σε· μὴ ἀπώ-
σῃ κενοὺς οἰκτροὺς σου λάτρας,
προσπίπτοντας· ταῦτα καὶ
τοιαῦτα, πρὸς κ(ύριο)ν φθεγγόμενοι,
οὐκ ἐνέλιπον· μὴ ἐπισχεθείη
σαν ἡμῖν οἷον τι πολλοί· μὴ
εἴπωσιν ποῦ ἐστιν ὁ θ(εὸ)ς αὐτῶν·
ὁ δὲ θ(εὸ)ς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ
ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν
ἐποίησεν. τί γοῦν πρὸς ταῦ-
τα ὁ τῶν θαυμάτων θ(εὸ)ς δια-
πράττεται· τὴν τούτων δέ-
ησιν οὐ παρέβλεψε· τοὺς
στεναγμοὺς οὐ παρεῖδεν· ἀλ-
λ' ἐν μιᾷ τῶν νυκτῶν, τὴν
θαυμασίαν καλλιγύναικα· τὴν
τὸ ἦθος καὶ τὸν τρόπον οὕτως
καλήν, κατ' ὄναρ ὀπτάνεται·
ἡ πανάμωμος παρθένος καὶ
ἀειπάρθενος· καὶ αὐτολεξεὶ
πρὸς ταῦτα φησί· μὴ στυγνά-
ζε γύναι· μηδὲ δυσχέραινε
τῆς ἀτεκνίας χάριν τῆς σῆς·

οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τέκνον
θῆλυ τέξειας· πᾶσαν ἀθυ-
μίαν ἀποσείων κενὴν μήπου ἐκ α-
πόρρω πάντως γνῶμαι καλή· ταῦ-
τα σχεδὸν ὑπέρ, ἡ κίνησει παρὰ
τῆς θεομήτορος· καὶ δι' ὑπονοί-
ασαν, τὸν ταύτης ἄνδρα δεῖ,
τοιαῦτα ὑποδιαλέγεται· θεῖ-
ος ἐνύπνιον ἦλθεν ὄνειρος·
καὶ διὰ τοῦτο ἐξηγέρθη καὶ
εἶδον· καὶ ὃ ὑπνώσσων ἦν
ἴσως ἐγένετο· καὶ τὰ ὁραθέν-
τα διηγήσατο ξύμπαντα.

Ἀμέλει καὶ οὐ μετὰ πολὺ συλ-
λαβοῦσα, τέκνον γεννᾷ κατὰ
τὴν ὑπόσχεσιν τῆς ἀειπαρ-
θένου κόρης καὶ θεομήτορος·
τοῦτο τὸ ὄνομα Θωμαΐς· τέ-
κνον δ' ἐξ ἐπαγγελίας ἀποτε-
χθέν· τὴν μὲν φύσιν, θῆλυ·
τὴν ἀρετὴν καὶ τὴν ἄσκησιν,
πολλῶν τῶν ἀρρένων ἀρρενι-
κώτερον· μετὰ ταῦτα τοί-
νυν οἱ τῆς ὁσίας γεννήτορες
λαβόθεν ἀπάραντες, τοῖς Βο-
σπορείοις, ἐνῴκησαν μέρεσι·
κἀκεῖσε διῆγον ἐφ' ἱκανόν· νη-
στείᾳ καὶ παννυχίσι δεήσει πρὸς
κείμενοι, τῷ κυρίῳ χαίροντες
κατὰ τὸ ῥῆμα τοῦ ἀποστόλου· ἐν παν-
τὶ εὐχαριστοῦντες· θεαρέστως διά-
γοντες. ἦν ξένη γοῦν ἐκεῖ-
νη καὶ ταῖς ἀρεταῖς ἐκρατύνετο·
θεοσεβείᾳ προσκείμενον· καὶ
πάσαις ἀγαθοῖς ἰδέαις κοσμού-
μενον· καὶ τὸ κρυπτόμενον
κάλλος, τῶν φαινομένων καὶ
ἔξωθεν ὑποδεικνύει· καὶ αὐτὰς
σωματικαῖς ἰδιότησι, τὰς
ψυχικὰς ἐμφαίνειν χάριτας,
ταῖς γνωρίμοις, τὰς ἀφα-
νεῖς· ταῖς ἐκτός, τὰς ἐντός·
καὶ ἦν ἰδεῖν ἁρμονίαν ἐνδείστω
σωματικήν, τὴν πνευματικὴν κα-
λουμένην ὑποσημαίνουσαν· οὐδὲ
γὰρ ἀγεννῶς παρὰ τῶν γεννη-
τόρων ἀνετρέφετο· ἀλλ' ἐν παι-
δείᾳ καὶ σωφρονισμῷ καὶ νουθεσίᾳ
πολλῇ· τραφεῖσα δὲ οὕτω καὶ
παιδευθεῖσα καλῶς· καὶ πρὸς
ἡλικίαν ἐφθακυῖα τὴν περὶ
τὰ εἴκοσι καὶ τέσσαρα ἔτη, παρὰ
τῶν αὐτῆς γεννητόρων ἀνδρὶ
συζευχθῆναι κατηναγκάζετο·
καίτοι παρθενεύειν ἤθελε μᾶλλον.
καὶ σωματικὰς ἡδονὰς ἀγνοεῖν,
καὶ σαρκικὰς ὀρέξεις καταπα-
τεῖν· ὡς τὸν ἑαυτῆς ναὸν καθαρὸν
καὶ ἄχραντον τῷ καθαρῷ θεῷ πα-
ραστῆσαι· ἀλλ' ἔδει ταύτην καὶ
παρθενίαν τηρῆσαι καὶ γάμον
τιμῆσαι, τὰ πᾶσιν ἐπαινετὰ
καὶ σεβάσμια. πειθαρχεῖ τοῖς
τοκεῦσι· πρὸς γάμον ἐκκλί-
νει· στεφάνῳ κλίνει τὴν κε-
φαλήν· ἀνδρὶ νομίμως συζεύ-
γνυται· ὅ δέ, στέφανος τῆς
κλήσεως· οὐ τῆς προαιρέσεως·
οὐ δίδοται συνεργὸς κατὰ τὴν,
ἀλλὰ μάχη τις· οὐ συνεργήθος,

ἀλλὰ μάλα πολέμιος. ἔδει γὰρ
ὥσπερ ἀπηγέμαι τῇ ἀρετῇ τὴν
κακίαν, καὶ ἀντιθυρεῖν που ταύ-
την κατὰ τὸν ψάλμον. ἀλλ᾽ ὦ γεν-
ναίου νοός. ὦ φρενὸς σταθηρᾶς.
ὦ γνώμης ἐπαινετῆς, τῆς αὐτῆς
καὶ πάλιν εἴχετο βιωτῆς. οὐκ ἐ-
λήγετο ἀπάντοτε εὐχαριστοῦσα θεῷ.
σχολάζουσα τοῖς θείοις ναοῖς. τὴν
πένητας περιέπουσα. τὸν πλοῦ-
τον κενοῦσα. τὰ ἑαυτῆς ἀποδι-
δοῦσα θεῷ. ἐσκόρπισεν, ἔδωκε
τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ
μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
καὶ αὖθις χρηστὸς ἀνὴρ ὁ οἰκτεί-
ρων καὶ κιχρῶν. ταῦτα τῆς δαυι-
τικῆς ᾠδῆς ὑπέψαλλε, συνεχέ-
στερον. τὸν νοῦν γὰρ ὅλον ταῖς τῶν
θείων γραφῶν προσήρειδεν ἀ-
ναγνώσεσι. καὶ ταῦτα ψάλλειν
οὐκ ἔληγεν. ἀλλὰ καὶ πράττειν
οὐκ ἔκαμνεν. ὅλον τὸν πῆχυν ἀ-
τράκτῳ προσήρειδεν. ὅσα τε
περὶ τὸν ἱστόν. καὶ ὅσα ποικίλην
ἔχει τὴν ὕφανσιν, καλῶς ἐτεχνούρ-
γει. καὶ τεχνιέντως ἐξύφαινεν.
αἱ χεῖρες αὐτῆς ἐποίησαν ὕφασμα.
καὶ γαστέρες πενήτων, εἰς κόρον
κατέφαγον. χεῖρας ἀπόρων χα-
ειν μογοῦσαι. χεῖρες χιτωνίσκους
τοῖς γυμνητεύουσιν ἐξύφαινον.
πόδες πρὸς τοὺς θείους ναοὺς προ-
θύμως βαδίζοντες. καὶ τῇ πανυ-
χίῳ στάσει προσμένοντες. πόδες
ἑστῶτες ἀεὶ ἐν ἀθύτῃ. ὦ πόδες

θαμινὰ πρὸς δόσιν κινούμενοι. πό-
δες ἐν παραδείσῳ βαδίζειν ἀξ-
προαιρούμενοι. πόδες τῷ ὄντι μα-
κάριοι. ἐπειδὲ λοιπὸν ἀπα-
ραντες οἱ τῆς ὁσίας γεννήτορες.
κἀκεῖθεν μετανάσται γεγονότες
τοῖς βοσπορείοις ᾤκησαν μέρε-
σιν. ἔδει δὲ ἄρα τὸν ἀρχῆθεν τού-
τους συζεύξαντα, θανάτῳ δι-
αιρῆσαι πάλιν. τέως τοὺς οἷς οἶδεν
αὐτὸς ὁ πάντα πρὸς τὸ συμφέρον
οἰκονομῶν, πρὸς τὴν μακαρίαν
λῆξιν ὁ τῆς μακαρίας γεννήτωρ
ἀποδημεῖ. καὶ ἡ μήτηρ, ἀποκεί-
ρεται μὲν τὴν τρίχα. συναποκεί-
ρεται δὲ καὶ τὴν τύρβην βιωτικήν.
τὸν μοναχικὸν ἀσπάζεται βίον.
φοιτᾷ πρὸς σεμνεῖον. συγκρα-
τινὶ κέλλῃ ἐναποκλείεται. ταῖς
ἀρεταῖς προστίθησιν ἀρετάς.
προσομιλεῖν ἀπάρχεται τῷ θεῷ. τὴν
κλίνην καθεκάστην λούειν τοῖς δά-
κρυσιν. ἀγρύπνως προσκεῖται
προσευχῇ. νηστείᾳ διηνεκεῖ προ-
σεμμένει. τὸν κν̄ ἑπτάκις τῆς
ἡμέρας αἰνεῖ. οὕτως ἐπὶ θεμηλί-
ῳ στερρῷ, καλὸν ἐπιτίθησιν ὄρο-
φον. ἀσκητικῆς πολιτείας ἀν-
τέχετο. θέλουσα βιώσκειν ἀθλη-
κῶς. ταῦτα καὶ τὰ τοιαῦτα δρῶ-
σα νύκτωρ καὶ μεθημέραν, οὐκ ἐ-
λῆγεν. ἀλλὰ τὸ θυγάτριον ἀπα-
λωτέρας οὔσης ἡλικίας τῆς ὡς ἔθος
μαθημάτων ἀσχολαικίας πρὸς ἀθύρ-
ματα παιδικά. καὶ τοῦ τύρβου δι-

βίον διεγνωκὼς καὶ καὶ συνε-
ζευγμένον ἀνδρί. πότερον
ἡ μὴ ἐπὶ τῆς ἀρετῆς καὶ τοῦ σπου-
δαίου καὶ θεαρέστου κατεῤῥα-
θύμει βίου, καὶ κατευλακα-
μένος διέκειτο; οὐ μὲν οὖν. προ-
θυμότερον δὲ τῶν εἰρημένων
ἀντείχετο. καὶ κἂν ὁρᾶν ἐνταῦ-
θα τὸ καινότερον, συνεζευγμέ-
νου γυνή τις ἀνδρεία καὶ ἐῤ-
ῥωμένη πρὸς ἀρετήν, σπεύ-
δει καὶ τὴν φύσιν αὐτὴν ὑπερβα-
λέσθαι τοῖς ὑπὲρ ἀρετῆς σπου-
δάσμασιν. οὕτω τὸ νικᾶν
γονεῖς ὑπὲρ ἀρετῆς σπουδά-
σμασιν ἠγωνισμένον οὐκ ἀ-
γεννῶς. πρὸς ὃν ὅταν δέῃ
τὰς χεῖρας ἐκτείνουσα. γονυ-
πετοῦσα. δακρύουσα. προσο-
μιλοῦσα θεῷ. καὶ τὸν θεῖον διη-
νεκῶς ἀνάπτουσα ἔρωτα. καὶ
τὰ τῷ θεῷ ἀρέσκοντα δρῶσα.
γυμνητεύοντας, ἐνδιδύσκουσα.
ἐπτωκότας ἀνιστῶσα καὶ δι-
εγείρουσα. οὕτω πάντα κάλων
ἐκίνει. πάντα τρόπον ἐζή-
τει. πᾶσαν ἐπενόει ἐπίνοι-
αν. διὰ τῶν τὰ δόξαντι καὶ πρὸς
τὸ τέλος ἀγάγοι θεοφιλέστατα.
Κἂν καὶ κωλύμην εἶχε τὸν σύμφα-
μον. οὐδ᾽ ὁ λόγος φθάσας ἄνω-
θεν ταύτην συνέζευξεν. ἀντέκει-
το γὰρ καθάπαξ τοῖς θαυμασίοις
τῆς Θωμαΐδος θελήμασιν. ἐκεῖ-
νος μὲν γὰρ ἔσπευδε κενῶσαι τὸν πλοῦ-

τον τοῖς πένησιν. ὁ δὲ ἀντεκεί-
μενος ἐφρόνει κατὰ τὸν σα-
ταν. ποσάκις ἤκουε παρ᾽ αὐτῆς,
ὕπαγε ὀπίσω μου σατανᾶ. οὐ
φρονεῖς τὰ τοῦ θεοῦ. ἀλλὰ τὰ
τῶν ἀνθρώπων. τοῦ ζωῇ ἐκείνου ὃ καὶ
τῷ Πέτρῳ τῷ κορυφαίῳ τῶν
ἀποστόλων τοῦ σωτηρίου πά-
θους ἠγνοηκότι μυστήριον προ-
σεπεφώνησεν. ὥσπερ ὀπίσω
τούτου βαδίζειν αὐτὸν διδάσκων
σαφέστατα. ἔπαιε συχνῶς
τὴν γενναίαν. διεχλεύαζεν. ἐ-
μυκτήριζεν. ἀλλ᾽ ἡ μακαρία ἄτρε-
πτος ὥσπερ τις πύργος σιδή-
ρεος μηδ᾽ ὅλως κατασειόμενος
μήτε μὴν παρατρεπόμενος. τὰ
τοῦ εὐαγγελίου κατὰ νοῦν λο-
γιζομένη συχνότερον ῥήμα-
τα. μακάριοί ἐστε ὅταν ὑμᾶς
ὀνειδίσωσι καὶ διώξωσι. καὶ
εἴπωσι πᾶν πονηρὸν ῥῆμα κα-
θ᾽ ὑμῶν ψευδόμενοι. τίς ἄρα
χωρίσει ταύτην τῆς ἀγάπης
τοῦ Χριστοῦ. οὐ πῦρ. οὐ ξίφος. οὐ
κίνδυνος. οὐ ῥήματα φλύαρα
φασγε φλυάρου φιμωσῶ τοῖς τὰ
φλύαρα φᾶ. ἀλλ᾽ ἀμοιβαῖς ἀνη-
ρεῖς ἀναματείματο. καὶ τοῦτο τῆς
Ὁσιομάρτυρος θείῳ βίῳ προ-
σέχετε. οὐ δεῖ γὰρ τοῦ χοροῦ τῶν
μαρτύρων χωρίσαι ταύτην ὁ
λόγος θέλει. τὴν πληγὰς οὐκ
ὀλίγας λαβοῦσαν. τὴν μαστι-
χθεῖσαν ἀφόρητα, δι᾽ ἃ τὰ δὲ

ποτικὰ καὶ θεῖα θεασάμενος
τό· οὐ παρὰ τῶν γραμμάτων καθ'
υβρισθεῖσαν· οὐ καταπελ-
τασθεῖσαν μὲν δεινῶς· οὐ-
κ ἐξ ἀλλοφύλων μᾶλλον ἐλεγχθεῖσαν
δεινῶς· ἦ γὰρ ἂν ἦν οὕτως οἰ-
φορητόν· ἀλλὰ παρὰ τοῦ ἐκ-
θέντος σύζυγον τῶν γραμματικῶν
ἐμειμένου· καὶ θεοπρεπῶς
ζῆν, ὅλαις χερσὶ ταύτην ἀπειρ-
γοντος· ὡς γὰρ τῷ θείῳ προσλι-
παρευσάντω, καὶ σπουδὴ μου μικρὸν
ἦν μὴ καὶ τὴν μεγίστην εἶχε καθε-
κάστην τοῦ τοῦ ποιεῖν. ἀπιοῦσα ἣ
ταύτῃ πρὸς θεῖον τέμενος, γυ-
μνίτης πρέμνης σωεῖ κύρσε· μὲν
γίστῃ πρὸ μία πειπειρόμενος·
ἀλλ' ὅρα μοι τί διαπράττεται.
τὸ οἰκεῖον ἀπαμφιέννυται ἀμ-
φίον· γυμνὴ τρέχει διαλέχθη· ἀ-
μέλει καὶ πάσχει διαλέχθη, καὶ πρὸ
τοῦ στεφάνου δέχεται τὰς πλη-
γάς, ἵνα τοῦ δεσποτικοῦ στεφά-
νου τύχῃ παραχρῆ· ἔγνως τὸ λύ-
το τόνδε δεῖ· καὶ πληγὰς οὐκ ὀλί-
γας ἤθανμαστὴ θαυμάζεις ὑπομέ-
νει· μαστίζει ταύτην, ἀνὴρ ἐκεί-
νης ὁ τάλας· ἀνὴρ φρονῶν οὐ
καλῶς· ἀνὴρ μὴ ποθῶν τὸν χ(ριστό)ν·
ἀλλὰ τὸν κόσμον φιλῶν καὶ τοῖς
ἐν κόσμῳ στοιχῶν· πάντων πάθη
ἀνέραστος ὢν τοῦ καλοῦ καὶ ζωό-
λως εἰπεῖν μὴ δεχόμενος τὰ
τοῦ πν(ευματο)ς ὡς ψυχικός τις ὤν,
ἢ μᾶλλον εἰπεῖν, κοσμικὸς ἀνήρ·

ἀλόγοις παρόμοιος κτήνεσι· βδε-
λύττεται ταύτην ὁ βδελυρὸς·
καὶ μὴ δρῶσαν κακὸν, κακὰ
σφῶν λογίζεται· ἀποστρέφεται
ταύτην, ἀποστροφῆς ἄξιος ὢν.
ἡ δὲ, καὶ πάσχουσα, ὅμως πολλ'
εἶχεν ἔννοιαν μὴ ἀναπεπτωκέ-
ναι· μὴ τὸ μὴ ἐνδοῦναι καὶ κα-
ταραθυμεῖσθαι τῆς ὑπομονῆς ἐργα-
σίας. τῆς χρηστῆς προαιρέσεως· ἀλ-
λ' εὐχαρίστως ἔφερε τὰς πληγάς·
ὡς κατ' αὐτὸν χαίρουσα τῷ χ(ριστ)ῷ· ἐ-
Ε τῶν αὐτῶν μειζόνως αὐτῆς χάρ.
πλήττε τὸν ἄνδρα πταιομένη
καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.
πανοῦργον κατὰ τὰς παγίδας
αὐτοῦ κινουμένους λογισμούς. τὸ
μὲν γὰρ γίνεσθαι φρονίμους ὡς
οἱ ὄφεις εἴρηται, πρὸς τὸ μὴ
λανθάνειν ἡμᾶς, τὰς ὁρμὰς
τοῦ διαβόλου. τὸ γὰρ ὅμοιον
ἐκ τοῦ ὁμοίου, ταχίστην ποιεῖ-
ται τὴν διάγνωσιν. τὸ δὲ ἀκέ-
ραιον τῆς περιστερᾶς, δείκνυ-
σι τὸ καθαρὸν τῆς πράξεως. τὸ
μὲν οὖν ἔργον ἀγαθόν, ἵνα ἀπο-
φυγὴ ἔσται τοῦ χείρονος. πῶς
δὲ φύγωμεν ὁμοίως οἴδαμεν.

Δεῖ οὖν ἡμᾶς κατέμμονοι ἀναλαμ-
βανούσας τοῦ ἐχθροῦ τὴν δει-
νότητα, φυλάττεσθαι ἀπὸ
τῆς τούτου κακομηχανίας. φη-
σὶ γάρ· ὃς περιάγει ζητῶν τίνα
καταπίῃ. καὶ τὰ βρώματα
αὐτοῦ ἐκλεκτά. δέον οὖν
πάντοτε γρηγορεῖν. καὶ γὰρ ὁ
ἐχθρός, καὶ διὰ τῶν ἔξωθεν
πραγμάτων γρηγορεῖ, καὶ
διὰ τῶν ἔνδον λογισμῶν δα-
μάζει. καὶ πλέον διὰ τῶν ἔν-
δον. καὶ γὰρ νύκτωρ καὶ μεθ'
ἡμέραν ἀΰλως προσέρχε-
ται. τίνος οὖν χρεία πρὸς

Τοὺς παρόντας πολέμους, δῆλον.
ὡς ἀσκήσεως ἐπιπόνου καὶ
καθαρᾶς προσευχῆς. ἀλλὰ
ταῦτα μὲν γενικῶς ἀπὸ παντὸς
λογισμοῦ ἀλεξιτήρια πέφυ-
κε. δεῖ δὲ καὶ ἰδικῶς τισὶν
ἐννοίαις χρήσασθαι πρὸς
τὸν παρόντα τῆς ψυχῆς λοι-
μὸν ἀπώσασθαι. καὶ ἐπελθόν-
τος τοῦ αἰσχίστου λογισμοῦ, ἀν-
θυποφέρειν αὐτοῦ τὰ ἐναν-
τία. ἃ γὰρ γένοιτο ἂν τοῖς κατ-
διάνοιαν ἐγχωρείοις ὅπερ ἐσω-
δ' ἀπρεποῦς φαντασία, τῷ
λογισμῷ τὸ παρὸν τιμωρη-
τέον. καὶ οὕτως τοῦ εἰδώ-
λου τοὺς ὀφθαλμοὺς ἐκκολα-
πτέτω. τῶν δὲ παρειῶν
τὰς σάρκας ἐξαιρείτω. ὑπο-
τεμνέτω δὲ τὰ χείλη. καὶ ὁ-
ράτω λοιπόν, πηλὸν ὀστέων
ψιλῶν. δυσειδῆ. καὶ οὕτω
κατανοείτω τί ἦν τὸ ποθού-
μενον. οὕτω γὰρ ἂν ὁ λογι-
σμὸς, ἀπαλλαγείη καὶ διωχθεί-
η, τῆς ματαίας πλάνης. τὸ
γὰρ φιλούμενον οὐδὲν ἦν. ἢ
αἷμα φλέγματι μεμιγμένον.

ὅπερ καὶ τὰ φάσματα χρεί-
αν παρέχει τοῖς ζώοις· οὕτω
μὲν οὖν καὶ διὰ τῶν τοιούτων
λογισμῶν, εἰκὸς ἀποσοβεῖ-
σθαι τὴν μυσαρὰν κακίαν· ἐ
καθάπερ ἧλον ἥλῳ ἐκκρου-
ειν προσῆκε τὸν δαίμονα·
ἔτι γε μὴν δέον καθόλου τοῦ
ἐρωμένου τὸ σῶμα, ἕλκη βα-
ρύοσμα καὶ σηπεδόνων δια-
βρύον ὑπογράφειν τῷ λογι-
σμῷ· καὶ συντόμως φάναι νε-
κρῷ παραπλήσιον· ἢ καὶ ἑαυ-
τὸν νεκρὸν τοῖς ἔνδοθεν ὀφθαλ-
μοῖς ὑποτιθέναι· οὕτω γὰρ
ἐγχωρεῖ τῆς ἡδυπαθείας ἀπο-
στῆναι· μεῖζον δὲ πάντων ἐστί,
τὸ τὰ πρὸς ἄρχειν· οὕτω γὰρ καὶ
τῶν ὑπογαστρίων ἡδονῶν κρα-
τῆσαι. ἦν μὲν οὖν θεῖον σύμ-
πόσιον τῶν παρουσῶν· ἐκ γὰρ
τῆς σοφίας κρατήρων εὐφραί-
νοντο· ἦν δὲ αὐταῖς οἰνοχο-
οῦσα τὸ θεῖον νᾶμα, ἡ μακα-
εία ζητητική· ἑκάστη δὲ αὐ-
τῶν, ἐδέχοντο ὅπερ ἐβούλοιν-
το· καὶ μία τῶν συνελθουσῶν
ἐπυνθάνετο αὐτῆς λέγουσα·
εἰ τέλειον ἀγαθὸν ἡ ἀκτημο-
σύνη. ἡ δὲ, ἔφη· καὶ πάνυ
τέλειον ἀγαθὸν ταῖς δυναμέναις·
αἱ γὰρ ὑπομένουσαι τοῦτο, θλῖ-
ψιν μὲν ἔχουσι τῇ σαρκί· τῇ δὲ
ψυχῇ, ἄνεσιν. ὥσπερ γὰρ
Τὰ στερεὰ ἱμάτια πατούμενα
καὶ περιστρεφόμενα πλύνεται,
οὕτω καὶ ἡ ἰσχυρὰ ψυχὴ διὰ
τῆς ἑκουσίου πενίας, πλέον κρα-
τύνεται· αἱ δὲ ἀσθενέστερον τὸν
λογισμὸν ἔχουσαι, τὸ ἐναντίον
ταῖς στερεωτέραις πάσχουσι· καὶ γὰρ
πρὸς ὀλίγον θλιβεῖσαι ὥσπερ
τὰ διερρωγότα ἱμάτια, ἀπόλ-
λυνται· μὴ φέρουσαι τὴν διὰ τῆς
ἀρετῆς πλύσιν. καὶ μία μὲν ἀμ-
φοτέρων ἡ τέχνη τῆς πλύ-
σεως· καὶ εἷς ὁ τεχνίτης· διά-
φορον δὲ τῶν ἱματίων τὸ τέ-
λος· τὰ μὲν, γὰρ ῥήγνυται καὶ
ἀπόλλυται· τὰ δὲ, λευκαίνεται
καὶ ἀνακαινίζεται. φαίη οὖν
ἄν τις ἀγαθὸν κειμήλιον τὴν
ἀκτημοσύνην τῷ ἀνδρείῳ φρο-
νήματι· καὶ γὰρ τῶν πρακτι-
κῶν ἁμαρτημάτων, χαλινὸς
τυγχάνει· δεῖ δὲ πάντως
πρῶτον ἐγγυμνασθῆναι τοῖς
πόνοις λέγω δὴ νηστείᾳ· καὶ
χαμευνίᾳ· καὶ τοῖς ἄλλοις
τοῖς κατὰ μέρος· καὶ οὕτω ταύ-
την τὴν ἀρετὴν κτήσασθαι· οἱ γὰρ
Μὴ οὕτω ποιήσαντες, ἀθρόως
δὲ ἐπὶ τὴν ἀποβολὴν τῶν χρη-
μάτων δραμόντες ὡς ἐπὶ τὸ πολὺ
μεταμελείᾳ ἑάλωσαν· ὄργανα γὰρ
τοῦ ἀπολαυστικοῦ βίου τὰ
χρήματα τυγχάνει· ἀναλέγου οὖν
πρῶτον τὴν σεαυτοῦ τέχνην, τοῦ-
τ' ἔστι, τὴν γαστριμαργίαν καὶ
τὸ ἀβροδίαιτον, καὶ οὕτως ἀ-

κόλως περιτέμνειν δυνήσει
τὴν τῶν χρημάτων ὕλην· βαρὺ
γὰρ οἶμαι, τέχνης παρούσης, ὄρ-
γανα μὴ τυγχάνειν· ὁ γὰρ μὴ
ἀποβαλὼν τὸ πρῶτον, πῶς
τὸ δεύτερον δέξασθαι δυνήσεται.
διὰ τοῦτο καὶ ὁ σωτὴρ διαλε-
γόμενος πρὸς τὸν πλούσιον,
οὐκ ἀθρόως αὐτῷ τὴν ἀπο-
βολὴν τῶν χρημάτων προστά-
τει, ἀλλὰ προερωτᾷ αὐτὸν
εἰ τὰ τοῦ νόμου πεποίηκε.
Καὶ διδασκάλου γνησίου πρό-
σωπον ἀναδεξάμενος ἐ-
ρωτᾷ, εἰ τὰ στοιχεῖα ἔμαθες
ἢ τὰς συλλαβὰς παρείληφας.
καὶ εἰ τῶν ὀνομάτων ἐν ἕξει
γέγονας, δεῦρο λοιπὸν καὶ
ἐπὶ τὴν τελεωτάτην ἀνα-
γνῶσιν, τουτέστιν, ὕπαγε πώ-
λησόν σου τὰ ὑπάρχοντα καὶ
δὸς πτωχοῖς· καὶ δεῦρο ἀκο-
λούθει μοι· καὶ τάχα οἶμαι, ὡς
εἰ μὴ τὰ ἐξετασθέντα ἦν
ὑποσχόμενος πεποιηκέναι, οὐ-
κ ἂν αὐτὸν ἐπὶ τὴν ἀκτημοσύ-
νην προετρέψατο· πῶς γὰρ ἂν
ἠδύνατο πρὸς ἀνάγνωσιν
ὁρμῆσαι, τὴν τῶν συλλαβῶν
ἀγνοῶν δύναμιν· καλὴ οὖν
Ἡ ἀκτημοσύνη, τοῖς ἐν ἕξει τῶν
καλῶν γενομένοις· πολλῶν
γὰρ τῶν περιττῶν τὴν ἀποβο-
λὴν ποιησάμενοι πρὸς τὸν κρ[illegible]
φέρουσι τὸ νεῦμα· τὸ θεῖον ἐκεῖ-
νο διδόντες λόγιον καθαρῶς,
τὸ λέγον· οἱ ὀφθαλμοὶ ἡμῶν
πρὸς σὲ ἐλπίζουσι· καὶ σὺ δί-
δως τὴν τροφὴν τοῖς ἀγαπῶ-
σιν ἐν εὐκαιρίᾳ· ἄλλως δὲ πά-
λιν μεγάλην ὠφέλειαν κομί-
ζονται· μὴ γὰρ ἔχοντες τὸν
νοῦν περὶ τὸν ἐν τῇ γῇ θησαυ-
ρόν, τὴν τῶν οὐρανῶν βασιλεί-
αν φαντάζονται· καὶ τὸ ἀπὸ
τοῦ ὑμνῳδοῦ διαλεχθὲν ῥῆ-
μα ἐκτελοῦσι σαφῶς τὸ λέ-
γον· κτηνώδης ἐγενήθην
παρὰ σοί· ὥσπερ γὰρ τὰ ὑπο-
ζύγια τὴν οἰκείαν ἐργασίαν
ποιούμενα ταῖς πρὸς τὸ ζῆν
τροφαῖς μόναις ἀρκοῦνται,
οὕτω καὶ οἱ τῆς ἀκτημοσύνης
ἐρασταί· τὴν μὲν τοῦ ἀργυρίου
κτῆσιν, ὡς οὐδὲν οὖσαν λογί-
ζονται· πρὸς μόνην δὲ τὴν ἐφή-
μερον τροφὴν τὴν διὰ τοῦ σώ-
ματος ἐργασίαν ποιοῦνται.
Οὗτοι τῆς πίστεως τὴν κρηπῖ-
δα κατέχουσι· πρὸς αὐτοὺς γὰρ
εἴρηται παρὰ τοῦ κυρίου τὸ μὴ με-
ριμνᾶν περὶ τῆς αὔριον· καὶ
ὅτι τὰ πετεινὰ τοῦ οὐρανοῦ, οὐ
σπείρει οὐδὲ θερίζει· καὶ ὁ πατὴρ
ὁ οὐράνιος τρέφει αὐτά· τούτοις
τοῖς λογίοις θαρρήσασαι, τὸ
προφητικὸν ἐκεῖνο φθέγγονται
ῥῆμα τὸ λέγον· ἐπ[illegible] διό
ἐλλήνσα· καὶ ὁ ἐχθρὸς δὲ πλέ-
ον ὑπὸ τῶν ἀκτημόνων ἡττᾶται.

τί γὰρ βλάπται οὐκ ἔχει· αἱ γὰρ
πλεῖσται τῶν θλίψεων καὶ τῶν
πειρασμῶν, ἐν ταῖς ἀφαιρέ-
σεσι τῶν χρημάτων προσγί-
νονται· τί γὰρ ποιῆσαι ἔχει
ὁ ἐναντίος χωρεῖ ἀπορείαν;
οὐ παρέστιν· ὑποζύγια φθεῖραι;
ἀλλ' οὐδὲ ταῦτα ἔχουσι· φιλτά-
των ἅψασθαι; ἀλλὰ καὶ τού-
τοις, μακρὰν χαίρειν εἶπον.
οὐκοῦν μεγίστη κατὰ τοῦ ἐχθροῦ
τιμωρία· καὶ πολύτιμος
τῇ ψυχῇ θησαυρός, ἡ ἀκτημο-
σύνη· ὅσον δὲ αὕτη θαυμαστὴ
καὶ ὑπέρογκος εἰς ἀρετήν, το-
σοῦτον εἰς κακίαν φαύλη καὶ
μοχθηρά, ἡ φιλαργυρία· καὶ
Ἀληθῶς ὁ θεσπέσιος Παῦλος πε-
ρὶ ταύτης εἴρηκεν, ὅτι πάν-
των τῶν κακῶν αἰτία ἐστί· δι'
ἐπιθυμίαν γὰρ τοῦ πλούτου,
ἐπιορκία· κλοπή· ἁρπα-
γή· πλεονεξία· πορνεία·
φθόνος· φόνος· μισαδελφί-
α· πόλεμος· εἰδωλολατρεί-
α· καὶ αἱ παραφυάδες τού-
των· ὑποκρίσεις· κολακεῖαι·
καταγνώσεις· πάντων οὖν αἰ-
τία τούτων, ὡμολόγηται ἡ
φιλαργυρία· ὅθεν δὴ καὶ
πάντων αὐτὴν τῶν κακῶν
μητέρα, ὁ ἀπόστολος ὠνόμασεν.
οὐ μόνον δὲ ὁ θεὸς τοὺς φιλαρ-
γύρους τιμωρεῖται, ἀλλά
γε καὶ οἴκοθεν οἱ τοιοῦτοι ἑαυτοὺς

καταφθείρουσι· καὶ ἀκό-
ρεστον φέροντες τὴν κακίαν,
οὐκ ἔχουσι τέλος τοῦ σκοποῦ·
ὅθεν ἀνίατος αὐτοῖς ἡ πλη-
γή· ὁ μηδὲν ἔχων, ὀλίγων
ἐπιθυμεῖ· καὶ τυχὼν τού-
των πλειόνων ὀρέγεται· ἑ-
κατὸν χρυσοῦς ἔχει, καὶ εὔχε-
ται χιλίων· καὶ τούτων ἀ-
πορήσας, πρὸς ἄπειρον
φέρει τὸ νεῦμα· καὶ οὕτως
μὴ ἔχοντες ἑαυτῶν στῆσαι
τὸ τέλος, ἀεὶ πενίαν ὀδύ-
ρονται· φέρει δὲ ἡ φιλαργυ-
ρία ἀεὶ μεθ' ἑαυτῆς τὸν φθό-
νον· καὶ πάντως φθείρει πρώ-
τως τὸν κτησάμενον· ὥσπερ
Γὰρ αἱ ἔχιδναι γεννώμεναι
πρῶτον τὰς ἰδίας μητέρας φθεί-
ρουσι, πρὶν ἢ ἄλλους ἀδική-
σωσιν, οὕτω καὶ ὁ φθόνος
τὸν κτησάμενον καταμαραί-
νει· πρὶν ἢ τοὺς γείτονας
καταμεμφθῇ· μέγα ἦν πρᾶ-
γμα, εἰ τοσοῦτον ἀδικώμεθα
ὑπομένειν πόνους ζητῆσαι
τὸ δόκιμον ἀργύριον, ὅσοις
ἀνεικάστοις περιπίπτουσιν
οἱ τοῦ ματαίου κόσμου θηραταί·
ναυάγια ὑπομένουσι· πει-
ρατηρίοις προσομιλοῦσι· λη-
σταῖς κατὰ τὴν γῆν περιπίπτου-
σιν· ἀνέχονται ζάλης καὶ πνευ-
μάτων βιαίων· καὶ πολλάκις
κερδαίνοντες, πένητας ἑαυτοὺς

φάσκουσι διὰ τοῦ φθονοῦντας. ἡμεῖς δὲ οὐδ' ὅλως ἐστὶ τοιοῦτον κινδύνων κατατολμῶμεν, χάριν τοῦ ἀληθινοῦ κέρδους. εἰ δὲ ὑπὸ καὶ μικροῦ τινὸς εὐπορήσομεν, μεγαλωνόμεναι ἐπιδεικνύουσαι τοῖς ἄλλοις. καὶ πολλάκις οὐδὲ τὸ γενόμενον προσφερόμεναι εἰς διήγησιν. εὐθέως δὲ καὶ ὃν δοκοῦμεν ἀνθηρὰ τοῦ καλοῦ ἔχειν, ὑπὸ τοῦ ἑτέρου κλεπτόμεθα. καὶ πολλάκις ὅτε κερδαίνουσιν ἐκεῖνοι, τῶν πλειόνων ἐφίενται. καὶ τὰ μὲν παρόντα, οὐδὲν ἡγοῦνται· πρὸς δὲ τὰ μὴ παρόντα ἀποτείνονται. παράδοξον οὖν ὑπὸ

Δὴν δέον θέσθαι, ὑπὲρ τοῦ λανθάνειν τὸ κέρδος. αἳ δὲ τὰ ἑαυτῶν κατορθώματα διηγούμεναι, πειράσθωσαν, τὰ ἐν αὐτοῖς ἐλαττώματα λέγειν. εἰ δὲ ταῦτα κρύπτουσιν ἕνεκεν τοῦ μὴ παρὰ τῶν ἀκουόντων ψεχθῆναι, πολλῷ μᾶλλον ἐκεῖνα λέγειν φυλακτέον. τὸ γὰρ ταῦτα λέγειν, ἀλλοτρίου θεοῦ. καὶ γοῦν οἱ κατὰ τὸν κόσμον βιοῦντες, τὸ ἀνάπαλιν ποιοῦσι. καὶ τὰ μικρὰ ἑαυτῶν πταίσματα, μετὰ προσθήκης ὧνπερ ἔπραξαν διηγοῦνται. τὴν δόξαν τῶν ἀνθρώπων ἀποβαλλόμενοι.

τὰ μὲν τοι ἀγαθά, κρυπτέσθωσαν πρὸς ἀσφάλειαν ψυχῆς. ὥς-

Περ γὰρ θησαυρὸς φανερωθεὶς δαπανίζεται, οὕτω καὶ ἀρετὴ γνωριζομένη καὶ δημοσιευομένη ἀφανίζεται. καὶ ὥσπερ κηρὸς τήκεται, ἀπὸ προσώπου πυρός· οὕτω καὶ ἡ ψυχὴ ἀπὸ ἐπαίνων διαχεῖται καὶ ἀποβάλλει τὸν τόνον. καὶ τὸ ἐναντίον δὲ τούτων πάλιν ἔσται. ἡ γὰρ ἡ θερμότης ἔλυσε τὸν κηρόν, ἡ ψύξις αὐτοῦ ἄρα τὴν πῆξιν ποιήσεται. καὶ ὁ ἔπαινος ἀφαιρεῖται τοῦ τόνου τὴν ψυχήν, πάντως ὀνειδισμὸς καὶ ὕβρεις, εἰς μέγεθος αὐτῆς τὴν ἀρετὴν ἄγει. χαίρετε γάρ φησι καὶ ἀγαλλιᾶσθε ὅταν πᾶν ψεῦδος καθ' ὑμῶν εἴπωσιν οἱ ἄνθρωποι. καὶ ἀλλαχοῦ φησιν· ἐν θλίψει ἐπλάτυνάς με. καὶ πάλιν· ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. καὶ ἄλλα μυρία τοιαῦτα ἔστι τῇ γραφῇ προσλαβομένας θεάσασθαι. ἔστι λύπη ἐπωφελής. καὶ ἔστι λύπη φθοροποιός. τῆς μὲν χρησίμης λύπης, τὸ μέν ἐστι περὶ τῶν οἰκείων ἁμαρτιῶν στενάζειν. τὸ δέ, καὶ περὶ τῆς τοῦ πλησίον ἀγνωσίας. τὸ δέ, πρὸς τὸ μὴ ἐκπεσεῖν

τῆς περιθέσεως. τὸ δέ, ἵνα
τῆς τελειοτάτης ἐφάψηται
ἀγαθότητος. ταῦτα μὲν οὖν τῆς
γνησίας λύπης τὰ εἴδη. ἔ-
στι δὲ καὶ τοῦ ἐχθροῦ τις τούτοις
συναφθεῖσα. ἐμβάλλει γὰρ
καὶ οὗτος, λύπην ἀλογίας
μεστήν. ἥπερ καὶ ἀκηδία πρὸς
τινων ὀνομάζεται. δεῖ οὖν τοῦ
τοιούτου πνεύματος, εὐχῇ μάλιστα
ἀποσοβεῖν καὶ ψαλμωδίᾳ.
τῶν οὖν ἀγαθῶν μεμνημένων ἐ-
χομένας ἡμᾶς, οὐ χρὴ οἴεσθαι
τινὰ ἐν τῷ βίῳ ἄφευκτα
εἶναι. φησὶ γὰρ ἡ γραφή.
ὥσπερ πᾶσα κεφαλὴ εἰς πόνον.
καὶ πᾶσα καρδία εἰς λύπην.
ἐνὶ γὰρ λόγῳ τούτῳ τὸ πνεῦμα
τὸ ἅγιον συνέγραψε τὸν
μονήρη βίον, καὶ τὸν κοσμι-
κόν. διὰ μὲν τοῦ πόνου
Τῆς κεφαλῆς, τὸν μονήρη αἰνί-
ττεται τρόπον. κεφαλὴ γάρ,
τὸ ἡγεμονεῦον. τοῦ γὰρ σο-
φοῦ φησίν· οἱ ὀφθαλμοί, ἐν
τῇ κεφαλῇ αὐτοῦ. τὸ γὰρ ὁ-
ρατικὸν ὥς οἶμαι, ἐν ταύτῃ
τυγχάνει. τὸν δὲ πόνον εἶ-
πε, διότι πᾶσα ἀρετή, ἐκ
πόνων κατορθοῦται. διὰ
δὲ τῆς καρδίας λύπης,
τὸ ἄστατον καὶ μοχθηρὸν τῶν
κοσμικῶν ἐδήλωσεν ἦθος.
θυμοῦ γὰρ καὶ λύπης οἰκητή-
ριον, τὴν καρδίαν τινὲς ἀπεφά-
σαν. μὴ δοξαζόμενοι γὰρ
τινές, λυποῦνται. τῶν ἀλ-
λοτρίων ὀρεγόμενοι, τή-
κονται. πενόμενοι, δυσφο-
ροῦσι. πλουτοῦντες, ἐκμαί-
νονται. μηδὲ ὕπνου τυγχά-
νοντες διὰ τὴν τῶν παρόν-
των φυλακήν. μὴ οὖν ὑπο-
συρῶμεν ἡμεῖς τῷ φρονή-
ματι τὰ λυγροῦσαι τὰς ἐν κόσμῳ,
ἀμείνονας τυγχάνειν. τά-
χα γὰρ ὡς πρὸς σύγκρισιν, πολ-
λοὶ κοπιῶσι. τίκτουσι χα-
λεπῶς καὶ ἐπικινδύνως
καὶ τὴν πάσχουσι πρὸς τὴν γα-
λακτοτροφίαν. καὶ νοσοῦσι
τοῖς τέκνοις, συννοσοῦσι. ἐ-
ταῦτα ὑπομένουσι, τὴν ὅσ-
του πόνου μὴ ἔχουσαι. ἡ γὰρ
τὸ σῶμα πηροῦνται τὰ κυη-
θέντα, δολοφονεῖ τοὺς γεν-
Ανήσαντας. ταῦτα οὖν εἰ-
δυῖαι, μὴ δελεαζώμεθα ὑπὸ
τοῦ ἐχθροῦ ὡς αἱ ἐν τῷ κό-
σμῳ, διότι καὶ ἀμείνονος
τυγχάνουσι βίου. γεννῶσαι
μὲν γὰρ διὰ τῶν πόνων, φθεί-
ρονται. μὴ τίκτουσαι δέ, ὡς
στεῖραι καὶ ἄγονοι ὑπὸ τῶν
ὀνειδιζομένων ἐκτήκονται.
ταῦτα δὲ ὑμῖν λέγω, πρὸς
τὸ ἀσφαλίζεσθαι ὑπὸ τοῦ
ἐναντίου. οὐ πάσαις δὲ πε-
φύκεν ἄρα μόνα διὰ τὰ λεγό-
μενα. ἀλλὰ μόναις ταῖς

τὸν μονήρη βίον ἐθέλουσαν.
ὥσπερ γὰρ τοῖς ζώοις οὐ μία
τροφή, οὕτως οὐδὲ πᾶσι
τοῖς ἄλλοις ὁ αὐτὸς λόγος
συμφέρει· οὐδὲ γὰρ φησὶ
οἶνον νέον βάλλειν εἰς ἀ-
σκοὺς παλαιούς· ἄλλως μὲν
γὰρ ἐπαίρονται οἱ θεωρίας καὶ
γνώσεως ἐμφορούμενοι· ἑ-
τέρως δὲ, οἱ ἀσκητικῆς
καὶ πρακτικῆς ἀντεχόμε-
νοι· καὶ πρὸς διάφορα οἱ κα-
τὰ κόσμον ἀναστρεφόμενοι.
Ὥσπερ γὰρ τῶν ζώων τινὰ μὲν
ἐπὶ χερσαῖα· τινὰ δὲ, ἔνυ-
δρα· τινὰ δὲ πτηνά, οὕτω
καὶ οἱ ἄνθρωποι· οἱ μὲν, τὸν μέσον
βίον κατέχουσιν, ὡς τὰ χερ-
σαῖα· οἱ δὲ, πρὸς τὰ ὕψη ἀνα-
πτερυγίζουσιν, ὡς τὰ πτηνά·
οἱ δὲ, τοῖς ὕδασι τῶν ἁμαρ-
τιῶν κεκαλυμμένοι ὡς οἱ
ἰχθύες. ἦλθον γὰρ εἰς τὰ
βάθη τῆς θαλάσσης, καὶ κα-
ταιγὶς κατεπόντισέ με. ἐν
τοιαύτῃ μὲν, ἡ τῶν ζώων φύ-
σις. ἡμεῖς δὲ ὡς δέ τοι
πτεροφυῆσθαι, ἐπὶ τὰ
ὑψηλότερα ἐπιβῶμεν·
καὶ καταπατήσωμεν λέ-
οντα καὶ δράκοντα· καὶ τοῦ
ποτὲ ἄρχοντος, νῦν ἄρξομεν,
ἐὰν ὅλην ἡμῶν τὴν δια-
νοιαν, τῷ σωτῆρι προσε-
νέγκωμεν. ἀλλ' ὅσον ἡμεῖς

κορυφούμεθα πρὸς τὰ ὕψη,
κἂν κόσμος ἐμποδίζειν πει-
ρᾶται. διὰ τῶν ἰδίων παγί-
δων· καὶ τί μέγα, εἰ ἔχειν ἡμᾶς
ἀντιπάλους πρὸς τὸ ὕψος
ὁρμῶντας· ὅπου γε, καὶ πρὸς
τὰ εὐτυχῆ φθονοῦσι· κἀγὼ
τοὺς ὑπὸ γῆν τεθαμμένους θη-
σαυρούς, οἱ τοιχωρύχοι λαμ-
βάνειν ἀνοσίως. εἰ οὖν καὶ
πρὸς τὴν γηΐνην φαντασίαν
ἀντίκεινται, πόσῳ μᾶλλον
πρὸς τὴν τῶν οὐρανῶν βασιλεί-
αν φθονήσουσι· δεῖ οὖν κα-
τ' αὐτῶν παντοίως ὁπλίζεσθαι.
καὶ γὰρ ἐκ τῶν ἔξωθεν προσέρ-
χονται· καὶ ἐκ τῶν ἔνδοθεν
κινοῦνται· καὶ καθάπερ
ναῦς, ποτὲ μὲν, ὑπὸ τῶν
ἔξωθεν τρικυμιῶν κατα-
βαπτίζεται· ποτὲ δὲ, ὑπὸ τῆς
ἔνδον ἀντλίας, ὑποβρύχιος
γίνεται, οὕτω δὴ καὶ ἡμεῖς
ποτὲ μὲν διὰ τῶν ἐκτὸς
πρακτικῶν ἁμαρτημάτων
ἀπολλύμεθα· ποτὲ δὲ διὰ
τῶν ἔνδον λογισμῶν ἀφανι-
ζόμεθα· δεῖ οὖν καὶ τὰς ἔ-
ξωθεν τῶν πνευμάτων ἐπι-
τηρεῖν προσβολάς, καὶ
τὰς ἔσωθεν τῶν λογισμῶν
ἀκαθαρσίας· πάντοτε δὲ
ἐγρηγορεῖν πρὸς τοὺς
λογισμούς· ἐπεὶ μὲν γὰρ ταῖς
ἔξωθεν τρικυμίαις, βοῶν

των τῶν μαστῶν. πολλά-
κις ὥσπερ ἡ πεῖρα, διὰ τῶν ἀνέμων
τὰ τῶν πλοίων γίνεται. αἱ δὲ
δυσπλοΐαι, καὶ κοιμωμένων πολ-
λάκις τῶν πλωτήρων, καὶ ἡ-
συχαζούσης τῆς θαλάσσης
ἐπισυμβαίνουσι. καὶ λανθά-
νοντες αὐτοὶ θανατοῦνται.
δεῖ οὖν ἐπιμελεστέραν πρὸς
τὸ λοιπὸν ποιεῖσθαι τὴν
διαμονήν. ὁ γὰρ ἐχθρὸς καθά-
περ οἶκον τὴν ψυχὴν βουλό-
μενος καθελεῖν, ἢ ἀπὸ τῶν
θεμελίων ποιεῖται τὴν πτῶ-
σιν, ἢ ἀπὸ τῆς ὀροφῆς ἀρχό-
μενος, πᾶσαν αὐτὴν διαφθεί-
ρει. ἢ καὶ διὰ τῶν θυρίδων
εἰσελθών, πρῶτον τὸν οἰκο-
δεσπότην ἀναιρεῖ. καὶ οὕτω
χειροῦται τὰ πάντα. θεμέ-
λιος μὲν οὖν ἐστι, τὰ καλὰ
ἔργα. ὀροφὴ δὲ ἡ πίστις.
θυρίδες δέ, αἱ αἰσθήσεις
διὰ πάντων δὲ πολεμεῖ ὁ
ἐχθρός. ὅθεν πολὺ ὀ-
φθαλμὸν δεῖ εἶναι, τὸν σω-
θῆναι βουλόμενον. οὐκ ἔ-
χομεν γὰρ ἐνταῦθα τὸ ἀμέ-
ριμνον. φησὶ γὰρ ἡ γραφή·
βλεπέτω ὁ ἑστηκώς, μὴ πέ-
σῃ. ἐν ἀδήλῳ πλέομεν.
θάλασσα γὰρ ὁ βίος ἡμῶν
ὑπὸ τοῦ ἱεροψάλτου Δαβὶδ
εἴρηται. ἀλλὰ τῆς θαλάσσης,
τὰ μὲν εἰσὶ πετρώδη. τινὰ

καὶ θηρίων πλήρη. τινὰ δέ,
καὶ γαλήνια. ἡμεῖς οὖν ἐν τῷ
γαληνιῶντι μέρει τῆς θαλάσσης
δοκοῦμεν πλέειν. οἱ δὲ
κοσμικοὶ ἐν τοῖς κινδυνώδε-
σι. καὶ ἡμεῖς μέν, ἡμέ-
ρας πλέομεν ὑπὸ τοῦ ἡλίου
τῆς δικαιοσύνης ὁδηγού-
μενοι. ἐκεῖνοι δέ, νυκτὸς
ὑπὸ τῆς ἀγνωσίας φερόμενοι.
ἀλλ' ἐνδέχεται πολλάκις τὸν
κοσμικὸν ἐν χειμῶνι καὶ ἐν
σκότει τυγχάνοντα, βοή-
σαντα καὶ ἀγρυπνήσαντα,
σῶσαι τὸ ἑαυτοῦ σκάφος. ἡ-
μᾶς δὲ ἐν γαλήνῃ ὑπὸ ἀμελεί-
ας βυθισθῆναι, τὸ πηδά-
λιον τῆς δικαιοσύνης ἀφι-
έντας. βλεπέτω οὖν ὁ
ἑστηκώς, μὴ πέσῃ. ὁ μὲν γὰρ

Π
εσών, μίαν ἔχει φροντίδα
τοῦ ἀναστῆναι. ὁ δέ γε ἑστηκώς,
φυλαττέσθω τοῦ μὴ πεσεῖν.
διαφορὰ γάρ τοι πτωμάτων.
οἱ μὲν γὰρ πεσόντες, τοῦ μὴ
ἑστηκέναι ἐστέρηνται. κείμενοι
δέ, οὐ πάνυ τι βλάπτονται.
ὁ δὲ ἑστώς, μὴ εὐτελιζέτω
τὸν πεπτωκότα. ἀλλ' ἑαυτὸν
φοβείσθω μὴ πεσὼν δια-
φθαρῇ, καὶ εἰς κατώτερον
κατενεχθῇ βόθρον. εἰκὸς γὰρ
καὶ τῆς κραυγῆς ἐπιληθεῖσθαι
ὑπὸ τοῦ βάθους τοῦ φρέατος,
μὴ δὲ βοηθεῖσθαι τῆς

φησὶ γὰρ ὁ δίκαιος, μὴ καταπιέτω με βυθός. μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. ὁ πρῶτος πεσὼν ἔμεινεν. ὅρα μὴ καταπεσὼν καὶ σύ, θοίμηθεὶς ἔσω γένῃ. ὁ πεσών, οὐκ ἀσφαλίζεται τὴν θύραν. οὐδὲ μοχλῷ συμπάξῃς. ἀλλ' εἰ τὸ θεῖον ἐκεῖνο μελῳδὰ ῥῆμα τὸ φάσκον· φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον. μήποτε εἴπῃ ὁ ἐχθρός· ἴσχυσα πρὸς αὐτόν. ἀγρύπνει δὲ διηνεκῶς, διὰ τὸν ὠρυόμενον λέοντα. ταῦτα γὰρ ῥήματα ζωτελεῖ, πρὸς τὸ μὴ ἐπαίρεσθαι τίνα. ὅταν ἐν τῷ ἐπιστρέψαι καὶ στενάξαι, σωθήσεται. ὅρα οὖν

Τὴν· ἢ στηκοσα. διπλοῦς γάρ σοι ὁ φόβος ἐπίκειται. ἢ τοῦ μὴ ἐπιστρέψαι πρὸς τὴν ἀρχαίαν δι' ὀλιγωρείας σοι τοῦ ἐχθροῦ προσπεσόντος, ἢ τοῦ μὴ τρέχουσαν σκελιασθῆναι. ὁ γὰρ ἐχθρὸς ἡμῶν ὁ διάβολος. ἢ ὄπισθεν ἕλκει πρὸς ἑαυτὸν ὁπηνίκα βραδεῖαν καὶ νωθρὰν τὴν ψυχὴν θεάσηται. ἢ δοκοῦσαν αὐτὴν σπουδαίαν εἶναι καὶ ἐπίπονον πρὸς ἀσκήσειν, ὑπεισέρχεται λεπτῶς καὶ κεκρυμμένως, διὰ τῆς ὑπερηφανείας· καὶ οὕτως, αὐτὸν δεθῆν τὴν ψυχὴν ἀπόλλυσι. τοῦτο τὸ ὅπλον σχίζατον καὶ κορυφαιότατον πάντων ἐστὶ τῶν κακῶν. διὰ τοῦτο ὁ διάβολος καταβέβληται. καὶ διὰ τοῦτο τοῖς δυνατωτέροις τῶν ἀγώνων πειρᾶται καθαιρεῖν. ὥσπερ γὰρ οἱ δεινότατοι τῶν πολεμιστῶν μετὰ τὸ διαπονῆσαι τὰ λοιπὰ τῆς ἀβελῆ· ἐπικρατούντων ἤ τι τῶν μαχίμων προβάλλονται τὴν ἰσχυροτέραν πάντων μάχαιραν, οὕτω καὶ ὁ διάβολος. μετὰ τό, τὰ πρῶτα αὐτοῦ δαπανῆσαι ἀκμητρά, τὸ τελευταῖον τελευταίῳ χρᾶται ξίφει, τῇ ὑπερηφανείᾳ. τίνες δὲ

Ἤσαν αἱ πρῶται αὐτοῦ παγίδες; δῆλον· ὡς γαστριμαργία· φιληδονία· πορνεία. ταῦτα γὰρ μάλιστα τὰ πνεύματα ἐπὶ τῶν νεωτέρων ἡλικιῶν συμβαίνουσιν. ἐπακολουθεῖ δὲ τούτοις, φιλαργυρεία· πλεονεξία· καὶ τὰ ὅμοια τούτοις. τῇ δὲ ἀθλίᾳ ψυχῇ ὅταν τούτων τῶν παγίδων περιγένηται· ὁπηνίκα γαστρὸς κρατήσει· ὅταν καὶ τοῖς ὑπογαστρίοις ἡδοναῖς ὑπερπηδήσῃ· ὅτε ἀργυρίου καταφρονήσει, τότε ὁ κακόφρων ποταπόθεν ἀπορηθείς, ὑποβάλλει

αὐτὴν διὰ τὸ ἄκτον κεκτῆσθαι· με-
γεθύνει γὰρ αὐτὴν ἄπερ ἐπιβ
κατὰ τῶν ἀδελφῶν ἐπαι-
ρεσθαι. βαρὺ καὶ ὀλέθριον
τοῦτο τοῦ ἐχθροῦ τὸ δηλητή-
ριον· πολλοὺς ἀθρόον ἐν τῷ
τῳ σχηματίσας, κατέβαλεν·
ὑποβάλλει τῇ ψυχῇ ἐμμαλαν-
μόθον καὶ θανατηφόρον· κα-
τειληφθεῖσαι γὰρ φθάνει τὰ ζω-
τὸν αὐτῶν, τὰ τοῖς πολλοῖς
ἀγνοούμενα. καὶ ὅτι ἐν μνή-
σεις τοὺς πολλοὺς ὑπο-
βάλλει. καὶ πλῆθος αὐτῶν
ἀνδραγαθημάτων προστί-
θησι· πάντων δὲ ὧν ἡμάρτεν,
εἰς λήθην αὐτὸν φέρει· πρὸς
τὸ, κατὰ τῶν ζώντων ἐπαί-
ρεσθαι. ὑποκλέπτει γὰρ ἐκ
τοῦ νοῦ αὐτοῦ τὰ πλημμελή-
ματα. οὐ πρὸς ὠφέλειαν
δὲ αὐτοῦ τοῦτο ποιεῖ· ἀλλὰ
πρὸς τὸ μὴ δυνηθῆναι αὐτὸν
εἰπεῖν, τὴν δαυιτικὴν ἐκεί-
νην φωνήν· τὸ, σοὶ μόνῳ ἥ-
μαρτον, ἐλέησόν με. οὔτε
μὴν συγχωρεῖ αὐτῷ λέγειν,
ἐξομολογήσομαί σοι κε ἐν
ὅλῃ καρδίᾳ μου. ἀλλ' ὥσπερ
αὐτὸς κατὰ διάνοιαν εἶπεν·
ἀναβήσομαι καὶ θήσω τὸν
θρόνον μου, οὕτω καὶ τοῦτον
φθάνει ζῆ. εἰς ἀρχάς τε καὶ
πρωτοκαθεδρίας. ἔτι τε δι-
δασκαλίας. καὶ ἰαμάτων

ἐκδόσεις. ἧς ἐπ' οὕτως ἀπο-
τωμένη ψυχὴ, φθείρεται καὶ
ἀπόλλυται δυσιάτῳ τῷ ἕλκει
πληγεῖσα. τί οὖν δεῖ ποιεῖν
τῶν τοιούτων λογισμῶν πα-
ρόντων; ἀδιαλείπτως μελε-
τᾶν, τὸ θεῖον ἐκεῖνο λόγιον·
τὸ ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος.
καὶ ὅπερ ὁ ἐν γέρων φησίν,
ἐγὼ δὲ ἀμὴν γῆ καὶ σποδός. ἔτι
γε μὴν καὶ τὸ τοῦ ἡσαΐου ῥῆ-
μα τὸ, λέγον· ὡς πᾶσα δικαι-
οσύνη ἡμῶν, ὡς ῥάκος ἀπο-
καθημένης. καὶ εἴπερ ἀνα-
χωρεῖ οἷα κατ' αὐτὴν οἱ λο-
γισμοὶ οὗτοι παρεισέλθωσιν,
ἐν κοινοβίῳ εἰσερχέσθω. ἀ-
ναγκαζέσθω δὲ καὶ διὰ τὸ ὅλον
ἐπαγείειν τῆς ἡμέρας· ἐπεὶ
διὰ ὑπερβολὴν ἀσκήσεως
τούτῳ ἑάλω τῷ πάθει. καὶ
παρὰ τῶν συνηλικιωτῶν δὲ, ἐπι-
τιμάσθω καὶ ὀνειδιζέσθω
ὡς μηδὲν μέγα πράττοντα.
πᾶσαν δὲ ὑπηρεσίαν ποιεί-
τω. προσαγέσθω δὲ αὐτῷ
καὶ βίοι ἁγίων ἔξοχοι πρὸς
διήγησιν. πειράσθωσαν δὲ
αἱ σωμελθοῦσαι ἐπιτείνειν
ἑαυτῶν τοὺς πόνους πρὸς
ἄσκησιν τὰς ὀλίγας ἡμέρας.
πρὸς τὸ, ἐκείνην μὴ θεωμένην
τὸ μέγεθος τῶν ἀρετῶν, ἐλα-
ττον ἑαυτὴν ἡγήσασθαι.
προηγεῖται δὲ τῆς νόσου ταύτης

ἐστὶ φρονηματικόν, ἢ παρακοή· ὅθεν διὰ τοῦ ἐναντίου τῆς ὑπακοῆς, δυνατὸν τὴν σηπεδονώδη μολυσμὸν τῆς ψυχῆς περικαθᾶραι· ὑπακοὴ γάρ φησίν, ὑπὲρ θυσίαν. δεῖ οὖν καθαιρεῖν δόξαν ἐν καιρῷ. καὶ ἐπαινεῖν καὶ θαυμάζειν πάλιν ἐν καιρῷ. εἰ γὰρ ἀμελὴς καὶ νωθρὰ εὑρεθείη ψυχή· εἴ γε μὴν καὶ ὑποδραμοῦσα ἔλθῃ εἰς τὴν τοῦ καλοῦ προκοπήν, ἐπαινεῖν ταύτην προσήκει. καὶ εἰ μικρόν τι ποιήσει χρηστόν, θαυμάζειν καὶ μέγα ὅθεν ποιεῖν δέον αὐτήν. τὰ δὲ σφοδρὰ καὶ ἀπάνθρωπα ἐπιτιμήματα, ὡς ἐλάχιστα καὶ οὐδαμινὰ λεκτέον. ὅτι

Διάβολος βουλόμενος πάντα διαστρέφειν, ἐπὶ μὲν τῶν σπουδαίων καὶ ἀσκητικῶν, κρύπτειν πειρᾶται τὰ προσγενόμενα ἁμαρτήματα· τὴν γὰρ ὑπερηφάνειαν αὐξῆσαι βούλεται. ἐπὶ δὲ τῶν μὲν ἐκλελυμένων καὶ ἀκηδιαστῶν ψυχῶν, πάντα τὰ ἁμαρτήματα, πρὸ ὀφθαλμῶν τίθησι· τὴν ἀπόγνωσιν αὐταῖς ἐγγεννῶν. ἐμβάλλει γὰρ ταύτῃ ὅτι σοὶ πορνευσάσῃ, ποία ἔσται συγγνώμη. καὶ τῇ ἄλλῃ φησίν· οὕτως σὺ πλεονεκτούσῃ, ἀδύνατον σοι σωτηρίας τυχεῖν. τὰς οὖν οὕτω σαλευομένας ψυχάς, παραμυθητέον οὕτως· δεῖ γὰρ πρὸς αὐτὰς λέγειν· Ῥαὰβ πόρνη ἦν, ἀλλ' ἐσώθη διὰ πίστεως. Παῦλος διώκτης ἦν, ἀλλὰ σκεῦος ἐκλογῆς ἐγένετο. Ματθαῖος τελώνης ἦν, ἀλλ' οὐδεὶς τὴν χάριν τούτου ἀγνοεῖ. καὶ ὁ λῃστὴς ἐσύλα καὶ ἐφόνευεν, ἀλλὰ πρῶτος τὴν θύραν ἀνέῳξε τοῦ παραδείσου. τούτοις οὖν ἐνατενίζουσα, μὴ ἀπογνῶς τὴν σεαυτοῦ ψυχήν. ἐπὶ δὲ

Τῶν ὑπερηφανείᾳ ἁλισκομένων, ἐκ τῶν μειζόνων δεῖ ποιεῖσθαι αὐτῶν τὴν θεραπείαν. φάσκειν γὰρ δεῖ πρὸς αὐτήν. τί πεφυσίωσαι ὡς κρέα μὴ ἐσθίουσα; ἄλλοι οὐδὲ ἰχθύας ὁρῶσι. καὶ εἰ οἶνον οὐ πίνεις, ὁπόσον, ὡς ἄλλοι οὔτε ἔλαιον ἐσθίουσιν. ἕως ὀψὲ νηστεύεις; ἄλλοι δὲ, δύο καὶ τρεῖς ἡμέρας διατελοῦσιν ἄσιτοι. ἀλλ' ὅτι οὐ λούῃ μεγαλοφρονεῖς; πολλοὶ καὶ διὰ πάθος σωματικόν, οὐδ' ὅλως λουτροῦ ἐχρήσαντο. ἀλλὰ θαυμάζεις ἑαυτὸν ὅτι ἐν χαραδείῳ καθεύδεις καὶ ἐν τριχίνῃ στρωμνῇ; ἄλλοι δὲ χαμαὶ κοιμῶνται διηνεκῶς. ἀλλ' εἰ καὶ τοῦτο ποιήσειας, οὐδὲν μέγα. τίνος γὰρ καὶ

λίθους ἔσω αὑτοῖς ὑπέβαλον
πρὸς τὸ μὴ καθ᾽ ἡδονὴν τῶν
φυσικῶν τυχεῖν· ἄλλοι δὲ
καὶ ἐκρέμασαν ἑαυτοὺς διό-
λου νυκτός· ἄλλοι καὶ ταῦ-
τα πάντα ποιήσαντες, καὶ τὴν
ἄκραν τὴν ἐπιτελέσαντες
ἄσκησιν, μὴ μέγα φρονή-
σαντες· καὶ γὰρ τὰ δαιμόνια,
πλείω τῶν σῶν πεποιήκα-
σι καὶ ποιοῦσιν· οὔτε γὰρ ἐσθί-
ουσιν, οὔτε πίνουσιν· ἀλλὰ
καὶ ἐν ἐρήμοις διάγουσιν, εἴ
γε καὶ ἐν σπηλαίοις οἰκοῦσι, δο-
κεῖς μέγα τι ποιεῖν· οὕτω μὲν
οὖν καὶ ἐκ τῶν τοιούτων λογι-
σμῶν, διαματονίασθαι τὰ
ἐναντία πάθη· ὥσπερ γὰρ
σφοδρῶς ἐκφυσώμενον πῦρ,
διασκορπιζόμενον ἀπόλ-
λυται. καὶ μὴ τυχὸν δὲ πνεύ-
ματος πάλιν φθείρεται, οὕ-
τω καὶ ἡ ἀρετή, ἀφίσταται
δι᾽ ὑπεροψίαν, καὶ πολλὴν
σφοδρότητα διασκήσεως
λάβῃ· καὶ φθείρεται δὲ πά-
λιν ἐξ ἀμελείας τὸ καλόν,
ὅταν μηδὲ ὅλως κινήσωμεν
ἑαυτὰς πρὸς ἐπισκοπὴν τοῦ
ἁγίου πνς· μάχαιρα ἀπόλε-
μος, ῥᾳδίως ὑπὸ λίθου
κατεάγνυται· καὶ ἀσκηταῖς
ἐπιτεταμένη, ζωτόμως ἐκ
τοῦ ὑπερηφανεύεσθαι, ἀ-
πόλλυται· ὅθεν προσήκει

πανταχόθεν ἀσφαλίζεσθαι
τὴν ψυχήν· καὶ τὴν ἀκροτά-
την ἄσκησιν ἐκ τοῦ καύσω-
νος τῆς ὑπερηφανείας πο-
καιομένην, πειναμοτεῖν
πρὸς τοὺς σκιώδεις τόπους.
ἐὰν ὅτε δὲ καὶ περιτέμνειν
τὰ περιττὰ πρὸς τὸ τὴν ῥίζαν
ἀθαλέστερον γενέσθαι. τὸν
διὰ τῆς ἀπογνώσει ἀλισθησό-
μενον, ἂν ὡς ἐπεμβιάζε-
σθαι χρὴ τοῖς προειρημένοις
λογισμοῖς· καὶ γὰρ σφόδρα
ἡ ψυχή του τουχλαμαι πεπλη-
ρωμένη τυγχάνει· καὶ γοῦν τῶν γεω-
πόνων οἱ ἄριστοι· ἐπειδὰν με-
γαλοφυὲς φυτὸν καὶ ἀσθενὲς
θεάσωνται, ποτίζουσι δα-
ψιλῶς· καὶ ἐπιμελείας πολ-
λῆς ἀξιοῦσι πρὸς τὸ αὐξη-
θῆναι· ἐπειδὰν δὲ ἰδὼν φυ-
τὸν περισσότερον βλαστῆν θεάσων-
ται, περιτέμνειν αὐτοῦ τὰ
περιττὰ εἰώθασι· φιλεῖ
γὰρ ταῦτα ζωτόμως ξηραίνε-
σθαι. καὶ ἰατρῶν δὲ παῖ-
δες, τινὰς μὲν τῶν ἀρρώστων,
τρέφουσι δαψιλῶς· καὶ πρὸ
πλείστα τὸν προτέρων ται·
ἑτέρους δὲ ἀσθενοῦνται, ἀ-
σίτους ἐπὶ πολὺ φυλάττου-
σι· φανερὸν οὖν ἐστὶν ὡς με-
γιστον ἐν κακοῖς ἡ ὑπερηφά-
νεια τυγχάνει· καὶ τοῦτο δη-
λοῖ, τὸ ἐναντίον αὐτῆς ἡ γορ

ἡ ταπεινοφροσύνη· ταύτην
δὲ κτήσασθαι δυσχερές· εἰ μὴ
γάρ τις πάσης δόξης ἐκτὸς γέ-
νηται, τούτου τοῦ θησαυροῦ
τυχεῖν οὐ δυνήσεται· οὕτω
δέ ἐστι μεγάλη ἡ ταπεινοφρο-
σύνη· ὡς πάσας μὲν τὰς ἀρε-
τὰς, μιμεῖσθαι δοκεῖν τὸν διά-
βολον· ταύτην δὲ, μηδὲ
εἰδέναι τί ὅλως ἐστίν· εἰ-
δὼς δὲ αὐτῆς τὸ ἀσφαλὲς καὶ
τὸ ἑδραῖον ὁ ἀπόστολος πέ-
τρος, πρὸς τὰ τέκνα ἡμῶν τὴν
ταπεινοφροσύνην ἐγκολπώ-
σασθαι· καὶ πάντας θέλει ποι-
οῦντας τὰ ἐπωφελῆ, ταύτην
περιβάλλεσθαι· κἂν τεχνίτης εὐφυής
κἂν τέλειος· κἂν τε διδάσκαλος·
κἂν σώφρων τυγχάνῃς καὶ συνε-
τὸς, ταύτην ἀντὶ στοιχείου ἀρ-
ραγοῦς, σεαυτῷ περίστησον·
σφιγγέτω σε καὶ συνεχέτω σου
τὰς ἀρετὰς, ἡ ταπεινοφροσύ-
νη· ὁρᾷς καὶ τὴν τῶν τριῶν παί-
δων ὁμολογίαν; οὗτοι γὰρ
τῶν ἁγίων ἀρετῶν οὐ πάντων
τι μνημονεύσαντες, τοὺς
ταπεινοὺς ἐν τοῖς ὕμνοις ἰ-
κατηριθμήσαντο· μὴ εἰρη-
κότες σώφρονας ἢ ἀκτήμο-
νας· ὥσπερ γὰρ ἀδύνατον
ναῦν χωρὶς ἥλων κατασκευα-
σθῆναι, οὕτως ἀμήχανον
σωθῆναι χωρὶς ταπεινοφρο-
σύνης· ὅτι δὲ ἀγαθὴ καὶ σωτή-
ριος, πέφηκεν· ὁ κ(ύριο)ς τὴν πρὸς
ἀνθρώπους οἰκονομίαν πληρῶν, αὐ-
τὴν ἠμφιάσατο· μάθετε γὰρ
φησὶν ἀπ' ἐμοῦ ὅτι πρᾷος
εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ·
ὅρα τίς ὁ λέγων, καὶ τελεί-
ως μάνθανε· ἀρχή σοι καὶ
τέλος τῶν ἀγαθῶν, ἡ ταπεινο-
φροσύνη γενέσθω· φρόνησιν
λέγει ταπεινὴν, οὐ σχῆμα
μόνον· τὸν γὰρ τοὺς ἀνθρώπους αἰνί-
ττεται· ἀκολουθήσει γὰρ του-
τω, καὶ ὁ ἐκτός· πάσας τὰς
ἐντολὰς πεποίηκας, οἱ λέγει
ὁ κ(ύριο)ς· ἀλλ' αὐτὸς σοι γὰρ τηρεῖσθαι
καὶ πάλιν· ἀρχὴν δουλείας
λαμβάνειν· φησὶ γάρ· ὅταν
ταῦτα πάντα ποιήσητε, εἴπατε
ὅτι ἀχρεῖοι δοῦλοι ἐσμέν· ἡ
σὺν ταπεινοφροσύνῃ, κατορ-
θοῦται διὰ μέσου ὑβρέων· διὰ ὕ-
βρεων· διὰ πληγῶν· ἵνα ἀ-
κούσῃς ἄφρων, καὶ μωρὸς·
πένης καὶ πτωχός· ἀσθενὴς
καὶ εὐτελής· ἀπείροις εἰ
ἔργοις· ἄλογος γὰρ περιφο-
ρᾶς· ἄτιμος γὰρ εἶ, δεῖ· ἀσθε-
νὴς γὰρ δυνάμει· ταῦτα τῆς
ταπεινοφροσύνης τὰ γνωρί-
σματα· ταῦτα ὁ κ(ύριο)ς ἡμῶν ἤκου-
σε καὶ ὑπέμεινε· σαμαρείτην
γὰρ αὐτὸν εἶπον καὶ δαιμό-
νιον ἔχοντα· δούλου μορ-
φὴν ἔλαβεν· ἐρραπίσθη·
πληγαῖς ἠκίσθη· δεῖ οὖν καὶ ἡμᾶς,

μιμεῖσθαι τὴν ἔμπρακτον
ταύτην ταπεινοφροσύνην.
εἰσὶ μὲν οὖν τινὲς, καὶ διὰ
τῶν ἐκτὸς σχημάτων, ὑπο
κρινόμενοι ταύτην· καὶ τα
πεινοῦντες ἑαυτούς. ἀπὸ
τούτου δόξαν θηρώμενοι.
ἀλλ' ἐκ τῶν καρπῶν αὐτῶν
ἐπιγνώσονται· καὶ γὰρ ἐ
πιπολέως ὑβρισθέντες
οἱ τοιοῦτοι, οὐκ ἠνέγκαν.
ἀλλ' ἀθρόα ταῦτα ὥσπερ ὄφεις
τὸν αὐτῶν ἐξήμεσαν ἰόν. Ἐ
πὶ τοῖς λόγοις δὲ τούτοις, ἡ γαλ
λιῶντα αἴσθησιν ἐλθοῦσα σφό
δρα· καὶ πάλιν προσεκαρτέ
ρουν κόρον τῶν ἀγαθῶν μὴ λαμ
βάνουσα. καὶ πάλιν πρὸς
αὐτὸ ἐλέγχει ἡ μακαρία·
ἀγών ἐστι πολὺς τοῖς προσερ
χομένοις τῷ θεῷ· καὶ κόπος
τὰ πρῶτα· ἔπειτα χαρὰ ἀ
νεκδιήγητος. ὥσπερ γὰρ οἱ
πῦρ ἅψαι βουλόμενοι, πρῶ
τον καπνίζονται καὶ δακρύ
ουσι. καὶ οὕτως τοῦ ζητουμένου
τυγχάνουσιν, οὕτω δεῖ καὶ ἡ
μᾶς τὸ θεῖον πῦρ εἰς ἑαυτοὺς
ἅψαι, μετὰ δακρύων καὶ
κόπου. αὐτὸς γάρ φησιν ὁ
κύριος. πῦρ ἦλθον βαλεῖν ἐπὶ
τὴν γῆν. καί τινες δι' ὀλιγω
ρίαν, τοῦ μὲν καπνοῦ ἠνέσχον
το. τὸ δὲ πῦρ, οὐκ ἐξῆψαν.
διὰ τὸ μακροθυμίας ἐκτὸς

εἶναι· καὶ μᾶλλον αὐτῶν τῶν
περὶ τὸ θεῖον σχολάζουσιν, ἅ δὲ
μὴ καὶ ἀμαρτάνοντα τυγχάνειν.
Ὅθεν καὶ μάλα καὶ μᾶλλον ἡ ἀ
γάπη. καὶ περὶ ταύτης δια
βεβαιούμενος ὁ ἀπόστολος
ἔλεγεν· ὡς ἐὰν πάντα τὰ ὑπάρ
χοντά μου διανείμω· καὶ τὸ σῶμά
μου ὑπωπιάσω, ἀγάπην δὲ μὴ
ἔχω, γέγονα χαλκὸς ἢ κύμβα
λον ἀλαλάζον. μετὰ οὖν τῶν
ἀγαθοῖς ἡ ἀγάπη. ὥσπερ καὶ κά
κιστον ἐν δεινοῖς, ὁ θυμός. πᾶ
σαν γὰρ τὴν ψυχὴν σκοτίσας
καὶ ἀποθηριώσας, εἰς ἀλογί
αν φέρει. ὁ γὰρ κύριος πανταχό
θεν τῆς σωτηρίας ἡμῶν κηδό
μενος, οὐδόλως συνεχώρησε
βραχύ τι μέρος εἶναι ἀσκέ
παστον τῆς ψυχῆς. λανθάνει ἀνακι
νεῖ ὁ ἐχθρός, σωφροσύνην
ἡμᾶς ὁ κύριος ὥπλισεν· ἀλλ' ὑπε
ρηφανίαν γεννᾷ; ἡ ταπει
νοφροσύνη οὐ μακρὰν τυγχά
νει. μῖσος ἐνέφυσεν ἡμῖν; ἀλ
λ' ἡ ἀγάπη ἐν μέσῳ παρίσταται.
Καὶ ἁπλῶς πολλὰ ὁ ἐχθρὸς καθ'
ἡμῶν κινεῖ βέλη, ἀλλὰ πλεῖ
οσιν ὁ κύριος ὅπλοις, ἡμᾶς ἠσφα
λίσατο, πρός τε τὴν ἡμῶν σω
τηρίαν, καὶ τὴν ἐκείνου κα
τάπτωσιν. κάκιστον μὲν οὖν
ἐν κακοῖς ὥσπερ εἴπομεν ὁ θυμός·
ὀργὴ γάρ φησιν ἀνδρὸς δικαι
οσύνην θεοῦ οὐ κατεργάζεται. δεῖ

δὲ αὐτὸν ἡνιοχεῖν, ὅτι καὶ ἐν καιρῷ χρήσιμος ὤφθη. θυμοῦσθαι γὰρ καὶ κινεῖσθαι κατὰ δαιμόνων συμφέρει· πρὸς δὲ αὐτὸν σφοδρῶς κινεῖσθαι, οὐ συμφέρει. κἂν ἁμαρτίας τύχωσιν, ἐπιστρέφειν δὲ αὐτὸν δεῖ, μετὰ τὸ παύσασθαι τὸ τῆς ὀργῆς πάθος· καὶ τὸ μὲν ὀργίζεσθαι, ὡς εἰκὸς ἔλαττον· ἡ δὲ μνησικακία πάντων ἐστὶ βαρυτέρα. ὁ γὰρ θυμὸς, ὥσπερ καπνὸς πρὸς ὀλίγον θολώσας τὴν ψυχὴν διαλύεται· ἡ δὲ μνησικακία

ὥσπερ ἐμπαγεῖσα τῇ ψυχῇ, θηρίων αὐτὴν δεινοτέραν ποιεῖ. καὶ κύων μὲν κατά τινος ἐκμανεὶς, ὑπὸ τῆς τροφῆς θωπευθεὶς, μεταβάλλεται τῆς ὀργῆς. καὶ τἆλλα δὲ θηρία, ὑπὸ τῆς συνηθείας μεταλλάττεται· ὁ δέ γε τῇ μνησικακίᾳ κρατούμενος, οὔτε παρακλήσει πείθεται, οὐ τροφῇ παραλύεται· οὔτε μὴν ὁ πάντα μεταβάλλων χρόνος, τὸ πάθος τῶν μνησικακιῶν ἰάσατο. οἱ τοιοῦτοι ἀσεβέστατοι πάντων εἰσὶ καὶ ἀνομώτατοι. οὐ γὰρ ὑπακούουσι τοῦ σωτῆρος λέγοντος· ὡς ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ οὕτως πρόσαγε τὸ δῶρόν σου. καὶ ὁ ἀπόστολος λέγει· μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν. καλὸν μὲν οὖν τὸ μὴ ὀργισθῆναι. εἰ δὲ καὶ γένηται, οὐ δὲ μέτρον σοι ἡμέρας πρὸς τὸ πάθος συνεχώρησεν. εἶπε γὰρ μὴ ἐπιδῦσαι τὸν ἥλιον. σὺ δὲ ἐκδέχῃ ἕως ἂν ὁ πᾶς σου χρόνος δύῃ. οὐκ οἶδας εἰ περιαρκεῖ τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς; τί μισεῖς τὸν λυπήσαντα ἄνθρωπον· οὐκ αὐτός ἐστιν ὁ ἀδικήσας· ἀλλ' ὁ διάβολος. μίσησον τὴν νόσον· καὶ μὴ τὸν νοσοῦντα. τί ἐγκαυχᾶσαι ἐν κακίᾳ ὁ δυνατός· περὶ σοῦ ὁ ψαλμῳδὸς τοῦτο ἐβόησεν· ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. τουτέστι πάντα τὸν τῆς ζωῆς σου χρόνον παρακούεις τοῦ νομοθέτου λέγοντος, μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν. φησὶ δὲ τὸ ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου, ὅτι οὐ παύῃ βλασφημῶν τὸν ἀδελφόν σου. ὅθεν σοι δικαία ἡ τιμωρία, διὰ τοῦ τοῦ ὑμνῳδοῦ ἐκ τοῦ πνεύματος προφέρεται. διὰ τοῦτο γάρ φησιν ὁ θεὸς καθελεῖ σε εἰς τέλος. ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου. καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. ταῦτα τῶν

Μνησικακῶν τὰ δῶρα. ταῦτα

τῆς κακίας τὰ ἔπαθλα· φυλάτ-
τεσθαι οὖν δεόμεθα, ἀπὸ μὲν τῆς
κακίας· πολλὰ γὰρ αὐτῇ ἀκολου-
θεῖ τὰ δεινά· φθόνος· λύπη·
καταλαλιά· θανατηφόρος δὲ
ἡ τούτων κακία, κἂν μι-
κρὰ δοκεῖ τυγχάνειν· καὶ
πολλάκις τὰ ἀπὸ διστόμου
μαχαίρας καὶ μείζονος ξίφους
τραύματα, οἷα ἐστὶ πορνεί-
α· πλεονεξία· φόνος· ἰάθη-
σαν διὰ τοῦ σωτηρείου φάρ-
μακου τῆς μετανοίας· ὑπερη-
φανία δέ· ἡ μνησικακία· ἡ
καταλαλιά, ὥσπερ μικρὰ δο-
κοῦντα εἶναι βλάβη· λανθανόν-
τως ἀνεῖλον κατὰ τῶν καιρί-
ων τόπων τῆς ψυχῆς μικρῶν πα-
γέντα· ταῦτα δέ, οὐ τῷ μεγέ-
θει ἀναιρεῖ τῆς πληγῆς, ἀλλὰ
τῇ ἀμελείᾳ τῶν τετρωθέντων·
ὡς μηδενὸς γὰρ καταφρονή-
σαντες τῆς τε καταλαλιᾶς καὶ
τῶν λοιπῶν, κατὰ μικρὸν ὑπ'
αὐτῶν διεφθάρησαν· βαρὺ δὲ
μοχθηρὸν ἡ καταλαλιά· τρο-
φὴ γὰρ καὶ ἀνάπαυλα τινῶν
ἀνθρώπων τυγχάνει· οὐ δὲ μὴ
παραδέξῃ ἀκοὴν ματαίαν· μὴ
τῶν ἄλλο τι ὧν κακῶν δοκεῖ
ὀχληρόν· ἀπείρατον τὴν ψυ-
χὴν σεαυτῆς παρασκεύαζε·
ἀποδεξαμένη γὰρ τὴν διὰ
τῶν λογισμῶν ἀκαθαρσίαν,
κηλῖδας τῇ εὐχῇ σου προσάξεις

διὰ τῶν λογισμῶν· ἀναιτίως
γὰρ μισεῖς τοὺς οὐδὲν τυγχάνοντας·
καταβαφείσης γάρ σου τῆς
ἀκοῆς ὑπὸ τῆς τῶν καταλα-
λούντων ἀπανθρωπίας, ἀ-
γεννῶς πᾶσιν ἐνατενίζεις·
καθάπερ καὶ ὁ ὀφθαλμὸς χρώ-
ματι ἀκρατοτέρως προσειλη-
φθείς, ἀδιάκριτον ἔχει πρὸς
τὰ ὁρώμενα τὴν φαντασίαν·
δέον οὖν φυλάττεσθαι τὴν
γλῶσσαν καὶ τὴν ἀκοὴν πρὸς
τὸ μὴ λέγειν τι τοιοῦτον μή-
τε ἀκούειν ἐμπαθῶς· γέγρα-
πται γάρ, ἀκοὴν ματαίαν μὴ
παραδέξησθε· καὶ ἐν τοῖς
ψαλμοῖς φησὶν ὁ Δαβίδ· τὸν
καταλαλοῦντα λάθρα τὸν πλη-
σίον αὐτοῦ· τοῦτον ἐξεδίω-
κον· καὶ ἀλλαχοῦ· ὅπως ἂν μὴ
λαλήσῃ τὸ στόμα μου τὰ ἔργα
τῶν ἀνθρώπων· ἡμεῖς δὲ καὶ τὰ
μὴ ὄντα λεγόμενα· δεῖ οὖν μὴ
πιστεύειν τοῖς λεγομένοις·
ἀλλὰ κατὰ τὴν θείαν γραφὴν
ποιεῖν καὶ λέγειν· ἐγὼ δὲ
ὡσεὶ κωφὸς οὐκ ἤκουον· καὶ
ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ
στόμα αὐτοῦ· οὐ δεῖ ὡς ἐπὶ
συμφορᾷ ἄλλου χαίρειν, κἂν
πάνυ ἁμαρτωλὸς τυγχάνῃ·
τινὲς γὰρ θεασάμενοι τινὰ
μαστιζόμενον· ἢ φυλακι-
ζόμενον, ἀμαθῶς τὴν κοσμι-
κὴν ἐκείνην παροιμίαν φα-

σθαι· ὥς ὁ στρωθεὶς κακῶς, τα-
λαιπωρήσειεν τῷ ὕπνῳ·
σὺ οὖν ἢ καλῶς στρώσασθαι ἐαυ-
τῷ τὰ πράγματα θαρρεῖς ἀ-
γαπᾶν εἶναι ἐν τῷ βίῳ; καὶ
τί ποιήσομεν τὸν λέγοντα,
ὡς ἐφθασμένον τι μὲν τῶν δικαί-
ων καὶ τῶν ἁμαρτωλῶν· ἡ γὰρ ἐν-
ταῦθα ἡμῶν διαγωγὴ, μία ἐστὶ
καὶ διάφορον τὴν πολιτεί-
αν ἔχωμεν. οὐ δεῖ μισεῖν
Τοὺς ἐχθρούς· καὶ γὰρ ὁ κ(ύριο)ς, τῇ
οἰκείᾳ φωνῇ τοῦτο ἡμῖν προ-
σέταξε· φησὶ γάρ· μὴ μόνον
τοὺς ἀγαπῶντας ἀγαπᾶτε,
τοῦτο γάρ, καὶ οἱ ἁμαρτωλοὶ
καὶ οἱ τελῶναι ποιοῦσιν· δ-
δεῖται γὰρ τὸ καλὸν τέχνης
καὶ ἀγῶνος πρὸς θήραν· ἑαυ-
τῷ γὰρ ἐφέλκεται τοὺς ἀγαπῶν-
τας· τὸ δέ γε φαῦλον, τῆς
θείας διδασκαλίας χρήζει
πρὸς ἀπόλειψιν· καὶ κόπου
πολλοῦ· οὐ γὰρ ἀνθρώπων καὶ ἀ-
μειβομένων ἐστὶν ἡ βασιλεία·
ἀλλὰ βιαστῶν· ὥσπερ δὲ οὐ
δεῖ τοὺς ἐχθροὺς μισεῖν, οὕ-
τως οὐδὲ τοὺς ἀμαθεῖς καὶ ῥᾳ-
θύμους φλέγειν καὶ ἐκμυ-
κτηρίζειν· τίνος μὲν οὖν τὸ
γραφικὸν ἐκεῖνο ἑαυτοῖς
πεφρονοῦσι ῥητόν· ὥς μηδὲ
ὅσιον, ὅσιος ἔσῃ· καὶ μηδὲ
στρεβλοῦ διαστρέψεις· δια-
τοῦτο γὰρ φασὶν ἀποφαίνο-

μεν τοὺς ἁμαρτωλούς, πρὸς
τὸ μὴ παρ' αὐτῶν διαστραφῆ-
ναι ἀγνοίᾳ ψυχῆς· οἱ τοιοῦτοι
δὲ, τὰ ἐναντία τῶν γεγραμμέ-
νων πράττουσι· πρὸς τὸ τέλει-
ον γὰρ τὸ πνεῦμα τὸ ἅγιον, οὐ μετὰ
τῶν στρεβλῶν συνδιαστρε-
φῆναι, ἀλλὰ τῆς στρέβλας
αὐτοὺς ἐπανορθώσασθαι·
σὺ διαστρέψεις γάρ· τουτέ-
στι συνελκύσεις αὐτοὺς πρὸς
αὐτὴν ἐκ τῶν ἀριστερῶν· ἐ-
πὶ τὰ δεξιά· τριῶν γνωμῶν
ἰδέαι κατὰ τὸν τῶν ἀνθρώπων
βίον τυγχάνουσιν· ὧν ἡ μὲν
μία ἐστὶ τῆς ἀκροτάτης κα-
κίας· ἡ δὲ δευτέρα μέσον ο-
τινὸς καταστάσεως· ὥσπερ
γὰρ πρὸς τὰ ἀμφότερα σκοπεῖ
των ὅπου τί συμμετέχουσα·
ἡ δὲ τρίτη εἰς μέγα βάθος θεω-
ρίας ἐλθοῦσα· οὐ μόνον κα-
κίαν οὐ σφίγγει, ἀλλά γε καὶ
τοὺς ἠπατημένους πειρᾶται χει-
ραγωγεῖν· οἱ μὲν οὖν κακοὶ
τῶν ἀνθρώπων, τοῖς χείροσι μι-
γνύμενοι, ἔτι πλέον τῶν
δεινῶν ποιοῦνται τὴν αὔ-
ξησιν· οἱ δέ γε μέσοι, ἀπο-
φεύγειν τοὺς ἀκολάστους
πειρῶνται· αὐτὸ τοῦτο δε-
δοικότες, μὴ πάλιν ὑπ'
αὐτῶν καθελκυσθῶσι· νή-
πιοι γὰρ ἔτι ταῖς ἀρεταῖς
τυγχάνουσιν· οἱ δὲ τρίτοι

ἀνδρείαν τὴν γνώμην ἔχον-
τες. καὶ κραταιὸν τὸ φρόνημα,
συνδιάγουσι τοῖς φαύλοις·
καὶ συνδιαιτῶνται σῶσαι αὐ-
τοὺς βουλόμενοι. καὶ ἐξ αὐ-
τῶν διεμπίπτονται. καὶ γὰρ καὶ
οἱ δαίμονες, ἐπὶ πλέον αὐ-
τοὺς πορθοῦσιν, ὡς τῶν οἰ-
κείων ὀργάνων στερούμενοι·
καὶ ὑπὸ τῶν ἔξωθεν δέ, ὀνει-
δίζονται. καὶ ὑπὸ τῶν ὁρών-
των δέ, αὐτοὺς συνδιάγον-
τας τοῖς ἀμελεστέροις χλευά-
ζονται. καὶ γὰρ αὐτούς, ὡς ὁ-
μοίους αὐτῶν διαβάλλουσιν· οἱ
δέ, ὡς ἐπαίνους τοὺς παρὰ
τῶν ἀνθρώπων ψόγους δεχόμενοι,
ἀδεῶς τὸ θεῖον ἔργον ἐκτελοῦσι.
χαίρετε γάρ φησι καὶ ἀγαλλι-
ᾶσθε, ὅταν πᾶν ψεῦδος
καθ' ὑμῶν εἴπωσιν οἱ ἄνθρωποι.
ἀποστολικὴ τούτων ἡ πρᾶξις.
καὶ γὰρ καὶ ὁ κύριος μετὰ τῶν τελω-
νῶν ἤσθιε. μᾶλλον δὲ φιλά-
δελφος ἡ τούτων γνώμη, καὶ
ὑπερφίλαυτος. ὥσπερ γὰρ
Ἐν πολέμοις οἱ νικῶν ὁρῶντες
τοὺς ἁμαρτάνοντας, τῶν ἰ-
δίων καταφρονήσαντας, τὰ
ἀλλότρια καὶ ἀπολλύμενα
σώζειν διϊσχυρίζονται. καὶ πε-
ριφλεγόμενοι ἐκ τῶν καυστι-
κῶν ὕβρεων, ἀνέχονται. οἱ δὲ
γε μέσοι, ἐὰν ἴδωσι τὸν ἀδελ-
φὸν ὑπὸ τῆς ἁμαρτίας καιόμενον,

ἀποφεύγουσι. δεδοικότες,
μὴ καὶ αὐτοὺς τὸ πῦρ διανε-
μηθῇ. οἱ δέ γε τέλειοι, χα-
λεπῶν ἐπιτομῶν λόγον ὑ-
πέχοντες, τοὺς καιομένους
ἐπὶ πλέον ἐξαπλοῦσιν. ὕ-
λας αὐτοῖς πρὸς ἀπώλει-
αν τῶν οἰκείων κακιῶν προσ-
φέροντες. ὥσπερ γὰρ πυ-
σηρῶ διαβάλλοντι πλοίῳ,
ἀντὶ ὕδατος κεδρείῳ ἐπι-
βάλλουσιν. οἱ δέ γε ἐναντίοι
τούτοις ἀγαθοί, τὰ οἰκεῖα
κτήματα, δεύτερα ἔθεντο
τῆς ἐκείνων σωτηρίας.

Ταῦτα τῆς ἀληθινῆς ἀγάπης
τεκμήρια. οὗτοι τῆς εἰλι-
κρινοῦς ἀγάπης οἱ φύλακες.
ὥσπερ δὲ τὰ δεινά· ἐν τού-
τῳ ὅλος ἤρτηται. τῇ γὰρ φιλαρ-
γυρίᾳ, ἀκολουθεῖ φθόνος·
φόνος· δόλος· ἐπιορκία·
θυμός· μνησικακία, οὕ-
τω τὰ ἐναντία τούτων,
τῆς ἀγάπης ἀντέχεται· πρα-
ότης λέγω καὶ μακροθυμία.
καὶ ἀνεξικακία. καὶ τὸ τέ-
λειον ἀγαθὸν ἡ ἀκτημοσύνη·
οὐκ ἐνδέχεται γὰρ ταύτης
τῆς ἀρετῆς ἐφίεσθαι, εἰ
μὴ διὰ τῆς ἀκτημοσύνης.
οὐ γὰρ πρὸς ἕνα ἄνθρωπον ὁ θεὸς
τὴν ἀγάπην ἐνετείλατο, ἀλ-
λὰ πρὸς πάντας. οὐκοῦν, οὐ-
δέον ἔχοντας, περιαιρεῖν τὸν

τοὺς χρῄζοντας. ὑποκλέ-
πτεται γὰρ ἡ ἀγάπη. τῶν μὲν
οὖν παρ' οἷς οὐδὲ ἀρκεῖν, ἀδύ-
νατον ἀνθρώπων. θεοῦ δὲ τὸ ἔργον.
τί οὖν φημί· περὶ ἐλεημοσύ-
νης ἀγωνίζῃ· καὶ αὐτῆς οἱ προ-
φάσεις τοῦ κτήσασθαι γίνεται,
κοσμικοῖς τοῦτο προστέτα-
κται. οὐ γὰρ τοσοῦτον πρὸς
τὸ τραφῆναι τοὺς πτωχοὺς
προστέτακται ἡ ἐλεημοσύνη,
ὅσον διὰ τὴν ἀγάπην. ὁ γὰρ
τὸν πλούσιον διοικῶν θεὸς,
καὶ τὸν πένητα τρέφει. ἐπεὶ
εἰ τελείως οὖν προσετάγη ἡ ἐλε-
ημοσύνη; μὴ γένοιτο. ἀλλὰ
ἀρχὴ τῆς ἀγάπης τοῖς μὲν ἐ-
νδόσει γίνεται. ὥσπερ γὰρ
ὑπογραμμὸς ἦν ἡ περιτο-
μὴ τῆς ἀκροβυστίας. τῆς
περιτομῆς τῆς καρδίας,
οὕτως ἡ ἐλεημοσύνη, τῆς ἀγά-
πης ἐστὶ διδάσκαλος. οἷς οὖν
ἡ ἀγάπη ἐκχέεται εἰς δόξαν,
περιττὴ ἡ ἐλεημοσύνη. οὐ
διαβάλλουσα τὸ μὲν ἔλεον ταῦ-
τα λέγω, ἀλλὰ τῆς ἐλεημο-
σύνης τὸ καθαρὸν δεικνύου-
σα. μὴ γενέσθω οὖν κώλυμα
τὸ ἧττον τοῦ μείζονος. ἐν
ὀλίγῳ τὸ μικρὸν κατώρθω-
σας; πάντα γὰρ ἀφεὶς δέδω-
κας; πρὸς τὸ μεῖζον τὸ λοιπὸν
ἀνάμασσον τὴν ἀγάπην. σταυ-
ροφόρος γὰρ τυγχάνεις. οὐ τ(ὴν)

ἐλευθέραν φωνὴν ὀφείλεις
εἰπεῖν· τό, ἰδοὺ ἡμεῖς ἀφή-
καμεν πάντα καὶ ἠκολουθή-
σαμέν σοι. οὐ τὴν εὐπαρρησί-
αστον γλῶσσαν τῶν ἀποστόλων
μιμήσασθαι κατηξιώθης. φη-
σὶ γὰρ πέτρος καὶ ἰωάννης·
ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρ-
χει μοι. δι' ἧς πλὴν μὲν ἡ γλῶσσα,
ἀλλ' ἅμα ὁ τρόπος ἡ πίστις.
καὶ σὺ τοῖς κοσμικοῖς δὲ, μὴ
ἁπλῶς ἀδιακρίτως, τὰ τῆς
ἐλεημοσύνης γνώσθω. φησὶ
γάρ· ἔλαιον ἁμαρτωλοῦ μὴ λι-
πανάτω τὴν κεφαλήν μου.
προσῆκεν οὖν τὸν ἐλεοῦντα
ἀβρααμιαῖον ἔχειν τὸ φρόνη-
μα. καὶ ὡς ἐκεῖνος δικαίως
πράττειν. φιλοξενῶν γὰρ ὁ
δίκαιος, μετὰ τῆς ἑστίας καὶ
τὴν γνώμην παρέθηκεν. ἐσθί-
ειν γάρ φησιν ὑπηρετῶν. μὴ βου-
ληθεὶς τοὺς οἰκέτας, συμμε-
ριστὰς τοῦ κέρδους γενέσθαι.
ἀληθῶς οἱ τοιοῦτοι μαθόντες τῆς
ἐλεημοσύνης ἐξουσίαν. ὁ γὰρ
κ(ύριο)ς δημιουργήσας τὴν οἰκου-
μένην, διὰ πλήθη ἐν ταύτῃ
τῶν οἰκητόρων ἔθετο τὴν τά-
ξιν. τοῖς μὲν γὰρ σεμνῶς βι-
οῦσι, διὰ τὴν παιδοποιίαν
τὸν γάμον προσέταξε. τοῖς
δὲ διὰ καθαρότητα βίου, τὴν
ἁγνείαν παρέδωκεν· ἰσαγγέ-
λους αὐτοὺς ποιῶν. καὶ τοὺς

μένη. μόνος καὶ ἐκδικίας καὶ
διαδοχαλίας παρέδωκε. τοῖς
τοῖς δέ φησιν· ἐμοὶ ἐκδίκησις,
ἐγὼ ἀνταποδώσω. ἐκεῖ φησὶν
ἐργάζεσθαι τὴν γῆν· καὶ ὧδε μὴ
μεριμνήσητε περὶ τῆς αὔριον
κελεύει. ἐκείνοις μόνον ἔδω
κεν. ἡμῖν μὲν διαλέγεται τοσ
αὐτοῦ τὰ ἐν τῷ λαῷ ἀγῶν
εἴσω· τὲ ἡ μὲν ἐστὶ τὸ τρό
παιον τῆς νίκης. τὸ γὰρ
ἐπάγγελμα ἡμῶν, οὐδὲν ἄλ
λο ἐστὶν, εἰ μὴ ἀποταγὴ βί
ου, καὶ μελέτη θανάτου. ὥσ

Περ οὖν οἱ νεκροὶ, οὐκ ἐνεργοῦ
σι τῷ σώματι, οὕτω καὶ ἡμεῖς.
ὅσα γὰρ ἦν δι' αὐτοῦ ἐπιτε
λέσαι, πεποιήκαμεν ὅτε
ἦμεν νήπιοι. φησὶ γὰρ ὁ ἀ
πόστολος· ὡς ἐμοὶ κόσμος
ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.
τῇ ψυχῇ ζῶμεν· αὐτῇ τὰς ἀ
ρετὰς ἐπιδειξώμεθα κα
τὰ διάνοιαν ἐλεήσωμεν
μᾶλλον· οἱ γὰρ οἱ ἐλεήμονες
τῇ ψυχῇ. ὥσπερ γὰρ ἐκεῖ λέ
γει, ὅτι ὁ ἐπιθυμήσας κάλ
λους καὶ δίχα τῆς πράξεως
ἀμάρτυρον τὴν ἁμαρτίαν
εἰργάσατο, οὕτως ἐνταῦθα
ὁ ἐλεήμων ζώνη, ἔρρωται τῆς
γνώμης τὴν πρᾶξιν τελούσης,
κἂν τὸ ἀργύριον ἀπεστί· τιμί
ζονι ἀξία τετιμήμεθα. ὥσπερ

Γὰρ οἱ κατὰ τὸν τόπον δεσπό

ται διαφόροις οἰκετῶν ὑπη
ρεσίας κέκτηνται. καὶ τοὺς
μὲν γὰρ τοῖς χωρίοις ἐκπέμπου
σι πλεῖστον, τὰς γεωργίας ἐργάζεσ
θαι καὶ τὴν τοῦ γένους διαδο
χὴν φυλάττειν. τοὺς δὲ ἐξ αὐ
τῶν γεννωμένους, ἐὰν ἐπι
εικεῖς καὶ περικαλλεῖς φανῶ
σιν, τοῖς ἐν τοῖς οἰκείοις οἴ
κοις μεθιστῶσι πρὸς τὴν ἑαυ
τῶν ὑπηρεσίαν, οὕτω καὶ
ὁ κύριος. τοὺς μὲν τὸν σεμνὸν γά
μον ἑλομένους, ἐν τῷ τοῦ
κόσμου χωρίῳ ἔθετο. τοὺς
δὲ τούτων βελτίωνας, ὅσοι
μᾶλλον τύχης καὶ ἀγαθῆς
προαιρέσεως, ἑαυτῷ πα
ρέστησεν εἰς λειτουργίαν.
οὗτοι πάντων τῶν γινομένων
τυγχάνουσιν ἀλλότριοι. τῆς
γὰρ δεσποτικῆς τραπέζης
ἠξίωνται. οὐ μὴν δὲ μὴν ὡς
περὶ ἀμφιβόλου σεως. χῦν δὲ
δίδωται. τῶν οὖν ἀμφοτέ
ρων τῶν ταγμάτων, εἷς ἐστὶ δε
σπότης, ὁ χριστός. ὥσπερ γὰρ ἐκ

Τοῦ αὐτοῦ σίτου ἐστὶ καὶ τὸ ἄχυ
ρον καὶ τὸ σπέρμα, οὕτως
ἐκ τοῦ θεοῦ εἰσι καὶ οἱ κατὰ
τὸν κόσμον καλῶς βιοῦντες,
καὶ οἱ τὸν μονήρη βίον ἐπανη
ρημένοι. ὁ γοῦν τῶν ἀμφο
τέρων χρεία ἐστί. τῶν μὲν
φύλλων, πρὸς φυλακὴν καὶ
χρείαν τοῦ σπέρματος. ὅθεν

καρπούς, ἀναγκαία ἡ ζήτησις.
γίνεσθαι γὰρ τοῦ παντὸς τῷ
χρόνῳ. ὥσπερ γὰρ οὐκ ἐγχω-
ρεῖ κατὰ ταὐτὸ καὶ βοτάνην
εἶναι καὶ σπέρμα, οὕτως ἀ-
δύνατον ἡμῖν τῆς κοσμικῆς
δόξης περικειμένης, καρπὸν
ὅσιον ποιῆσαι. τῶν δὲ φύλ-
λων ἀπορρεόντων καὶ τῆς
καλάμης ξηρανθείσης, ἐ-
πιτήδειος πρὸς θεῖον σπόρον
ὁ ἀγρός ἐστι. καὶ ἡμεῖς οὖν ἀ-
Ποβαλοῦσαι τὴν ἐκ γῆς φαντα-
σίαν, ἀντὶ τῶν φύλλων. δεῖ
ξηράνασαι ἑαυτῶν τὸ σῶμα,
ὡς τὴν καλάμην. ὑψώσα-
σαί τε ἑαυτῶν τὸν λογισμόν,
δυνησόμεθα σπέρματα θεῖα
γεννῆσαι. ἐπικίνδυνον
τὸ μὴ διὰ τοῦ πρακτικοῦ
βίου ἀρχθέντα διδάσκειν
ἐπιχειρεῖν. ὥσπερ γὰρ ἄν,
εἴ τις οἰκίαν ἔχων σαθρὰν
ξένους ὑποδεξάμενος βλά-
ψει τῇ πτώσει τοῦ οἰκήμα-
τος, οὕτω καὶ οὗτοι· μὴ πρό-
τερον ἑαυτοὺς ἀσφαλῶς
οἰκοδομήσαντες, καὶ τοὺς προ-
σελθόντας σὺν ἑαυτοῖς ἀπώ-
λεσαν. τοῖς μὲν γὰρ λόγοις,
προυκαλέσαντο εἰς σωτη-
ρίαν· τῇ δὲ τοῦ τρόπου κα-
κίᾳ, τοὺς ἀθλητὰς μᾶλλον
ἠδίκησαν. ἡ γὰρ ψιλὴ τῶν
Λόγων ἔκθεσις, ἔοικε γραφαῖς

διὰ χρωμάτων τῶν εὐαποπλύτων
συσταθείσαις. αὐτίκα μὲν μικρο-
τάτος χρόνος διέλυσεν, ἀνέ-
μων ῥιπαῖς καὶ ὑετῶν στα-
γόσι. τὴν δὲ ἔμπρακτον δι-
δασκαλίαν, οὐδὲ ὁ πᾶς αἰ-
ὼν διαλῦσαι δυνηθείη. τὸ
γὰρ στερεὰ τῆς ψυχῆς ἐκκε-
λαπτωμένα ὁ λόγος, αἰώνιον
ἄγαλμα τῆς ψυχῆς δωρεῖται.
δέον οὖν καὶ ἡμᾶς, μὴ ἐπι-
πόλαιον τῆς ψυχῆς ποιεῖσθαι
τὴν θεραπείαν, ἀλλ᾽ ὅλην αὐ-
τὴν διόλου κοσμεῖν. καὶ τὰ
στα τοῦ βάθους μὴ ἀμελοῦντας.
Τειχῶς ἐποιησάμεθα τὴν ἀ-
φαίρεσιν; συναφέλωμεν
αὐταῖς καὶ τοὺς ἐν τῇ κεφα-
λῇ σκώλοπας. κινδυνεύουσι
γὰρ οὗτοι ἐπὶ πλέον ἡμᾶς
ὀδυνῶσι. τὸ μὲν γὰρ ἔξωθεν
ἡμῶν ἦν, ὁ κατὰ τὸν βίον κό-
σμος· τιμαί· δόξαι· χρήμα-
των κτήσεις· λαμπραὶ ἐσθῆ-
τος στολαί· λουτρῶν χρήσεις·
βρωμάτων ἀπολαύσεις. ταῦ-
τα ἐδόξαμεν ἀποβάλλειν
ἀλλὰ τοὺς ψυχοφθόρους σκώ-
λοπας μᾶλλον ἐξώσωμεν.
τίνες δὲ εἰσὶν οὗτοι; κατα-
λαλιά· ἐπιορκία· φιλαρ-
γυρία. ἔοικε κεφαλῇ ἡμῶν
ἐστὶν ἡ ψυχή, καὶ ἕως μὲν ἐν
ταῖς ὕλαις τῶν κοσμικῶν
πραγμάτων ἀνέκειτο τὰ

θηκεία, ἐδόκουν λανθάνειν ἡ-
μᾶς δὲ γυμνωθέντα πᾶσιν
ἐστὶν ἐκεῖ δῆλα· διὰ τοῦτο ὑπο-
θέμενος· ἢ τῶν μοναχῶν ἔκδηλα
τυγχάνει καὶ τὰ ἀτελέστερα
ἁμαρτήματα. ὥσπερ γὰρ
ἐν καθαρῷ οἰκήματι, καθαρὸν
πᾶσι γίνεται τὸ ὀφθὲν θολ-
εῖον κἂν βραχύτατον ὑπάρ-
χῃ. ἐν δὲ τοῖς κοσμικοῖς,
ὥσπερ ἐν ἀκαθάρτοις σπηλαί-
οις ἐμφωλεύοντα τὰ μέγιστα
τῶν ἰοβόλων, λανθάνει
ὑπὸ τῆς συνεχοῦς ὕλης καλυ-
πτόμενα. δέον ἐφ' ἡμῖν δι-
ηνεκῶς καθαίρειν τὸν οἶκον·
καὶ περιβλέπεσθαι μή τι
τῶν ψυχοφθόρων ζώων φω-
λεῦον παρεισδύῃ, ἐν τοῖς τῆς
ψυχῆς ταμιείοις. καὶ θυ-
μιᾶν δὲ τοῖς τόποις τῷ θείῳ
θυμιάματι τῆς προσευχῆς.
ὥσπερ γὰρ τὰ ἰοβόλα ζῷα
τὰ δεινὰ μετὰ τῶν φαρμα-
κῶν ἀπελαύνει, οὕτω λο-
γισμὸν ῥυπαρὸν ἀρχὴ μετά
νηστείας διώκει. ἓν δὲ τῶν
ψυχοφθόρων συνηθειῶν,
καὶ τὸ ὑποσυρῆναι ὑπὸ τῶν
λεγόντων εἶναι εἱμαρμένην.
ἥνπερ καὶ γένεσιν καλοῦσι·
κοινότερον γάρ ἐστι καὶ τοῦτο τοῦ
διαβόλου δεινότατον. καὶ
ταῖς μὲν σπουδαίαις ψυχαῖς,
πολλάκις κατὰ μόνας μόνον

φαντασίαν ἄλλοις μὲν κινῆν, κινῆσαι
ἀφίπταται. τῶν δὲ ἀμελεστέ-
ρων ἀνθρώπων, καὶ διασώζει. οὐ-
δεὶς γὰρ τῶν κατὰ γῆν βιούν-
των, φυγεῖν ἢ καταδέχεται
τὸ φρενοβλαβὲς καὶ μάται-
ον τοῦτο μάθημα. ὅτι γὰρ ἀρ-
χὴν οὗτοι τιθένται, πάντων
τῶν γενομένων καὶ γινομένων
ἀγαθῶν. καὶ δευτέραν τὴν
οἰκείαν γνώμην ἡγεμόνα
καὶ κρεῖττω τὴν προαίρεσιν, ἀρε-
τῆς καὶ κακίας. ὅσοι δὲ ἐξ ἀ-
μελείας ἢ ἐκ ῥᾳθυμίας,
τὰ ἐξ ἀβουλίας πεπτώκασιν,
εὐθὺς ἐκείνῳ τῷ δαίμονι προσ-
έρχονται. ὥσπερ γὰρ παῖδες
λειποτακτοῦντες καὶ μὴ φέ-
ροντες τὴν τῶν γονέων ὠφέλει-
αν καὶ παιδείαν. ἀποφυγόν-
τες τούτους ἐρήμοις κατατολμῶ-
σι βαδίζουσι τόποις. καὶ ἀγρίοις
καὶ βαρβάροις δεσπόταις δου-
λεύουσιν, οὕτω καὶ οὗτοι
ποιοῦσιν. αἰδούμενοι γὰρ τὴν
οἰκείαν γνώμην αἰτιᾶσθαι
μὲν τῶν παρ' αὐτῶν πεπραγμέ-
νων, συκοφαντοῦσι τὰ μὴ
ὑπάρχοντα. εἱμαρμένην καὶ τοῦ
θείου αὐτοῖς ἀπονεμομένοις
ἐκ τῆς γενέσεως ἑαυτοῖς
φάσκουσι τά, καθ' ἣν δῆθεν προσ-
γίνεσθαι. πορνεύοντες γὰρ
καὶ κλέπτοντες. φιλαργυρεῖ-
αν νοσοῦντες. καὶ δολοφο-

ζωὴν ἡγούμενοι, τὰς σφῶν
αὐτῶν πράξεις, ἐξέκλιναν
ἀπὸ τῆς ἀληθείας. τὸ γὰρ τέ-
λος αὐτῶν τοῦ σκοποῦ, ἡ ὀλο-
θροφθόρος αὐτοῖς ἀπόγνω-
σις. ἀνάγκη γὰρ ἐκ τούτων τῶν
λογισμῶν, ἀναιρεῖσθαι παρ᾽
αὐτοῖς τὸν θεόν. καὶ πῶς σού τι-
τῳ κεῖσιν. φασὶ γάρ. ὡς εἰ
οὕτω κέκειται ἡμᾶς πορνε-
ύειν καὶ πλεονεκτεῖν, ποιεῖ-
τιν ἡ κείσις. πῶς δὲ καὶ τὸ
θεῖον παρ᾽ αὐτοῖς ἐκβάλλεται
ἀκουστέον. φήσουσι γὰρ αὐτό,
ἢ πρῶτον. ἢ δεύτερον. ἢ ἀεὶ συ-
νὼν τῇ αὐτοῦ ἀγαθότητι. εἰ
μὲν οὖν πρωτεύειν εἴπωσι τὸν
θεόν, ἀναγκαίως ἀκολουθήσει, πάν-
τα διὰ αὐτοῦ γεγενῆσθαι. καὶ
γὰρ αὐτὸς ἐν πᾶσιν. οὐκοῦν αὐ-
τὸς τῇ εἱμαρμένῃ κύριος. εἰ δὲ
πλεονέκτης. ἢ πορνοκόπος
ἐκ τῆς γενέσεως, τὸν θεὸν αἴ-
τιον τῆς κακίας ὑπάρχειν. ὅ-
περ ἄτοπον. εἰ δὲ δεύτερον
αὐτὸ φήσουσιν, εἰ καὶ αὐτό,
ὑπόδουλον γενέσθαι τῷ πρώ-
τῳ. καὶ ὅπερ βούλεται τὸ ἡ-
γούμενον, τοῦτο ἀναγκαίως
ἀκολουθήσει καὶ τὸ ἑπόμε-
νον. καὶ πάλιν τῶν κακῶν
παρ᾽ αὐτοῖς αἴτιος ὁ θεός. ὅπερ
ἀθέμιτον. εἰ δὲ καὶ ζῷα τι-
να αὐτὰ θελήσουσιν εἶναι,
πάντως μάχην πρὸς ἑαυτὰ κινή-

σουσιν ἐναντίας ἔχοντα φύσεις.
ἐκ τούτων οὖν τῶν λογισμῶν
ὡς ἐν κεφαλαίῳ, ἀνῄρηται
αὐτῶν ἡ ματαία ὑπόνοια.
περὶ τούτων εἴρηκεν ἡ γραφή.
εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ
οὐκ ἔστι θεός. καὶ ὅτι εἰς τὸ ὕ-
ψος ἐλάλησαν βλασφημί-
αν. περιφαντάζονται δὲ οἱ τοι-
οῦτοι, καὶ προφάσεις ἐν ἁμαρ-
τίαις. ἀνακτειάζουσι γὰρ
τὰς γραφὰς τῷ φλυαρῶ τῶν περὶ.
ἐξ αὐτῶν τῶν κακοφροσυνῶν
ἑαυτῶν πληροφορεῖν βουλό-
μενοι. καὶ πρῶτον ἐκ τοῦ εὐα-
γγελίου ἀρχόμενοι, τὸν ἑαυ-
τῶν ἰὸν ἐξεμεῖν πειρῶνται.
φησὶ γάρ. τοῦ Ἰησοῦ ἡ γέννησις,
οὕτως ἦν. γέννησιν αὐτοῦ, τὴν
γένεσιν ἡ θεία γραφὴ μετω-
νόμασεν. ἔτι γε μὴν καὶ τὸ
πρὸς ἄλλους αὐτοὺς κοινομικῶς
γενέσθαι, ἀκολούθως γέν-
νησις ὠνόμασται. εἰ δὲ καὶ
περὶ τοῦ ἀστέρος τι λευ συλ-
λογήσουσι, κἀκεῖ πάλιν τῆς
ἐνδόξου αὐτοῦ παρουσίας μαν-
θανέτωσαν. εἷς ἀστὴρ ἡ μὲν
φωτεινότατος, κῆρυξ γέγονε
τῆς ἀληθείας. ἡ δὲ ἐκείνων
ματαία γνώμη, πολλοὺς πλά-
νησεν εἰς θήραν ἀπίμης γενέ-
σεως. καὶ ἐκ τούτου δὲ ἐλέγχεται,
ὥσπερ πολλοῦ αὐτῇ κεῖται ἑαυτῇ
ἡ κακία. καὶ τὸν ἡσαΐαν δὲ

εἰς μαρτυρίαν τῆς ἑαυτῶν ἀνοί-
ας καλοῦσι. φάσκουσι γὰρ αὐτὸν
εἰρηκέναι, κύριος ποιῶν εἰρήνην
καὶ κτίζων κακά. ἡ μὲν οὖν εἰ-
ρήνη παρὰ πᾶσιν ὁμολογεῖται,
ὡς θεοῦ ἔργον τυγχάνει. ἡ δὲ
κακία, παρ᾽ αὐτοῖς μὲν ὡς
ἀληθῶς πολιτεύεται κακία
ψυχῆς ὑπάρχουσα. παρὰ δὲ
ἡμῖν ἡ ἐκ θεοῦ γεννηθεῖσα κακί-
α, ὠφελιμωτάτη ἐστί. πρὸς
γὰρ σωτηρίαν ψυχῆς καὶ παι-
δείαν σώματος, γίνονται λιμοὶ
καὶ ἀνομβρίαι. νόσοι τε καὶ
πενίαι. καὶ ἄλλαι τινὲς περι-
στάσεις. τὸ γὰρ σωτηρίας ἀφορμὰ
καὶ ἐκεῖνοι, κακίαν ψυχῆς
καὶ κακὰ ἀληθῶς ὑπενόησαν.
ταῦτα δὲ πρὸς ἐπιστροφὴν ἡ-
μῖν παρὰ τοῦ κεστῆνος ἐπι-
φέρεται. τίς γάρ ἐστιν υἱὸς,
ὃν οὐ παιδεύει πατήρ. ἐπεὶ δὲ
Καὶ τὸ οὐκ ἐν ἀνθρώπῳ αἱ ὁδοὶ αὐτοῦ,
πάλιν ὁμοίως προσφέρουσιν
εἰς τὴν οἰκείαν καταστροφήν.
ὁδοὺς γὰρ μὴ ἔχοντας, ὁδοὺς
δὲ ἐξιχνιάσαι βούλονται. ὁδὸν
οὐκ ἔχει, πλεονεξία, ἀσελ-
γία. πορνεία. ἀνυπόστα-
τα γὰρ καθ᾽ ἑαυτὰ μὴ ὄντα.
ταύτας οὖν ὁδοὺς ἐκεῖνοι ὡ-
ήθησαν εἶναι. ὁδοὺς δὲ κυρίως
ἡ γραφὴ λέγει, τὰς κοινὰς
πᾶσι τήν τε ζωὴν καὶ τὸν θά-
νατον. ἀληθῶς γὰρ πορεῖαι

εἰσὶ τῆς τε ἐνταῦθα εἰσαγω-
γῆς, καὶ τῆς ἐκ τῶν αἰσθητῶν
τούτων μεταστάσεως. πάντα
οὖν ποιοῦσιν οἱ κακοδαίμονες,
ὥστε τοῦ αὐτεξουσίου ἑαυτοὺς
ἀπώσασθαι. καὶ ταύτην σπου-
δὴν τίθενται τὸ ἀντικαταλλά-
ξαι τῆς ἐλευθερίας τὴν δουλεί-
αν. καὶ γὰρ τοῦτο τῆς κακίας
ἔργον. τοῖς χείροσιν ἑαυτὴν συ-
γκαθέλκειν. ἑαυτῶν γὰρ γίνον-
ται μάρτυρες, ὥστε τῇ κακίᾳ
ἑαυτοὺς πεπρακότες. καὶ
τοῦτο ἦν τοῦ διαβόλου ἀπατη-
λοῦ τὸ τέχνασμα. τὰς γὰρ ἀμε-
λεῖς ψυχὰς διὰ τῆς κακοδο-
ξίας, κατακεκυφυίας προ-
σκαλίζει. μὴ συγχωρῶν αὐταῖς
ἀνανῆψαι, πρὸς ἐπίγνωσιν
τῆς ἀληθείας. ὥσπερ γὰρ ναῦς
πηδαλίων πλέουσα δίχα
χειμάζεται, οὕτω καὶ τούτοις
πάντοθεν ὁ κίνδυνος ἐπιπί-
πτει. οὐδὲ γὰρ πρὸς τὸν σωτή-
ριον λιμένα ὁρμίσασθαι δύναν-
ται. τὸν κυβερνήτην κα-
ταλιπόντες. καὶ τὰς μὲν ἐκ-
συνημμένας αὐτῶν ψυχὰς, ὁ
ἐχθρὸς οὕτω πλανᾷ. πολλά-
κις δὲ καὶ τὰς σπουδαίας
παρυφίζανει διὰ τούτων.
τὸν ἀγαθὸν αὐτῶν δρόμον ἐκ-
κόψαι βουλόμενος. κατ᾽ ἐννοί-
αν γὰρ ἐμβάλλει, ὡς καὶ τὸ
δεῖ πράττειν καὶ τὸ μὴ οὕτω.

παρὰ τῆς κινήσεως τῶν ἄστρων
γίνεσθαι· τοῦτον δὲ τὸν λογισμὸν
ὁ ἐναντίος προσάγει. τοῖς ἐκ
σοφίας κοσμικοῖς, ἐπὶ τὸ με-
μηρη τραπεῖσι βίον· φρονί-
μως γὰρ τοῖς κακοῖς ὑπάρχων
ὁ διάβολος, πρὸς τὰς φύσεις
τῶν ἄλλων, τὰς παγίδας ὑποτί-
θησι· τοὺς μὲν γὰρ διὰ τῆς ἀπο-
γνώσεως ἐλλοχᾷ· τινὰς δὲ διὰ
τῆς κενοδοξίας καθέλκει· ἑτέ-
ρους διὰ τῆς φιλοχρηματίας κατορύττει· καὶ ὡς ἐπι-
θανατηφόρος ἰατρὸς, προσά-
γει τοῖς ἄλλοις τὰ δηλητήρια.
καὶ τοὺς μὲν, διὰ τοῦ ἥπατος
ἀναιρεῖ· προσάγων αὐτῷ τὸ τῆς
ἐπιθυμίας τοξικὸν φάρμακον·
ἄλλους δὲ καρδιότρωτον ποιεῖ·
τοῦ θυμοῦ αὐτοῦ, πρὸς ὀργὴν
ἐξάπτων· τινῶν δὲ καὶ τὴν
ἡγεμονικὴν ἀμβλύνων δύνα-
μιν· ἢ ἀγνοίᾳ τούτους περιβάλ-
λων· ἢ διὰ περιεργίας στρεβλῶν·
τινὰς γοῦν, ἐκζητήσεων παρέ-
τρεψεν οὐκ ὀρθῶν. περὶ γὰρ θεοῦ
Καὶ τῆς αὐτοῦ οὐσίας διαλαβεῖν
ἐθελήσαντας, ηὐθάδησαν·
τοῦ γὰρ πρακτικοῦ βίου ἀκο-
λούθως μὴ ἐνισχήσαντες,
πρὸς θεωρίαν ὥρμησαν· ὡς
ἰλιγγιάσαντες, πεπτώκασι·
τοῦ γὰρ πρώτου ὡς πρὸς τὴν
τάξιν μὴ ἐπιλαβόμενοι, οὐ τοῦ
δευτέρου ἠστόχησαν· ὥσπερ
οἱ τὸ ἄλφα στοιχεῖον ἐκμανθάνον-
τες, πρῶτον αὐτοῦ τὸ σχῆμα
ὁρῶσι· καὶ δεύτερον τὸ ὄνομα
διδάσκονται· καὶ οὕτω τὸν
ἀριθμὸν μανθάνουσι, καὶ τε-
λευταῖον τοὺς τόνους παρα-
λαμβάνουσιν. εἰ οὖν ἐπὶ τοῦ
πρώτου στοιχείου τοσαύτης
χρεία τριβῆς καὶ τέχνης,
πόσῳ μᾶλλον ἐπὶ τοῦ δημιουρ-
γοῦ, ὀφείλει πόνος καὶ χρό-
νος προηγεῖσθαι εἰς τὴν τοῦ
ζητουμένου θεωρίαν τῆς
ἀνεκφράστου δόξης. ἀλλὰ
Ἤ τις σανελάτω πρὸς κατά-
ληψιν τῶν θείων, ἐκ τῶν
ἔξωθεν μαθημάτων ὁρμώ-
μενος· φρεναπατᾶται γὰρ ἑ-
αυτὸν ὁ τοιοῦτος ὑπὸ τοῦ δαί-
μονος φανταζόμενος· φησὶ
γὰρ ὁ ὑμνῳδός· ἐκ στόματος
νηπίων καὶ θηλαζόντων
κατηρτίσω αἶνον· καὶ ὁ κ(ύριο)ς
δὲ τῇ ἑαυτοῦ φωνῇ τῶν ἀ-
γίων εἶπεν· ἄφετε τὰ παι-
δία ἐλθεῖν πρός με· καὶ ἀλλα-
χοῦ φησίν· ἐὰν μὴ γένησθε
ὡς τὰ παιδία· ἐπαιδεύ-
θης διὰ τὸν κόσμον, μωρὸς
γενοῦ διὰ τὸν κ(ύριο)ν· ἔκκοψον
τὰ παλαιὰ, ἵνα νέα φυτεύ-
σῃς· τοὺς ἐχθροὺς θεμελίους
κάθελε, ἵνα τὴν ἀδαμάντι-
νον τοῦ κ(υρίο)υ βάσιν ὑποστή-
σῃς· ἵνα καὶ σὺ ὡς ὁ ἀπόστολος,

ἐπὶ τὴν στερεὰν πέτραν οἰκο-
δομηθῆς. οὐ δεῖ οὖν φιλόμεμ-
πον εἶναι διὰ τὴν λογοποιΐαν.
μὴ πολλὰ ἀδολεσχήσῃς περὶ ταύ-
την. καὶ γὰρ διὰ τῆς ἀκαίρου
φλυαρίας, δελεάζεταί σε λαλεῖν
ὁ διάβολος. πολλὰς ἔχει παγί-
δας. δεινὸς γάρ ἐστι θηρευτής.
καὶ τοῖς μὲν βραχυτέροις στρου-
θίοις, μικρὰ τίθησι σκάνδα-
λα. τοῖς δὲ μείζοσιν ὀρνέ-
οις, ἰσχυροὺς ἀτρεπαίζει τοὺς
βρόχους. βαρὺς καὶ θανατη-
φόρος ὁ στιβρόχος, τὸ πιστεύειν
εἰς γενεσῖν. φαντὸς ὅπως
τούτους λογισμούς. ἀλλὰ πείθου
σὺ διὰ πραγμάτων καὶ πεί-
ρας γνώσεως. στοχαστικὸς ὁ τρό-
πος. ἀβέβαιος ἡ γνώμη. οὐδὲ
γὰρ ἀναγκαίως ἀκολουθεῖ τὰ
περὶ αὐτῶν λεγόμενα. ὥσπερ
γὰρ τοῖς ἰδιώταις καὶ τοῖς ναυ-
τίλοις, ἐκ τῆς μεφῶνι ἰδιο-
τητος, ἐστί τις ἀμυδρὰ γνῶ-
σις. καὶ γοῦν τινὰ καὶ αὐτοὶ
στοχαστικῶς λέγουσιν, ὡς ἀλ-
ηργαστεῖ μῦθοι. καὶ τοῦ τὸ δὲ πολ-
λὸν αὐτῶν διασκεδάσαι δυ-
νηθείη, τὴν φαύλην διαμοι-
ρῶν. εἰ γὰρ ἐκ δαιμόνων ἀλ-
στοχασθῇ καὶ αὐταὶ ψευδολογί-
αι συνέστησαν, ματαία τῶν
ψηφιζόντων ἡ τέχνη. εἰ δὲ
ἐπὶ πλέον περὶ αὐτῶν ἐνδια-
λεχθῇ δικαιολογούμενος ὁ
ἐχθρός, ἐκ τούτου αὐτὸν
ψευδῆ ἐλέγξεις. ἐκ τοῦ ἄλλο-
τε ἄλλοις λογισμοῖς τὴν ψυ-
χὴν πολεμεῖν. τὸ γὰρ ἄστα-
τον, ἀβέβαιον. τὸ δὲ ἀβέ-
βαιον ἀπωλείας ἐγγύς. οὐ
γὰρ τῇ πρώτῃ αὐτοῦ κακίᾳ
ἐπαρκεῖται ὁ διάβολος, ἀλλὰ
καὶ αὐτὸ ματαιοσύνην ὑποβάλ-
λει τῇ ψυχῇ. ταῦτα δὲ ἡμῖν.
Πάντα ὑποβάλλει, πρὸς τὸ ἀπώ-
λεια τῇ ψυχῇ διαφθαρῆναι.
ἀλλὰ προσγινομένων τῶν
σκιωδῶν τούτων φαντασμά-
των, μὴ ὡς ἀληθέσιν αὐτοῖς
συνθώμεθα. ταῦτα γὰρ ἑαυ-
τῶν τὴν κακίαν δεικνύουσιν
ἄλλοτε ἀλλοίως περιερχόμε-
ναι καὶ ὑπὲρ τὸ ὀφθαλμοῦ
ἀφιστάμενα. καὶ γοῦν οἱ δια-
τινὰ δοῦλον θεοῦ κατὰ γὰρ ἐ-
βιώσατο. ὅστις καθεζό-
μενος ἐν τῷ κελλίῳ, παρε-
τήρει τῶν λογισμῶν τὰς
παρεισαγωγάς. καὶ ἐμέ-
τρει ποῖος πρῶτος. ποῖ-
ος δεύτερος. καὶ ἕκαστος
αὐτῶν, πόσον χρόνον
κατεῖχε. καὶ εἰ ὑστέρησαν
κἂν προέφθασε τῆς πα-
ρελθούσης ἡμέρας. ὥ-
στε ὡς ἀκριβῶς ἠπίστα-
το. τήν τε τοῦ θεοῦ χάριν
καὶ τὴν οἰκείαν καρτερί-
αν τε καὶ διαίρεσιν. εἰ γὰρ

μὴ καὶ τὴν τοῦ ἐχθροῦ καθαιρεθεῖσιν. διὸ δὴ τοίνυν καὶ ἡμᾶς τούτοις τοῖς κανόσιν ἀποδεξαμένους φυλάττειν. ἅπερ γὰρ οἱ ἔμποροι

Πρὸς καιροὺς πραγματείας, καθεκάστην ἡμέραν ἀναζητοῦσι τοσοῦτα κέρδη· καὶ ἀσμένως μὲν τὰ πλειόνα ὑποδέχονται· πρὸς δὲ τὰς ζημίας ἀπεχθάνονται, πολὺ πλέον ἀγρυπνεῖν προσήκε τοὺς τὸν ἀληθινὸν μόνον θησαυρὸν ἐμπορευομένους· καὶ τῶν μὲν πλειόνων ἀγαθῶν ἐφίεσθαι· εἰ δὲ καὶ μικρὰ κλοπή τις ὑπὸ τοῦ ἐχθροῦ γένηται, βαρέως μὲν φέρειν διὰ τὸ κείμεσθαι· οὐ μὴν ἀπογινώσκειν ἑαυτῶν, καὶ πάντα ῥίπτειν διὰ τὸ ἀκούσιον πταῖσμα. ἔχεις τὰ ἐνενήκοντα ἐννέα πρόβατα; ζήτει τὸ ἀπολωλός. μὴ παθῃς διὰ τὸ ἕν· μηδ᾽ ἀποφύγῃς τὸν δεσπότην. ἵνα μὴ ὁ αἱμοβόρος διάβολος, πᾶσαν σου τὴν ἀγέλην τῶν πράξεων, αἰχμαλωτίσας ἀπολέσῃ. μὴ ἀπολείπου τὰ κτήσεως διὰ τὸ ἕν. ἀγαθός ἐστιν ὁ δεσπότης. φησὶ γὰρ διὰ τοῦ ψαλμῳδοῦ. ὅταν πέσῃ, οὐ καταραχθήσεται. ὅτι κύριος στηρίζει χεῖρα αὐτοῦ.

ὅσα γὰρ ἐὰν πράξωμεν ἢ κερδάνωμεν, ταῦτα μικρὰ νῦν ἡγησόμεθα ὡς πρὸς τὸν μέλλοντα πλοῦτον. νῦν γὰρ ταύτῃ τῇ γῇ ὥς ἐν μητρῴᾳ δευτέρᾳ κοιλίᾳ τυγχάνομεν. ὥσπερ γὰρ ἐν τοῖς μητρικοῖς μυχοῖς οὕτω ταύτην ζωὴν εἴχομεν. οὐ διὰ τοιούτων στερεμνίων τροφῶν ἀπολαύομεν ἐκείνοις ἐγχωρείοις οἵων μέλλομεν. οὔτε μὴν ἐνεργεῖν οὕτως ἠδυνάμεθα ὡς ἐνταῦθα. καὶ γὰρ

Τοῦ ἡλίου καὶ τοῦ φωτὸς καὶ πάσης αὐγῆς ἐκτὸς ὑπήρχομεν. ὥσπερ οὖν ἐν ἐκείνοις τοῖς ταμιείοις οὖσαι πολλῶν τῶν ἐνταῦθα ἐλειπόμεθα, οὕτω καὶ ἐν τῷ νῦν κόσμῳ πλεονεκτούμεθα, ὡς πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν. ἐλάβομεν πεῖραν τῶν ἐνταῦθα τροφῶν; τῶν θείων ὀρεχθῶμεν. ἀπελαύσαμεν τοῦ ἐνταῦθα φωτός; τὸν ἥλιον τῆς δικαιοσύνης ποθήσωμεν. τὴν ἄνω ἱερουσαλὴμ ἡγησώμεθα ἑαυτῶν μητέρα καὶ πόλιν. πατέρα δὲ ἑαυτῶν, τὸν θεὸν καλέσωμεν. ζήσωμεν ἐνταῦθα σωφρόνως, ἵνα τῆς αἰωνίου ζωῆς τύχωμεν. ὥσπερ γὰρ τὰ ἐν τῇ μήτρᾳ

βρέφη τελειωθέντα ἐξέλατ-
τονος τροφῆς τε καὶ ζωῆς· διὰ
τοῦτο καὶ πρὸς τὴν μείζονα φέ-
ρονται σωτηρίαν, οὕτως καὶ
οἱ δίκαιοι· ἐκ τῆς κάτω διαγω-
γῆς, πρὸς τὴν ἄνω πορείαν
ἀναχωροῦσι κατὰ τὸ γεγραμ-
μένον· πορεύσονται ἐκ δυ-
νάμεων εἰς δύναμιν· οἱ
δὲ ἁμαρτωλοὶ ὥσπερ τὰ κα-
τὰ γαστρὸς ἐμβρύων τὰ ἐν
μήτρᾳ τελευτήσαντα, ἐκ
σκότους σκότει παραδίδον-
ται· καὶ γὰρ ἐν τῇ γεέννῃ κεκρύψον-
ται τῷ πλήθει τῶν ἁμαρτη-
μάτων κεκαλυμμένοι· οἱ
δ' ἀπαλλαχθέντες δὲ τοῦ βίου εἰς
ζοφώδη τάρταρον καὶ τὸν πω-
δεις τόπον καταφέρονται.

Τρεῖς τοίνυν τῶν βίων τικτώμεθα· ὁ
μία μὲν ἡ ἐπὶ γέννησις, ἡ ἐκ
τῶν μητρῴων κόλπων προό-
δος· ὅτ' ἂν ἐκ γαστρὸς εἰς
γῆν ἀγόμεθα· αἱ δὲ λοιπαὶ
δύο ἐκ γῆς ἡμᾶς πρὸς οὐρανὸν
ἀνάγουσιν· ὧν ἡ μὲν ἐστὶν
ἀρχαιότερος· ἡ διὰ τοῦ θείου
λουτροῦ ἡμῖν προσερχο-
μένη· ἡ δὲ, ἐκ τῆς μετανοί-
ας ἡμῖν καὶ τῶν ἀγαθῶν πό-
νων προσγίνεται· ἐν ταύτῃ
δὲ νῦν ἡμεῖς ἑστήκαμεν· ὀ-
φειλόμεναι οὖν τῷ ἀληθινῷ
νυμφίῳ προσελθοῦσαι, ἀ-
περισσότερον κοσμηθῆναι γε-
μένα ὥσπερ δὲ ἡμῖν πρὸς τοῦτο
οἰκοδομὴ, ἡ θέα τοῦ κοσμι-
κοῦ γάμου· εἰ γὰρ πρὸς τὸν
εὐάλωτον σωματοποιούμεναι
ἄνδρα τοσαύτην τίθενται
σπουδήν· λουτρῶν τε καὶ
μύρων ἀλοιφῶν καὶ ποικί-
λης κοσμήσεως· ἐκ γὰρ τού-
των δοκοῦσιν εἶναι τὰς κοσμί-
ους μᾶλλον παρασκευάζειν·
εἰ τοσαύτη τῆς κατὰ σῶ-
μα πολιτευομέναις φαν-
τασία ἐν τῷ τίκτειν· πόσῳ
μᾶλλον δέον ἡμᾶς ἐκείνας
ἐπαναβῆναι τῇ γνώμῃ, τῷ
σωτῆρι νυμφίῳ μνηστευθείσας
καὶ ἀπολούσασθαι μὲν, τῶν
ἁμαρτιῶν τὸν ῥύπον τῇ
ἐπιπόνῳ ἀσκήσει· ἀντι-
καταλλάξαι δὲ τῶν σωματι-
κῶν ἐνδυμάτων τὰ πνευματικά·

Ἐκεῖναι, τὸ σῶμα τοῖς γηΐνοις
ἄνθεσι καὶ τὸ κοσμοῦσιν·
ἡμεῖς τὴν ψυχὴν ταῖς ἀρεταῖς
φαιδρύνωμεν· καὶ ἀντὶ μὲν
λίθων πολυτελῶν περιθῶ-
μεν τῇ κεφαλῇ· τὸν τριπλό-
κον στέφανον· πίστιν, ἐλπί-
δα, ἀγάπην· τῷ δὲ τραχήλῳ,
τὴν τιμίαν κόσμησιν περι-
θῶμεν τὴν ταπεινοφροσύνην·
ἀντὶ δὲ ζώνης, τὴν σωφρο-
σύνην περιζωσώμεθα· λαμ-
πρᾶς δὲ ἡμῖν περιβολῆς, ἡ δι-
καιοσύνη γενέσθω· περιθώμεθα

σω δὲ τῷ διεπνῶ, τὰ μὴ
φθειρόμενα ὄντα εὐχαὶ δὲ
τελευταῖ· ἀλλ' ὡς ὁ ἀπόστολος
φησί· μὴ μόνον τὴν γλῶτ-
ταν κινοῦμεν, ἀλλά γε καὶ
τὸ πνεῦμα. καὶ νοοῦμεν
τὰ λεγόμενα. πολλάκις γὰρ
τὸ μὲν στόμα φθέγγεται· ὁ νοῦς
δὲ καρδία περιλοπῆς σκοπῶ
ἀσχολεῖται. προσέχειν δὲ

Δεῖ μὴ τοῖς θείοις γάμοις προ-
σελθούσαις, περὶ ἀνδρὸς
τῶν νοσησάντων· μὴ σπου-
ε καὶ γὰρ ἡμᾶς ὁ μνηστήρ, τὸ
οὐ δούλως προσδέξεται τὸ
ἀλλ' ἢ μὴ τὰς ὑποσχέσεις λάβῃ.
τίνες δὲ εἰσὶν αὗται; τοῦ
μὲν σώματος ἧττον φρον-
τίζειν· ἐπὶ πλεῖον δὲ τῆς
ψυχῆς ἀρδεύειν. αὗται γὰρ
εἰσὶν αἱ πρὸς αὐτὸν συνθῆκαι.
ὥσπερ δὲ οὐκ ἐγχωρεῖ δύο
καὶ δοχεῖα κατὰ τὸ αὐτὸ ἀνα-
γειν πεπληρωμένους ὕδα-
τος. διὰ γὰρ τοῦ στρεφομένου
ἄξονος, ὁ μὲν εἰς κοῦφος
κατάγεται, ὁ δὲ ἕτερος με-
στὸς ἀνάγεται, οὕτω καὶ ἐφ' ἡ-
μῶν ἐστίν. ὅταν γὰρ τὴν πα-
σῶν κηδεμονίαν τῇ ψυχῇ
προσοίσωμεν, πληρωθεῖσα
τῶν καλῶν, ἀνάγεται τῶν
μετεωρισμῶν ἐφιεμένη· τὸ
δὲ σῶμα ἡμῶν, κοῦφον διὰ
τῆς ἀσκήσεως γενόμενον,

οὐ βαρύνει τὴν ἡγεμονεύουσαν
δύναμιν. καὶ τούτου μάρτυς,
ὁ ἀπόστολος· φησὶ γάρ· ὅσον
ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθεί-
ρεται, τοσοῦτον ὁ ἔσωθεν ἀνα-
καινοῦται. ἐν μονῇ κοινοβί-

Οὐ τυγχάνεις; μὴ μεταλλά-
ξῃς τὸν τόπον· βλαβήσῃ
γὰρ μεγάλως. ὥσπερ γὰρ ὄρ-
νις ἐξιπταμένη τῶν ᾠῶν, ὑ-
ελα ταῦτα καὶ ἄγονα κατασκε-
υάζει, οὕτω καὶ παρθένος
ἢ μοναχὸς, ψύχεται καὶ νε-
κροῦται τῆς πίστεως, τό-
πον ἐκ τόπου μεταβαίνων.
μή σε δελεάσῃ ἡ τῶν κατὰ
κόσμον πλουσίων τρυφὴ ὡς
τι χρήσιμον ἔχουσα ἡδονῆς
ἕνεκα· τὴν ὀψαρτυτικὴν ἐ-
κεῖνοι τιμῶσι τέχνην. νηστεί-
α καὶ αὐτὴ διὰ τῶν εὐτελῶν
τὴν ἐκείνων εὐπορίαν τῶν
τροφῶν, ὑπερβάλλου· φησὶ
γὰρ ὡς ψυχὴ ἐν πλησμονῇ οὖσα
ἐμπαίζει κηρίοις· τῇ δὲ ἐν-
σῃ δὲ ἐνδείᾳ, καὶ τὰ πικρὰ
γλυκέα φαίνονται. μὴ κορε-

Σθῇς ἄρτου, καὶ οὐκ ἐπιθυ-
μήσῃς οἴνου. τρία ἐστὶ τοῦ
ἐχθροῦ τὰ πρῶτα κεφάλαια,
ἐξ ὧν πᾶσα κακία κατάγεται·
ἐπιθυμία. ἡδονή. λύπη.
ἐν ἐξ ἑνὸς ταῦτα ἤρτηται·
καὶ ἐν ἑνὶ ἀκολουθεῖ. καὶ ἡ-
δονῆς μὲν κρατηθείσης μεγάλως,

σωματικόν· ἐπιθυμίας δὲ,
ἀσώματον· τὸ μὲν γὰρ τῆς
ἡδονῆς, ἀπὸ τοῦ σώματος
τελεῖται· τὸ δὲ τῆς ἐπιθυ-
μίας, ἀπὸ τῆς ψυχῆς· ἡ δὲ
λύπη ἐκ τῶν συναμφοτέ-
ρων κατασκευάζεται· μὴ οὖν
συγχωρήσῃς τὴν ἐπιθυμί-
αν ἐνεργῆσαι, καὶ τὰ λοιπὰ
ἀπεσκέδασας· εἰ δὲ συγχω-
ρήσεις περικόψαι, τὸ περι-
ττὸν διανεμηθὲν πρὸς τὸ
σάττον, κυκλικὴν ἀνὰ τὰ
πόδα σὴν ποιήσονται πρὸς ἑ-
αυτά, καὶ οὐδαμῶς συγχω-
ρήσει τῇ ψυχῇ ἀσφαλεῖ
γίγνεσθαι· γὰρ μὴ δοὺς ὑπα-
τὶ ἔξοδον· οὐ πᾶσι πάντα
συμφέρει· ἕκαστος δὲ καὶ
ἑκάστη, τῷ ἰδίῳ νοὶ πληρο-
φορείσθω· πολλοῖς τὸ ἐν κοι-
νοβίῳ εἶναι συμφέρει· καὶ
πολλοῖς τὸ κατ' ἰδίαν ἀναχω-
ρεῖν ὠφέλιμον τυγχάνει·
Ὥσπερ γὰρ τῶν φυτῶν τὰ μὲν,
τοῖς ὑγροῖς τόποις· τὰ δὲ ἐν
τοῖς ξηροτέροις τόποις γί-
νεται μονιμώτερα, οὕτω καὶ
τῶν ἀνθρώπων· οἱ μὲν, ἐν τοῖς ὑ-
ψηλοτέροις εὖ πράττουσιν·
οἱ δὲ, ἐν τοῖς ταπεινοτέροις
διασώζονται· πολλοὶ οὖν ἐν
πόλει τὰ τῆς ἐρήμου φαντα-
ζόμενοι, ἐσώθησαν· καὶ πολ-
λοὶ ἐν ὄρει ὄντες, τὰ τῶν δη-
μοτῶν πράττοντες, ἀπώλοντο·
δυνατὸν γὰρ καὶ μετὰ πολλῶν
ὄντα, μονάζειν τῇ γνώμῃ·
καὶ μόνον ὄντα, μετὰ πολλῶν
τῇ διανοίᾳ διάγειν· πολλὰ
τοῦ διαβόλου τὰ κέντρα· διὰ
πενίας οὐ μετεκίνησε ψυχήν;
πλοῦτον προσάγει· εἰς δὲ λε-
ορ· δι' ὕβρεων καὶ ὀνειδισμῶν
οὐκ ἴσχυσεν; ἐπαίνους καὶ
δόξαν προβάλλεται· διὰ τῆς
ὑγείας ἡττήθη; νοσοποιεῖ
τὸ σῶμα· ταῖς γὰρ ἡδοναῖς
μὴ δυνηθεὶς ἀπατῆσαι, διὰ
τῶν ἀκουσίων πόνων, τὴν
παρεκτροπὴν τῆς ψυχῆς
πειρᾶται ποιῆσαι· νόσους γὰρ
τινὰς βαρυτάτας ἐξαιτήσε-
ως προσάγει· πρὸς τὸ διὰ
τούτων ὀλιγωρήσαντας,
ἐπιθολῶσαι ἑαυτῶν τὴν
πρὸς θεὸν ἀγάπην· ἀλλ' εἰ καὶ
κατατέμνεται τὸ σῶμα ὑπὸ
πυρετοῖς σφοδροτάτοις κατα-
φλέγεται· ἔτι γε μὴν καὶ δί-
ψει ἀσχέτῳ ἀνιᾶται· εἰ μὲν
ἁμαρτωλὸς ὢν ταῦτα ὑφί-
σταται, ὑπομιμνησκέτω τῆς μελ-
λούσης κολάσεως· καὶ τοῦ αἰ-
ωνίου πυρός· καὶ τῶν δικα-
στικῶν τιμωριῶν, καὶ οὐκ ὀλι-
γωρησάτω πρὸς τὰ παρόντα·
χαιρέτω δὲ μᾶλλον ὅτι ἐπεσκο-
πήσατο ὁ θεός· καὶ τὸ ἀφθο-
νον ἐκεῖνο ῥητὸν ἐπιλαλείτω

ἔχει τὸ παιδίον ἐπαίδευ-
σέ με ὁ κ(ύριο)ς· τῷ δὲ θανάτῳ οὐ
παρέδωκέ με. εἰ σίδηρος
ἔτυχεν ὤν, ἀλλὰ διὰ πυρὸς τὸν
ἰὸν ἀποβάλλεις. εἰ δὲ δίκαιος
ὢν ἀρρωστεῖς, ἀπὸ τῶν μεγάλων,
ἐπὶ τὰ μείζω προκόπτεις. χρυ-
σὸς εἶ; ἀλλὰ διὰ πυρὸς δοκι-
μώτερος γίνῃ. ἐδόθη σοι ἄγγε-
λος σατὰν τῇ σαρκί; ἀλλ' ἰδὼ
βλέπε τίνι ὅμοιος ἐγένου· τῆς
γὰρ Παύλου δωρεᾶς ἠξιώθης.
διὰ πυρετοῦ δοκιμάζῃ; διὰ
ῥίγους παιδεύῃ; ἀλλὰ φησὶν
ἡ γραφή· διήλθομεν διὰ πυ-
ρὸς καὶ ὕδατος. λοιπὸν τὸ
ἀναψυκτήριον ἡτοίμασαι. ἔ-
Τύχες τοῦ προσώπου; πρὸς δό-
κα τὸ δάτερον. παρὰ τίων βο-
ᾶ τὰ τοῦ ἀγνοηματα. φησὶ
γάρ· πτωχὸς καὶ ἀλγῶν εἰμὶ
ἐγώ. τέλειος γενήσῃ διὰ τῆς
τελειώσεως. Καὶ γὰρ φησὶν ἐν θλί-
ψει ἐπλάτυνάς με. ἐν τούτοις
μάλιστα τοῖς γυμνασίοις τὰς
ψυχὰς ἀσκηθῶμεν. ἐν ὀφθαλ-
μοῖς γὰρ ὁρῶμεν τὸν ἀντίπα-
λον· μὴ λυπηθῶμεν ὁ διάβ-
απείργει καὶ τὴν πηγὴν
τοῦ σώματος κινηδωάμεναι·
εἰς εὐχὴν στῆναι, ἢ ψάλλειν με-
τὰ φωνῆς. πάντα ἡ μὲν ταῦ-
τα ἡμῖν ἔργοι πρὸς καθαίρεσιν
ἐπιθυμιῶν. Καὶ γὰρ νηστεία
καὶ χαμευνίαι διὰ ταῦτα χ

γος ἡμῖν ἡ δοκαομένη νομοθέτη-
ται. εἰ οὖν ἡ νόσος ταύτας ἡμ-
βλύνει, περιττὸς ὁ πόνος. τί
δὲ λέγω περιττός; ὡς παρὰ τὸ
μείζονι καὶ ἰσχυροτέρῳ φαρμά-
κῳ τῇ νόσῳ, τὸ ὀλεθροφόρα
συμπτώματα κεκοίμηνται. ὡ
αὐτή ἐστιν ἡ μεγάλη ἄσκησις;
τὸ ἐν ταῖς νόσοις καρτερεῖν.
Καὶ εὐχαριστεῖν οἷς ἀγαπᾶν
πειν τῶν κρειττόνων μόνον. ἀ-
Φαιρούμεθα ὀφθαλμούς; μὴ
βαρέως ἐνέγκωμεν. τὰ γὰρ
τῆς ἀσελγείας ὄργανα ἀπο-
βάλομεν. ἀλλὰ τοῖς ἔνδοθεν
ὀφθαλμοῖς τὴν δόξαν κυ(ρίου)
κατοπτριζόμεθα. ἐκωφεύ-
σαμεν; εὐχαριστήσωμεν. τὴν
ματαίαν ἀκοὴν τέλεον ἀπο-
βαλοῦντες. τὰς χεῖρας πεπόν-
θαμεν; ἀλλὰ τὰς ἔνδοθεν ἔχο-
μεν εὐτρεπεῖ πανθείσας πρὸς
τὸν τοῦ ἐχθροῦ πόλεμον. ἀρ-
ρωστία καταλύει τὸ σῶμα κρα-
τεῖ; ἀλλ' ἡ κατὰ τὸν ἔσω ἄν-
θρωπον ὑγεία μᾶλλον αὔξε-
ται καὶ βιῶσαι, τὴν ὑπακο-
ὴν μᾶλλον τῆς ἀσκήσεως ἐπι-
κείμωμεν. ἡ μὲν γὰρ ὑπο-
ψίαν διδάσκει. ἡ δέ, ταπει-
νοφροσύνην ἐπαγγέλλεται. ἔ-
τι δὲ καὶ ἐπὶ τοῦ ἐχθροῦ ἐπι-
τεταμένη ἀσκήσεις. καὶ γὰρ
οἱ αὐτοῦ μαθηταί, τοῦτο ποιοῦ-
σι. πῶς οὖν διακείμενον τὴν

...είαν καὶ βασιλικὴν ἀσκήσειν
τῆς τυραννικῆς καὶ δαιμο-
νιώδους; δῆλον ὡς ἀπὸ
τῆς συμμετρίας. ἀπέστω σοι
ὁ χεῖρος, εἰς κακῶν ὠνησείας
ὑπερχέτω· μὴ τὰ ἄγρας ἢ πο-
τευησεύσεις καὶ τὴν ἀπὸ ἡμῶν ἐν
πληθεῖ τροφῶν καταλύσεις
τῶν δυνάμεων· πᾶν γὰρ ἡ
ἀμετρία, φθοροποιὸς τυγχά-
νει· μὴ ὑφείη σοι τὰ πράγμα-
τα ἀναλώσκων· καὶ γυμνὸς εὑ-
ρεθῇς ἐν τῷ πολέμῳ· καὶ ἁ-
λωτὸς γενήσῃ· τὰ ὅπλα ἡμῶν
ἐστὶ τὸ σῶμα· ἡ δὲ ψυχὴ ὁ στρα-
τιώτης· τῶν οὖν ἀμφοτέ-
ρων ὅπη μὴ οὐ πρὸς τὰς χρείας.

Νέος ὢν καὶ ὑγιής· μὴ στασομ·
ἥξει γὰρ τὸ γῆρας μετὰ ἀσθε-
νείας· ὡς διώκῃ, θησαύρισον
τροφάς· ἵνα ἀσθενῶν, ἀκίνδυ-
νη στάσει μετὰ λόγου καὶ ἀκριβεί-
ας· ὅρα μὴ ὁ ἐχθρός σου ὑπει-
σελθὴ τῇ ἐμπορείας τῆς
νηστείας· καὶ γὰρ οἱ μὲν πολλοὶ
τούτου τοῖς ὁρᾶ εἰρηκέναι· γίνε-
ται δοκιμὴ τελεῖται· τουτ-
έστι τὸ βασιλικὸν χάραγμα, ἀ-
κριβῶς γνωρίζεται· εἰσὶ γὰρ
καὶ παραχαράγματα· καὶ ἡ μὲν
τοῦ χρυσοῦ φύσις, ἡ αὐτή· δια-
φέρει δέ, τῷ χαράγματι· ὁ μὲν
οὖν χρυσός ἐστι, νηστεία· ἐγκρα-
τεία· ἐλεημοσύνη· ἀλλὰ καὶ Ἑλλή-
νων παῖδες, τὴν τυραννικὴν

ἑαυτῶν εἰκόνα, τούτοις ἐντι-
θένται· καὶ αἱρετικοὶ διὰ πάν-
των, διὰ τούτων σεμνύνονται·
ὁρᾶν δὲ δεῖ τούτους καὶ ἀπο-
φεύγειν· ὡς παραχαράκτας·
βλέπε μὴ ἀγνῶν μὴ ἀσπῶς περι-
πεσὼν ... αὐτοῖς,
ζημιωθῇς· δέχου οὖν μετὰ ἀ-
σφαλείας τὸν τοῦ κυρίου στρατὸν ἐν-
τετυπωμένον ταῖς ἀρεταῖς·
τουτέστι πίστιν ὀρθὴν μετὰ
σεμνῶν πράξεων· δεῖ οὖν ἡμᾶς

Τῇ διακρίσει κυβερνᾶν τὴν
ψυχήν· καὶ ἐν κοινοβίῳ οὔ-
σας, μὴ τὰ ἑαυτῶν ζητεῖν· μή-
τε μὴν οἰκείαν δουλαγωγεῖν
μεν· ἀλλὰ τῇ κατὰ πίστιν με-
πειθαρχεῖν· ἐξουσίαν ἑαυτοὺς
παρεδώκαμεν· τουτέστι τῶν
κοσμικῶν ὅρων ἔξω γενόμενοι,
ὥσπερ οὖν ἐκβεβλήμεθα, μὴ
τὰ αὐτὰ ζητῶμεν· ἐκεῖ δο-
ξαν εἴχομεν, ὧδε ὀνειδιζόμεθα·
ἐκεῖ δαψίλεια τροφῶν, ἐν-
ταῦθα καὶ ἄρτου ἔνδεια· ἐν τῷ
κόσμῳ οἱ πταίοντες καὶ μὴ βου-
λόμενοι, ἐν φυλακῇ βάλλον-
ται· καὶ ἡμεῖς διὰ τὰς ἁμαρτί-
ας ἑαυτῶν, ἑαυτὰς φυλακί-
σωμεν· ἵνα τὸ ἑκούσιον τῆς
γνώμης, τὴν μέλλουσαν κόλα-
σιν ἀποσοβήσῃ· νηστεύεις;
μὴ προφασίζου νόσον· καὶ
γὰρ οἱ μὴ νηστεύοντες, τοῖς
αὐτοῖς περιπίπτουσι νοσήμασι.

ἤρξω τοῦ καλοῦ; μὴ ἀνάσχῃ τῆ-
σης τοῦ ἐχθροῦ σε ἐκκόπτοντος·
αὐτὸς γὰρ τῇ ὑπομονῇ σου καταπ-
γεῖται. Καὶ γὰρ οἱ πλεῖν ἀρχό-
μενοι, πρῶτον δεξιοῦ πνεύ-
ματος τυγχάνουσιν, ἵν' ἁπλώσαν-
τες τὰ ἱστία. ἀλλ' οἱ μὲν ναυτίλοι
διὰ τὸ παραπεσὸν πνεῦμα,
ἀποσχάζουσι τῶν ναῶν. μικρὸν
δὲ ἡσυχάσαντα ἢ καὶ ἀπο-
μαχεσάμενοι τῇ ζάλῃ, τὸν πλοῦν
ποιοῦνται. οὕτω καὶ ἡμεῖς
ἐναντίου πνεύματος προσ-
πεσόντος, τὸν σταυρὸν ἀντὶ ἱστίου
τανύσαντες, ἀλλ' ὅμως τὸν πλοῦν
ἐκτελέσωμεν. ταῦτα τῆς
Παναρέτου σου πολιτικῆς τὰ ἐπι-
τηδεύματα. Καὶ μᾶλλον πρά-
ξεις ἢ ῥήματα. Καὶ ἄλλα δὲ
πολλὰ καὶ μεγάλα ὑπάρχει τῆς
εὐσεβείας πρὸς ὠφέλειαν,
τῶν δ' ἀκουσάντων τε καὶ θεασα-
μένων. τοσοῦτον δὲ πλῆθος
ἀγαθῶν ἐβλάστησεν, ὅσον ἂν τινὶ
γλῶσσα ἀπορήσειεν ἂν ἐκφρά-
σαι. ὁ δὲ μισόκαλος διάβο-
λος μὴ φέρων τὴν τοσαύτην
τῶν καλῶν ἀφθονίαν, ἐπῆκε
το. καὶ εἴασε αὐτὸν ἐδεσμα-
τουργεῖ, ὅπως ἂν διωχθείη
ἐπιθολῶσαι τὴν τῶν χρη-
στῶν ἀνατολήν. Καὶ λοιπὸν
ἐξανίσταται πρὸς τὸν σηκὸν
συναγωγὴν τὴν γενναιοτάτην
παρθένον. Καὶ τοσοῦτον αὐτὴν

τῇ ἐχθρᾷ ἀμύνεται, ὡς μηδὲ ἐκ
τῶν ἔξωθεν μελῶν ἐνάρξα-
σθαι τῆς πληγῆς. ἀλλὰ τῶν
ἐν τοσαύτῃ ὧν ἁψάμενος, ἐλ-
θεῖν αὐτῇ τὴν ἀλγηδόνα κα-
τείργασεν. ὡς ἀπαραμύθητον
ἤκουεν ἐκ τῆς τῶν ἄνωθεν τό-
κου εἰς γενέσθαι. καὶ πρῶτον
Ἡ μὲν τὸ ἄρμα γνησιότατον ἐν τῇ
ζωῇ πλήττει μόριον, τὸν
πνεύμονα. καὶ διὰ μέσων
ὁλοθροφόρων, κατ' ὀλίγον
ἐξάπτει τὴν κακίαν. ἐνεχώ-
ρει μὲν γὰρ καὶ ἐν ὀλίγῳ διὰ
τὴν ὀξεῖαν τῆς νόσου συντεμεῖν
αὐτῆς τὴν τελευτήν. ἀλλ' ὡς
περαιμοβόρος δήμιος διὰ
πολλῶν πληγῶν καὶ μακροῦ
χρόνου, τὴν οἰκείαν δεινό-
τητα ἐνδείκνυται, κατὰ
μικρὸν γὰρ ἀναλύων τὸν
πνεύμονα διὰ τῶν ἀναγο-
μένων πτυσμάτων, τοῦτον
ἀποβάλλει. πορίσαντα δὲ ἐ-
πὶ ῥευστὸν ἀπάλλη ποιεῖ μηδ-
δίκην, ἀποδοκιμῶντες τὸ
σῶμα. ὁ δὲ πονηρὸς δὲ ἔσω
ἡ γεννήματα κακίας, ὅτε ὁ διά-
βολος τὰ τοῦ Ἰὼβ ἀθλητικῆς
ταύτην μετέφερε. ταῖς αὐταῖς
γὰρ καὶ τὸ τεκὲ χρηματίσα-
ξιν. ἀλλ' ἐπὶ τοῦ παρόντος,
σωτήρ μοι τὸν χρόνον φορ-
τικώτερον ποιούμενος τὰς
ἀλγηδόνας. πλὴν ἐπὶ τοῦτο γὰρ

τελέως τὸν βίον. ὁ μακάριος
Ἰὼβ ἐν τῇ πληγῇ πεποίηκεν.
Ἐνταῦθα δὲ ὁ ἐχθρὸς ὥσπερ
ἀπαρχὰς τιμὰς τοὺς τῶν
ψεκάδων χειμῶνας ἀποσυλή-
σας πρὸς τὰς πληγάς, συνά-
πτει τῶν ἱδρώτων τῆς σωματι-
τεία γὰρ πρὸς τὸ ἥμισυ σύνη, διὰ
τῶν εὐκλεῶν τούτων πόνων
τῷ ἐχθρῷ ἡ μακέλλα ἀπεμαχέ-
σατο. καὶ ἐπὶ μὲν τοῦ Ἰώβ,
ἐκ τῶν ἔξω τὰς ἀπαρχὰς τῶν
τραυμάτων, ἐποιεῖτο ὁ δι-
άβολος. ἐπὶ δὲ ταύτης,
ἐκ τῶν ἔσω προσέθει ταῖς τι-
μωρίαις. τῶν γὰρ ἐντοσθίων
μελῶν αὐτῆς ἁψάμενος, μει-
ζόνας αὐτῇ καὶ χαλεπωτέρας
τὰς ἀλγηδόνας ἀπένειμε. ἀλλ'
οὕτως οἶμαι τοὺς γενναιοτά-
τους ἐναθληκέναι μάρτυρας,
ὡς τὴν ἀοίδιμον συγκλητι-
κήν. ἐκεῖνοι μὲν γάρ, ἐκ τῶν
ἔξω προσῆει ὁ παλαμναῖος.
κἄν τε ξίφος. κἄν τε πῦρ αὐτοῖς
προσέφερεν, ἢ ποίῳ τρόπῳ ὑπῆρ-
χε τῶν παρόντων πειρατηρί-
ων. ὡς γὰρ διὰ καμίνου
πεπυρωμένης, τὰ σπλάγχνα
αὐτῆς ὑπέκαιεν. ἐκ τῶν ἔσω
τὸ πῦρ κατὰ τὸ λοιπὸν ἐξάπτων.
καὶ ῥίνης δίκην ὡς εἴρηται
διὰ μακροῦ χρόνου ἀπεδα-
πάνα τὸ σῶμα. καὶ ἔστιν ἀλη-
θῶς εἰπεῖν, ἔργον τοῦτο ἀλλ' ἀπὸ

θρώπων. καὶ γὰρ καὶ οἱ τὰς δι-
καστικὰς ἐμπεπιστευμένοι
ἀρχάς, ὁπηνίκα ἂν βουληθῶ-
σι τοῖς ἁμαρτήσασι βαρυτέ-
ραν ἐπιθεῖναι τὴν τιμωρίαν,
διὰ βληχροτάτου πυρός, τοὺς
τοιούτους ἀναλίσκουσιν. οὕτως
οὖν καὶ ὁ ἐχθρὸς ἐκ τῶν ἔνδον
ὥσπερ ὑποσμυχόμενον τὸ
πῦρ συγκινῶν, ἄπαυστον ἐν
νυκτὶ καὶ μεθ' ἡμέραν ἐποι-
εῖτο τὴν τιμωρίαν. αὕτη δὲ
τὴν πληγὴν γενναίως ὑποφέ-
ρουσα, οὐ συνέπιπτε τῷ φρο-
νήματι. ἀλλὰ πάλιν ἡ μακα-
ρία κατὰ τοῦ ἐχθροῦ ὡπλίζε-
το. καὶ γυμνοῦ πάλιν ταῖς ἀγαθαῖ-
σι διδασκαλίαις, τοὺς ὑπ' αὐτοῦ
τραυματιζομένους ἰᾶτο.
καὶ γὰρ ὥσπερ ἐκ λέοντος ἀπλή-
κτους ἀπὸ τὰς ψυχὰς ἡμῶν.
ἐθεράπευε δὲ τοὺς τραυματίας,
τοῖς σωτηρίοις τοῦ Χριστοῦ φαρμά-
κοις. τινὰς δὲ καὶ ἀτρώτους
διεφύλαττεν. ὑποδεικνύ-
ουσα γὰρ αὐτοῖς τοῦ διαβό-
λου τὰς δολερὰς παγίδας,
ἐλευθέρους ἐποίει τῆς ἁμαρ-
τίας. καὶ ἔλεγεν ἡ θαυμα-
σία, ὡς οὐδὲν ὄν ποτε ἀμε-
εἰ μηεῖν, τὰς τῷ θεῷ ἀνα-
κειμένας ψυχάς. ταύτας
γὰρ μάλιστα ἀντίκειται ὁ ἐχθρός.
καὶ γὰρ ἡσυχαζόντων αὐτῶν,
βρύχει. καὶ ἡττώμενος, ἀντι-

δεται. καὶ μικρὸν ὑποχωρή-
σας, ἐπιτηρεῖ πότε καὶ ἀνδρα-
χύτη ἀφυπνώσωσι, καὶ οὕ-
τως ἐπισέρχεται. καὶ δι' ὧν
νομίζουσιν ἔχειν τὸ ἀμελεῖν,
διὰ τούτων ὑποσκελίζειν. ὥσπερ
γὰρ ἀδύνατον τοὺς πάνυ φαύ-
λους μὴ ἔχειν καὶ σπινθῆρα
καλοῦ, οὕτω τοὐναντίον τοῖς
χρηστοῖς προσεῖναι. τῶν γὰρ
μαχομένων μοῖρά τις ἐν τοῖς
νενικημένοις μέρεσι τυγχά-
νει. πολλάκις οὖν ἄνους, πάν-
τη αἰσχίστω περιεστηκυῖα. ἀλ-
λ' ὅμως ἐλεημοσύνην ὑπερέσχε. τῶ
ν δὲ σπουδαίοις δὲ πολλάκις
ἐμπολιτεύεται σωφροσύνη.
μὴ στεῖρα. ἐπὶ πόρνος ἀσκησιοῖς.
ἐπειδὴ ἀφειδωλοὶ καὶ κατά-
λαλοι. διὸ οὖν τῶν σμικρῶν
μὴ ἀμελεῖν. ὡς μὴ δυναμέ-
νων βλάπτειν. καὶ γὰρ λί-
θον, ὕδωρ τῷ χρόνῳ διέλυ-
σε. τὰ μὲν οὖν μέγιστα τῶν
ἐνόντων καλῶν, ἐκ θείας χάρι-
τος ἔσται τοῖς προσγίνεται.
τὰ δὲ δοκοῦντα σμικρὰ τυγ-
χάνειν κακά, διὰ ταυτῶν ἀ-
ποσοβεῖν διὰ διαλέγεσθαι.
ὀλίγον οὖν πρὸς τὰ μεγάλα διὰ
τῆς χάριτος ἀπομαχησά-
μενος. τοῦ δὲ σμικροῦ κα-
ταφρονήσας, μεγάλως
βλαβήσεται. ὁ γὰρ κατὰ τῶν
ἰσχυρῶν περιγενόμενος περ.

ἄρτι ὡς τῶν παιδίων αὐτοῦ
ὁρμώντων πρὸς βάδισιν,
ὀρέγει τὴν χεῖρα καὶ κατὰ
πάντα ὅτι οὖν τῶν μεγάλων κιν-
δύνων ῥυόμενος, πρὸς τὰ
μικρὰ συγχωρεῖ ἡμῖν ἀφίεσθαι
τῶν κινεῖσθαι κατὰ τὸ προσόν,
τούτοις τὴν γνώμην δεικνὺς
ἐλευθέραν. ὁ γὰρ τοῖς μι-
κροῖς ἀνάλωτος, πῶς ἂν τὰ
μείζονα φυλάξαι δυνηθεί-
η. πάλιν οὖν ὁρῶν αὐτὴν
ἰσχυριζομένην κατ' αὐτοῦ, ὁ
μισόκαλος ἤχθετο. καὶ
νομίζων αὐτοῦ τὴν τυραννί-
δα καθαιρουμένην, ἔδοξεν
τι μηχανᾶσθαι κακίας ἔρ-
γον. καὶ πλήττει τὰ φω-
νητικὰ ὄργανα, πρὸς τὸ
τὴν προφορὰν ἐκκόψαι
λόγων. δοκῶν διὰ τούτου,
λιμαγχονῆσαι τῶν θείων
λόγων τὰς προσερχομένας.
ἀλλ' εἰ καὶ τὴν ἀκοὴν τῆς ὠ-
φελείας ἐστέρησεν, ἀλλ' οὖν
τῷ μείζονι τὸ κέρδος δεδώ-
ρηται. τῇ γὰρ ὄψει τοῖς πα-
θεσιν ἐναγωνιζούσαις μᾶλλον
ἐκράταιοῦτο τὴν γνώ-
μην. τὰ γὰρ σωματικὰ ἐκεί-
νης τραύματα, ταῖς πολλαῖς
γινομέναις ψυχαῖς ἰατρεῖα. ἦν
ἰδεῖν προφυλακὴν καὶ
θεραπείαν τῶν θεωμένων 6
τὴν τῆς μακαρίας μεγαλοψυχί(αν)

83.

τέ καὶ καρτερείαν· περιφα-
σ̈ινόμενον οὖν αὐτῆ τῆς πληγῆς
ποιεῖται ταύτην ὁ ἐχθρός· με-
γάλην μὲν ὀδυνήσας, σήπει
περαῖον τὸ τοὔλος· καὶ ἐκ-
πίπτει μὲν τὸ ὀστέον· ἡ δὲ
νομὴ διατρέχει εἰς ἅ-
πασαν τὴν γένυν· καὶ γίνε-
ται φθορὰ τῶν ὑποκειμέ-
νων σωμάτων· καὶ δὴ ταῦτα
ων τὰ ἡμέραις, τε αδονί-
ζεται τὸ ὀστέον· καὶ μετὰ δὴ
μηναῖον χρόνον, τὴν ἐπαικ-
τείοις· μελανθέντες μὲν οὖν
ἢ σαπέντα πάντα οἱ περὶ αὐτό-
ποι· τὸ δὲ ὀστέον φθαρέν, τὸ
αὐτὸ κατὰ τὸ λίγον ἐδαπάνα-
το· σὺν ἰσχὺς δὲ καὶ βαρύτα-
τη δυσωδία καθόλου τοῦ σώ-
ματος ἐκράτει· ὥστε τὰς ὑπερ-
γονούσας, πλέον αὐτὴν πά-
σχειν· καὶ τὸν μὲν πλείονα
χρόνον, ἐχωρίζον τὸ μὴ φέ-
ρουσαι τὴν ἀπάνθρωπον
ὀσμήν· ὅτε δὲ ἡ χρεία ἐκά-
λει, θυμιαμάτων ἐκκαί-
ουσαι πλῆθος, εἰσῄεσαν· ἐπ'
ὀλίγοις ὑπεχώρουν διὰ τὸ
τῆς δυσωδίας ἀπάνθρω-
πον· ἡ δὲ μακαρία, περι-
Φανῶς ἐθεώρει τὸν ἀντί-
παλον· καὶ οὐδ' ὅλως ὑ-
πεχώρει ἀνθρωπίνου αὐτῇ
προσαχθῆναι βοήθημα· δεῖ αν-
κρίνουσα καὶ ἐν τούτῳ· τὴν ἰα-

ἀνδείαν· ὡς δὲ αἱ συνελθοῦ-
σαι παρεκάλουν κἂν μύροις
τὸν τόπον ὑπαλείφειν διὰ
τὴν αὐτῶν ἀσθένειαν, οὐκ ἐ-
πείθετο· ἡγεῖτο γὰρ διὰ τῆς
συμμαχίας τῶν ἐκτός, κα-
θαιρεῖσθαι τοῦ ὑπὲρ δόξα τὰ
τοῦ ἀγῶνος· καὶ δὴ τινὰ
ἰατρὸν αἱ συνελθοῦσαι με-
τασέλλονται· ὡς εἴγε δυνη-
θείη ἂν αὐτὸς πεῖσαι τὴν
θεραπείας τυχεῖν· ἡ δέ, πά-
λιν οὐκ ἠνείχετο λέγουσα·
τί με τῆς ἀγαθῆς ταύτης
ἀπαλλήξεως ἐκκόπτετε· τί ζητεῖ-
τε τὸ φαινόμενον, ἀγνοοῦ-
σαι τὸ κρυπτόμενον· τί πο-
Λυπραγμονεῖτε τὸ ἠνώμε-
νον· τὸν ποιοῦντα μισθὸν
ωροῦσαι· καὶ πρὸς αὐτὴν φη-
σίν· ὁ παρὼν ἰατρός· οὐχ ἕνε-
κεν θεραπείας τινός, κἂν
παραμυθίας προσφέρομεν
φάρμακον· ἀλλ' ἵνα τὸ ἠλλο-
τειωμένον καὶ νεκρὸν με-
ρίον, κατὰ τὴν συνήθειαν
θάψωμεν· πρὸς τὸ τὰς πα-
ρούσας μὴ συνδιαφθαρῆναι·
ὅπερ γὰρ τοῖς τεθνεῶσι προσ-
άγουσι, τοῦτο καὶ ἡμεῖς ποι-
οῦμεν· ἀλόην γὰρ ἅμα ζμύ-
ρνην καὶ μυρσίνην οἴνῳ
δεύσας, προστίθημι· ἡ
δέ, ἀποδεξαμένη τὴν συμ-
βουλίαν, ἠνέσχετο· τὰς συνελ-

θου πάσης μᾶλλον ἐλεήσαντα.
ἐκαθαίρετο· γὰρ ἐκ τούτου ἡ ἀ-
μετρία τῆς δυσωδίας· τίς
οὐκ ἔφριξε τὴν ἀπανθρωπί-
αν τῆς πληγῆς θεασάμενος·
τίς οὐκ ὠφελήθη τὴν καρτε-
ρίαν τῆς μακαρίας ἐννοή-
σας· τίς οὐκ ᾠκοδομήθη τὴν
κατάπτωσιν τοῦ ἐχθροῦ θε-
ωρήσας· ἐκεῖ μὲν γὰρ ἔσπευ-
σε τὴν πληγὴν, ὅθεν ἡ σωτη-
ρίας καὶ γλυκυτάτη τῶν λό-
γων προχέει πηγή· καὶ τὸ ὑπερ-
βάλλον τῆς δεινότητος αὐ-
τῆς, παρ᾽ὅσον παράκλησιν
ἀπεσκέδασεν· ὥσπερ γὰρ
θηρίον αἱμοβόρον, παρ᾽ὅσον
τὴν τῶν ζώων ἐρχομένων ἀν-
δεῖν ἀπεσόβησε πρὸς τὸ ἀ-
ράξαι τὸ πρόσωπον θηρά-
ματα· καὶ θοίνην ζητῶν, βορὰ
γέγονεν· ἐδελεάσθη γὰρ ὥσ-
περ διὰ γαστρὸς τῆς τοῦ σώ-
ματος ἀσθενείας· γυναῖκα
ὁρῶν καταφρονεῖ· ἠγνόει τὸ
αὐτῆς τὸ ἀνδρεῖον φρόνημα·
νοσοῦντα καταμανθάνει μέ-
λη, καὶ ἐτύφλωττε τὸν ἰ-
σχυρότατον αὐτῆς λογισμὸν
καταπαλαῖσαι μὴ δυνάμενος.
Ἡ σὴ μὲν οὖν τρισὶ καὶ πλέον,
τοῦτον τὸν ἀγῶνα ἐνήθλη-
σε, δυνάμει δὲ θείᾳ, τὸ
ὅλον περιεκράτει τὸ σῶμα·
τὸ γὰρ ζῶν τελοῦντα πρὸς τὴν
διαμονὴν αὐτοῦ, ἐμεμεί-
ωτο· ἡ τροφία μὲν οὖν πα-
ρῆν· πῶς γὰρ ἠδύνατο σι-
τίων μεταλαβεῖν, τοσαύτης
σήψεως καὶ δυσωδίας κρα-
τούσης· ἐκεχώρει δὲ αὐτῆς
καὶ ὁ ὕπνος ὑπὸ τῶν ἀλγη-
δόνων ἀπελαυνόμενος· ὅτε
δὲ αὐτῇ τὸ πέρας τῆς νίκης
καὶ τῶν στεφάνων ἐγγὺς ἐγί-
νετο, καὶ ὀπτασίας ἐθεώρη-
σε· καὶ ἀγγέλων ἐπιστασίας·
καὶ προπομποὺς παρθένων
εἰς τὴν ἄνοδον· καὶ ἐκλάμ-
ψεις ἀνεκλαλήτου φωτός·
καὶ παραδείσου χῶρον· καὶ με-
τὰ τὴν θέαν τούτων ὥσπερ
εἰς ἑαυτὴν γενομένη, ἀπαγ-
γέλλει ταῖς παρούσαις· γεν-
ναίως τε φέρειν καὶ μὴ ὀλι-
γωρεῖν πρὸς τὸ παρὸν παραι-
νεῖ· εἶπε δὲ αὐταῖς καὶ ὅτι
μετὰ τρεῖς ἡμέρας χωρισθή-
σομαι τοῦ σώματος· οὐ μό-
νον δὲ τοῦτο, ἀλλὰ καὶ τὴν
ὥραν τῆς ἐκδημίας ἐδήλω-
σε· καὶ συντελεσθέντος τοῦ
χρόνου, ἀπῆλθεν ἡ μακαρία
συγκλητική, πρὸς τὸν κύριον· ἔ-
παθλον τῶν ἀγώνων παρ᾽αὐ-
τοῦ δεξαμένη, τὴν τῶν οὐρανῶν
βασιλείαν· ἧς γένοιτο καὶ
ἡμᾶς πάντας ἐπιτυχεῖν· χά-
ριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος

εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων ἀμήν :+

βίος καὶ πολιτεία καὶ θαύ-
ματα τῆς ὁσίας μητρὸς ἡμῶν
Δομνίκας. εὐλόγησον πάτερ :—

Δομνίκαν τὴν τοῦ τιμίου
μοῦ μονὴν φερώνυμον μονὴν ὕμ-
φην χ(ριστο)ῦ· τὴν τῷ θείῳ ζήλῳ
πυρωθεῖσαν· καὶ τῷ θεί(ῳ) λ(όγ)ῳ ἀν-
δρείῳ φρονήματι ἀρρενω-
θεῖσαν· τὴν κατὰ παθῶν ἐ-
ὑπερφυῶς ὡς δεῖ στεύσασαν
καὶ κατὰ δαιμόνων κατὰ κρά-
τος ἀπενεγκαμένην τὰ νι-
κητήρια, πῶς ἂν οἷω περὶ πα-
ρασιωπήσαιμεν· ἢ πῶς ἂν ἀ-
ξίως χρέος ἐξισχύσαιμεν τὰ
καθ' αὐτὴν καθεξῆς, ἅπαντα
μέγιστα πλεονεκτήματα καὶ
τερατουργήματα διηγήσα-
σθαι. εἰ μὴ τοῦ πν(εύματο)ς ἡ χάρις ἡ ἐ-
ταύτην πρὸς πᾶσαν πρᾶξιν
καὶ θεωρίαν θείαν ἀναθενώσασα
ταῖς αὐτῆς ἱκεσίαις ἐπιφοιτή-
σασα· τῷ ἀδρανεῖ μου καὶ τῷ ἀ-
σθενεστέρῳ λόγῳ τῆς ἡμετέρας
ἀμουσίας παράσχοι δύναμιν.
νῦν δὴ τὰ μνημεῖα κέτισκος ἐπικα-
λεσάμενοι· ἐπὶ τὸ τοῦ διηγή-
ματος ἤδη σὺν ὡς εὖ πελάγει

…λήνως, τὸ τοῦ λόγου πηδά-
λιον ἰθύνωμεν. αὕτη τοίνυν
Ἡ σεβασμιωτάτη θ(εο)ῦ θεράπαι-
να Δομνίκα. δίκην ἀστέρος
ἡμῖν μὲν ἐναπολάμπουσα θεω-
ρίας καὶ πράξεως· παρθενίας
τε καὶ θεοσεβείας ἄκρας, ἐνει-
δήλως διέλαμψεν· ἐν τοῖς
χρόνοις τοῦ φιλοσεβοῦς
βασιλεύσαντος μεγάλου Θε-
οδοσίου· τοῦ ἀπὸ τῆς Ἱσπα-
νίας τὸ γένος κατάγοντος.
ἐκ πόλεως μὲν βασιλίδος.
λέγω δὴ τῆς πρεσβυτέρας
ῥώμης ὡρμημένη· ἐκ γο-
νέων δὲ γεννηθεῖσα, θεο-
σεβῶν καὶ φοβουμένων
τὸν κ(ύριο)ν· παρ' οἷς ἱδρωσαν νη-
πιόθεν ἀνατραφεῖσα καὶ
παιδαγωγηθεῖσα ἐν παιδεί-
ᾳ καὶ νουθεσίᾳ κ(υρίο)υ, τὰ ἱερὰ
διδάσκεται γράμματα.
ἤδη δὲ ταύτης προκοψά-
σης ἐν ἡλικίᾳ πνευματικῇ μᾶλ-
λον ἢ σωματικῇ, σοφίας τε
πάσης καὶ συνέσεως καὶ
χάριτος πεπληρωμένης.
ἐννοῶ τε λαβούσης τὸ τοῦ
βίου ἀβέβαιον καὶ ἐπίβλα-
βές· τὸ δὲ τῆς μελλούσης ζω-
ῆς ἀκήρατον καὶ διαρκές·
πεῖς ἐπὶ τούτοις δέ, καὶ τὴν
δεσποτικὴν ἐντολὴν τε-
λέως τερονεκ πληροῦν προ-
αιρουμένης, ἐκεῖ μὲν πρὸ ἑαυτῆ(ς)

κόσμου ἀπαρνήσασθαι καὶ πάν
τα τὰ ἐν τῷ κόσμῳ· καὶ δὴ ταῦ
τα λογιστικῶς ἅμα καὶ σωτη
ριωδῶς βουλευσαμένη· ἀπο
θεμένη τε τὴν γυναικείαν ἀ
σθένειαν· καὶ γνώμην ἀνδρει
όφρονα ἀνελομένη, τῇ τε
κατὰ διάνοιαν ψυχικῇ δια
θέσει συνταξαμένη γονεῦσι
καὶ συγγενέσι τοῖς ἐπὶ τῷ θεραπευτικῷ
καὶ οἰκιδίῳ· προσελθοῦσα τῷ
μετὰ στεναγμῶν καὶ δακρύων
ἱκετηρίῳ ἐκ βαθέων καρ
δίας προσηύξατο· καὶ κατευ
θῦναι τὰ ταύτης διαβήματα
πρὸς σωτηρίας ὁδὸν καὶ τὴν
ἀγαθὴν πρόθεσιν τῆς πεποι
θήσεως καὶ ἐφέσεως αὐτῆς
ἐκπληρῶσαι, λάθρα τῆς
πατρικῆς οἰκίας ὑπεξέρχεται·
καὶ καταλαμβάνει τὸν τοῦ λι
μένος ὅρμον τῆς μεγαλοπό
λεως ῥώμης· ἔνθα καὶ τῷ συ
γκυρήσαν πλοῖον ἀροῦσα πρὸς
τὴν περιώνυμον ἀλεξάνδρει
αν παραχρῆμα μέλλον ἀπαί
ρειν, δι' οὗ ἀποπλεύσειεν αὐτῷ
σὺν προθυμίᾳ πολλῇ· ῥᾷόν
τε τὸν πλοῦν θεοκυβερνή
τως διαπεράσασα, πάλιν
ἱκετηρίοις ἐκέχρητο λιταῖς
πρὸς κύριον· κατάντησιν δοῦ
ναι αὐτῇ πρὸς τὸ ποθούμενον εὔθετον
καὶ ὁρμητήριον σωτηρίου
καταπαύσεως. καὶ δὴ ταῦ

Τα προσερχομένη· ποθου
μένῃ τε καὶ ζητουμένῃ ψυχω
φελοῦς καταγωγίου, ὑποδεί
κνυται αὐτῇ διά τινος ἀνθρώπου
θεοργίας οἴκημα, φρουρί
ου δίκην κατεσκευασμένον·
ἐν ᾧ κατῴκουν παρθένοι τὸν
ἀριθμὸν τέσσαρες· ἑλληνίδας
μὲν τὴν θρησκείαν· ἐπεκρά
τει γὰρ ἔτι τὸ τοῦ ἑλληνικοῦ σέ
βας· τὰ δ' ἄλλα πάντα καλαί·
μετὰ τῆς προσηκούσης ἀκρι
βείας τηροῦσαι· ὡς δ' ἐξ αἰτίας
οὖν τῆς ἐπουρανίου κλήσεως
καὶ παράδοξος· καὶ γνοῦσαι διὰ
τοῦ πνς ὡς δι' αὐτῆς μέλλουσι
τῆς σωτηρίας τυχεῖν· ὑπο
κλιναμένη καὶ αὐτὴ τοῦ αὐ
τῶν φρονήματος εἶναι, εἴ
ξεν ὥσπερ τοῦ τὸ παράδο
ξον τόδε, μένειν σὺν
αὐταῖς. ἐπεὶ δὲ τοῦτο ἐ
πετράπη καὶ παρεχωρήθη
αὐτῇ, διετέλεσε συνδιάγου
σα μετ' αὐτῶν ἐπὶ χρόνον
οὐκ ὀλίγον· ἐν ᾧ οὐ διαλείπουσα
διετέλει λιταῖς καὶ πα
ρακλήσεσι μετὰ δακρύ
ων πρὸς θν προσφέρου
σα νύκτωρ τε καὶ ἡμέραν,
ὑπὲρ τῆς ἐπιστροφῆς καὶ
σωτηρίας αὐτῶν· ἐκέχρητο
δὲ καὶ νουθεσίαις συχναῖς
πρὸς τὰς νεάνιδας, διδά
σκουσα καὶ παραινοῦσα τὰς

τοῦ χ(ριστο)ῦ παραγγελίας ἀμέμ-
πτως τηρεῖν. καὶ πάσας
τὰς ἀρετὰς ἐνεργῶς κατορ-
θοῦσα· καὶ ταῦτα σοφῶς πα-
ραγγέλλουσα καὶ ὑποτιθεμέ-
νη· προετίθει ἑαυτὴν ἔμ-
πρακτον ὑπόδειγμα διδα-
σκαλίας. οὐ φθεγγομένη μό-
νον, ἀλλὰ καὶ σιγῶσα ἀκρι-
βὴς ὁρωμένη παραίνεσις.
Ἐγκρατεία μέν, τὴν δ' ἀσαρκί-
αν τῶν σιτίων μόνων ἐκμι-
μουμένη. ἀγρυπνία δὲ τὸ τῶν
φωστήρων μικροῦ δεῖν ἀκοί-
μητον ἐξεικονίζουσα. καὶ
στάσει μὲν ὁλονύκτω τὸ
ἀκάματον τῆς ἀσωμάτου
φύσεως σχεδὸν παραζηλοῦ-
σα. παννυχίω δὲ δοξολογί-
καὶ ψαλμῳδία, τὸ χερουβι-
κὸν ἀκαταπαύστου μελῳ-
δήματι ἐμφαίνουσα. καὶ
πάσας τὰς λοιπὰς θεραπ-
πούσας ἀρετὰς ὡς ἐμψύχους
χαρακτῆρας ἑκάστοτε προ-
προσώπου αὐτῶν. ἐν ἀνυ-
ποκρίτῳ πίστει καὶ ἀγάπῃ πα-
ρατιθεμένη, πρὸς θαῦ-
μα ξενάκουστον ὡς εἰκὸς
καὶ παράδοξον τὰς καρ-
δίας αὐτῶν ἐκίνησεν. ἀ-
προσωπίας γὰρ κατὰ πᾶσαν
νύκτα καὶ ἡμέραν τῶν με-
λιρρύτων ῥημάτων τῆς μα-
καρίας. καὶ τῶν χειστοτεπῶν

παραινέσεων. καὶ τῶν θεο-
τερπῶν δοξολογιῶν καὶ δε-
ήσεων. τὰς ψυχὰς θεόθεν
ἐλλαμφθεῖσαι καὶ κατανυ-
γεῖσαι. ἐν φόβῳ κ(υρίο)υ συνα-
γνώμονι καρδιῶν διαθέσει,
τὴν πειθήνιον ὑπακοὴν ἐ-
πεδείξαντο. τῆς ἑλληνικῆς
ἀπάτης τὴν πλάνην βδε-
λυξάμεναι. καὶ τῆς δαιμο-
νίου λατρείας τὴν ποίησιν
ποθήσασαι. ἃς ὁρῶσα ἡ
μεγάλη καθηγεμὼν καὶ δι-
δάσκαλος περιποιούσας
ὡς ἡμέρας πρὸς θεοσέβει-
αν. καὶ ταῖς τῶν ἀρετῶν ἀνα-
βάσεσι προκοπτούσας ὡσ-
αύτως δόξης εἰς δόξαν. καὶ
ἐκ δυνάμεως εἰς δύναμιν
ἐγεγήθει τῇ ψυχῇ καὶ ἠγαλ-
λιᾶτο τῷ πν(εύματ)ι. καὶ δὴ παραι-
νέσεσι καὶ συμβουλίαις
ἀγαθαῖς αὖθις χρησαμένη, πα-
θεῖ ταύτας ὁλοτελῶς ἀπαρ-
νήσασθαι πᾶσαν συγγενῆ
συνήθειαν. καὶ τὸν σταυρὸν
ἀραμένας, ἑπομένως κατὰ
τὸ δεσποτικὸν πρόσταγμα,
ἀκολουθεῖν προθύμως ὀ-
πίσω χ(ριστο)ῦ. αἳ δέ, κατὰ πάντα
πειθαρχοῦσαι τῇ μακαρίτιδι·
προθυμίας μὲν εἶχον καὶ
προαιρέσεως ἔπεσθαι θᾶτ-
τον αὐτῇ. καὶ τὰ πρὸς τὰ τέ-
μενα ποιεῖν. ἐδεδίεσαν δέ

πρὸς τὴν ἐγχείρησιν. ἀλλ' αὐ-
τομάτου φασὶ νοσοῦσαι διαρρά-
μαι τὴν τοῦ φρουρίου ἀκρι-
βεστάτην φυλακήν, καὶ ἀσ-
φάλειαν. ταῦτα πεπει-
νομένων αὐτῶν καὶ διαπ-
ορουμένων ἐν ἀμηχανίᾳ
μεγάλῃ. ἡ θαυμασία τοῦ θῦ
θεράπαινα ἐν μηδενὶ μη-
δαμῶς διστάσασα. ἐν α-
στακεῖ τῷ καρδίας διαθέσει,
παραχρῆμα τὸ ὄμμα πρὸς
τὸν ἐν οὐνῷ κατοικοῦντα δι-
άρασα, ἔστη πρὸς εὐχήν. με-
τὰ στεναγμοῦ τε καὶ δακρύων
ἐπικαλεσαμένη τὸν μεγάλοις
σιδηροῖς ἅδου καὶ πύλας
χαλκᾶς συντρίψαντα χν̄.
καὶ τοὺς ἀπ' αἰῶνος πεπε-
δημένους ἐν ἀνδρείᾳ ἐξάγα-
γόντα καὶ συναγείραντα. τὰ
κλεῖθρα τῶν θυρῶν παρευ-
θὺ διαρραγῆναι παρασκευά-
σαι. καὶ ταύτας αὐτομάτως
διανοιχθῆναι πεποίηκεν. ἐ-
ξῆλθεν οὖν ἐκεῖθεν ἀωρί,
τῶν νυκτῶν χαίρουσα καὶ
μετὰ θαύματος δοξάζουσα
τὸν τερατουργοῦντα θν̄
μεγάλα θαυμάσια. καὶ δὴ
καταλαβοῦσα τὸν καλούμε-
νον φάρον. εὑροῦσα τε πλοῖ-
ον ἀποπλεῖν παραυτίκα μέλ-
λον πρὸς τὴν πανευδαίμονα
βασίλειον μεγαλόπολιν.

λέγω δὴ τὴν Κωνσταντίνου, ἀ-
μηχανήσασαν ἐν αὐτῷ. ἀποπλεύ-
Σαντος τοίνυν τοῦ πλοίου καὶ
κατὰ τὸ μέσον τοῦ πελάγους
ποντοπορούντος, συνέβη
παραχρῆν κλύδωνος μεγάλου
διεγερθῆναι ἐν τῇ θαλάσ-
σῃ, ὥστε τὸ πλοῖον ὑπὸ τῶν
κορυφουμένων κυμάτων
καλύπτεσθαι. καὶ μέλλειν αὐ-
τὸν δρόμον ὅσον οὔπω τῷ βυ-
θῷ παραπέμπεσθαι. ἡ τοί-
νυν φιλόθεος καὶ φιλότε-
κνος μήτηρ ὁμοῦ καὶ διδασκά-
λος δομνίκα. ὑπὲρ τῶν ἰ-
δίων τέκνων πάνυ φρον-
τίζουσα καὶ ἀγωνιῶσα, μή-
πως τε δισταγμός τις ἀμφιβο-
λίας καὶ διψυχίας διαλο-
γισμοὺς ἐν ταῖς καρδίαις αὐτῶν
ὑπεισελθών, πρὸς ἀπόγνω-
σιν ἀνελπιστίας ἐξ ὑποβο-
λῆς τοῦ πονηροῦ δαίμονος
ταύτας ὑποκλέψῃ. προθυ-
μοποιοῦσα τε καὶ παραθαρ-
ρύνουσα, θαρρεῖν παρηγγύα
καὶ μὴ φοβεῖσθαι. τὸν γὰρ
παρόντα φοβερὸν κλύδωνα
συμβεβηκέναι ἔφασκεν αὐ-
ταῖς πρὸς κρείττονα ἐπίσκεψιν
τῶν ψυχῶν αὐτῶν. καὶ δό-
ξαν τοῦ τῶν θαυμασίων θῦ.
Καὶ ἅμα ταῦτα λέγουσα, λαβοῦ-
σα ἔλαιον ταῖς αὐτῆς χερ-
σίν. τρωειδῶς ἐν τῇ θαλάσ-

σῃ διέραινε κατὰ τῶν ἀγρί-
ων κυμάτων. τὸ φοβερὸν ὄ-
νομα Χριστοῦ τοῦ περιπατήσαντος
ἐπὶ θαλαττίων νώτων ὡς
ἐπὶ ξηρᾶς ἐπικαλεσαμένη.
καὶ παραχρῆμα ψαλμικῶς
εἰπεῖν ἐσίγησεν ἡ θάλασσα
κατεστορέσθη τὰ κύματα. ὁ
τε κλύδων ἐκόπασε. καὶ ἡ με-
γίστη κατάστασις ἐκείνη, ἔστη
εἰς αὔραν. αἰσίου τε τοῦ
πλοὸς εὐμοιρήσασαι. καὶ
ἀνέμων ἐπιτηδείων κατὰ
πρύμναν πνεόντων λαχοῦ-
σαι, δι' ὀλίγων ἡμερῶν τὴν
βασιλίδα μεγαλόπολιν
κατέλαβον. μικρὸν δὲ φθά-
σαντος τοῦ πλοίου προσορ-
μίσαι τῷ λιμένι, ἀλλ' ἔτι δια-
στημα ἱκανὸν ἀπέχοντος, ἐ-
πιφαίνεται κατ' ὄναρ μὲν τῷ
εἰωθότως τότε τῷ ἀρχιερατι-
κῷ θρόνῳ τῆς βασιλίδος
προεδρεύοντι. ἐν σχήματι
λευχειμονοῦντος νεανίσκου.
κατὰ πλὰς οὕτως ὅθεν ἅγιος
ἄγγελος. προτρεπόμενος
τὸ τάχος κατελθεῖν ἐν τῷ
καλουμένῳ Ἰουλιανοῦ
λιμένι. καὶ προσυπαντῆ-
σαι τὴν ἀπόστολον τοῦ Χριστοῦ ἀμνά-
δα Δομνίκαν ἐν πλοίῳ πα-
ραγενομένην μετὰ τῶν ἀμ-
μων ἁρμίζων αὐτῆς. προσ-
λαβέσθαι τε ταύτας, καὶ Χριστοῦ

τῇ ἐκλεκτῇ συναριθμηθῆναι
ποίμνῃ. ἐκτρέφοντα τὰς
ψυχὰς αὐτῶν ἄρτον ῥημάτων
πνευματικῶν. αὐτίκα τοίνυν
Ἀναστὰς, συναθροίζει μὲν τὸν
ὑπ' αὐτὸν κλῆρον. διηγεῖται
δὲ τὰ τοῦ παραδόξου ὁράμα-
τος, καὶ σὺν αὐτοῖς κατέρ-
χεται μετὰ λιτῆς εἰς τὸν δη-
λωθέντα λιμένα. ἔνθα
παρευθὺ τῆς νηὸς ἀποβᾶσαν
τὴν μακαρίαν εὑρών. σε-
βασμίως ἅμα καὶ τιμίως
προσυπαντήσας ἠσπάσα-
το. καὶ πρὸς τὴν ἱερὰν ἐκκλη-
σίαν εἰσήγαγεν. ἐπηρώτη-
σέ τε αὐτὴν τὴν αἰτίαν τῆς
ἐπιδημίας καὶ ὅθεν ἀφίκε-
ται. διηγησαμένης αὐτῆ(ς).
καὶ τῆς ἀρχικῆς ἐπιστασίας
καὶ ὀπτασίας ἧς ἑώρακεν
περὶ αὐτῆς, τὸ θαυμάσιον.
ἡ δὲ μακαρίτης Δομνίκα πάν-
τα τὰ κατ' αὐτὴν ἐπιτόμως
διηγήσατο τῷ πατριάρχῃ.
καὶ περὶ τῶν μελανίδων ἀνή-
γγειλε, τὰ παρακολουθήσαν-
τα θεοῦ προνοίας ἔργα παρά-
δοξα. ὅπως ἑλληνίδες τὸ
πρὶν οὖσαι τῆς πλάνης ἀπέ-
στησαν. καὶ τῇ τῆς ἀληθείας
ὁδῷ καὶ πίστει προσέδραμον.
ἃς δὴ κατηχήσας κατὰ τὴν ἀπο-
στολικὴν παράδοσιν, τῆς
τοῦ θείου λουτροῦ ἀναγεν-

μήσεως καὶ ἀποθέσεως ἠξί-
ωσε· τὴν μὲν πρώτην αὐ-
τῶν, μετὰ τὸ μονομάχους δωρο-
θέαν· τὴν δὲ δευτέραν ἀν-
θέαν· τὴν τρίτην γενομένην·
καὶ τὴν τετάρτην τιμοθέαν·
Ἐπὶ ταύτῃ τῇ θεοδωρίτῳ ἀνα-
γεννήσει τῶν μακαρίων παρ-
θένων· εὐφροσύνης μὲν ἐ-
πλήσθη πολλῆς καὶ χαρᾶς
μεγάλης πᾶσα ἡ ἐκκλησία·
ἐξαιρέτως δὲ μᾶλλον ἠγαλλί-
ατο σηκὸς τῶν σεκαὶ γεγηθυῖ-
α ἡ τρισόλβια μήτηρ αὐτῶν
καὶ ὁ δῆμος καὶ διδάσκαλος·
πεπληρωμένην ὁρῶσα τὴν
πεποίθησιν τῆς ἐπιθυμί-
ας αὐτῆς· καὶ τὸν πόρον τῆς
πανσόφου διδαχῆς αὐτῆς
προκόπτοντα καλῶς καὶ πλη-
θυνόμενον· διεδόθη δὲ θᾶτ-
τον ἡ φήμη τῆς λαμπρᾶς
πολιτείας αὐτῆς καὶ τῶν
θαυμάτων ἡ δύναμις, καθό-
λην τὴν βασιλεύουσαν· καὶ
πάντες τοῖς προσήκουσιν
αὐτῆς ἐρωτῶσι· πολλοὶ
ἀσθενείαις συνεχομένους προ-
σέφερον· τιθέντες παρὰ τοὺς
πόδας αὐτῆς· ἡ καὶ ἐπ' αὐτί-
κα προσευχομένη πρὸς κύριον
κατάλληλον ἑκάστῳ τὴν θερα-
πείαν παρείχετο· ἡ γοῦν
Τοσαύτη λαμπρότης τῆς
τῶν ποικίλων θαυμάτων

ἐπιρροῆς, καὶ μέχρι τῶν
βασιλικῶν ἀκοῶν διέδρα-
με διαλαλουμένη· καὶ γὰρ ὁ
αὐτὸς ὁ φιλόχριστος βασιλεὺς
θεοδόσιος, σὺν τῇ βασιλίδι
καὶ πάσῃ τῇ συγκλήτῳ πα-
ραγενόμενος πρὸς αὐτήν· καὶ
πάντες τῆς παρ' αὐτῆς εὐλογί-
ας καὶ χάριτος μετέλαβον·
πλήθους τε πολλοῦ συναθροι-
ζομένου περὶ αὐτήν· τῶν μέν,
θεραπείας χρῄζόντων· τῶν
δέ, βλέπειν ἐπειγομένων τὴν
τῆς ἰάσεως ἀξιουμένους·
καὶ τῶν ἄλλως παραγενομένων
καὶ εὐλογεῖσθαι βουλομένων
ἦν ἰδεῖν στενοχωρεῖσθαι τὸν
χῶρον ἔνθα τὸ καταγώγιον ἡ
μεγάλη δομνίκα πεποίητο·
μάλιστα, τῶν ἀπὸ πνευμάτων
πονηρῶν ἐνοχλουμένων χα-
λεπῶς, πειρατοτέρως
ὄχλον ποιούντων· καὶ ταῖς μα-
νιώδεσι κραυγαῖς μετὰ μεγά-
λης συντριβῆς ἀποδυρομέ-
νων· μαστιγούμενα γὰρ ταχέ-
ως τὰ πνεύματα τῇ δυ-
νάμει τῶν ἀσωμάτων τῆς ἐνεργού-
σης ἐν αὐτῇ θείας χάριτος,
τὴν βίαν οὐ φέροντα, βο-
ῶντα μεγάλῃ φωνῇ, καὶ τὴν
οἰκείαν κακουργίαν ἀπο-
κλαιόμενα, θᾶττον ἐξήρ-
χοντο· τὴν τοσαύτην οὖν
ὄχλησιν ἐπὶ πολὺ μηκέτι

φέρουσα καὶ περιφανὴς ἡ μακα-
ρία, τῆς ἡσυχίας δὲ τὸν
ἥδιστον μετὰ διώκουσα καὶ
συνήθειαν. τόπον ἐπιτήδει-
ον πρὸς τὸ ποθούμενον ἐπι-
ζητεῖ, πρὸς ὃν τὴν ἐπιθυμί-
αν αὐτῆς, ἐμφαντιοῦ κυα-
να τεθεῖσα. καὶ δὴ θεόθεν
ὑποδείκνυται ταύτῃ χῶ-
ρος ἀνακεχωρημένος ἀοί-
κητός τε καὶ ἔρημος. ὑπερ-
μήκει ἐπὶ τῶν ἐπὶ πολλὰ σ-
των δαιμονίων προσοι-
φευκτὸς καθιστάμενος·
ἐπὶ δέ, καὶ διὰ τοῦ ἀναιρου-
μένου ἐκεῖσε κακούργου
καὶ καταδίκου, βδελυ-
κτὸς προδεικνύμενος. ἔν-
θα καταγώγιον ἡσυχα-
στικὸν κατασκευάσασθαι καὶ αὐ-
τὴ τῷ πατριάρχῃ προσεκλιπά-
ρει. ὁ δέ, ἀπηνήνατο,
πρὸς βραχὺ τὴν αἴτησιν ἐκ-
πληρῶν· προβαλλόμε-
νος τὴν τοῦ τόπου ἀχρειότη-
τα. καὶ χαλεπὸν τήν τε πρό-
κατοίκησιν σὺν ἀλλ' ἐπὶ τῇ
μέχρις ἀνέμαθεν ἱκετείαι
ὀμφῆς κινηθῆναι τὴν μα-
καρίαν, πρὸς τὴν τοιαύτην
ἐγχείρησιν. ἀναφέρει
Ποιμὴν περὶ τούτου τῷ ἀοιδίμῳ
βασιλεῖ Θεοδοσίῳ· καὶ
αὐτὸς αὐτίκα κελεύει κατὰ
τὴν αἴτησιν αὐτῆς. μετὰ

πάσης σπουδῆς οἰκοδομη-
θῆναι αὐτῇ ἐκεῖσε εὐκτήρι-
ον οἶκον, ἐπ' ὀνόματι τοῦ
μεγάλου προφήτου Ζαχαρίου·
οὗ κατὰ μίμησιν αὐτὴ προ-
φητικῶς ἐμπνεομένη, προ-
αγορεύειν καὶ προβλέπειν
τὰ ἄδηλα καὶ τὰ μέλλοντα
κατηξίωται. δι' ὀλίγων
οὖν ἡμερῶν τελειωθέντος
τοῦ οἰκοδομήματος σὺν τῷ
ἱερῷ προφήτῃ. πολυχει-
ρίας ἐπιμελείᾳ καὶ σπουδῇ
ἐπιτεταγμένῃ· ἐκ (…)
εία τε βασιλικῇ καὶ προ-
θυμίᾳ χρημάτων δαψιλῆ· πα-
ρεκάλει πάλιν τὸν πανίερον
πατριάρχην τὸν ἐγκαινισμὸν
ἐπισπεύδουσα. καὶ ὅς, αὐ-
τοῖς ἀναφέρει τὰ περὶ τῶν
ἐγκαινίων τῷ βασιλεῖ·
καὶ δίδοται ζωγραφεῖν κατὰ
κέλευσιν αὐτοῦ γενέσθαι,
ταῦτα· κατὰ τὴν εἰκοστὴν
ἕκτην τοῦ Ἰαννουαρίου μη-
νός. ἡ δὲ τούτων πρᾶγμα
τὸ ἔμφορος δομηνικα. θεό-
θεν ἐλλαμφθεῖσα τὸν διανοί-
ας τὸν νοῦν. καὶ τὸ μέλλον συμ-
βαίνειν ἤδη προεγνωκυῖα,
ἐσπούδαζε τοῦ πατριάρχου τῇ εἰκο-
στῇ τε τετάρτῃ μᾶλλον τελε-
σθῆναι τῶν ἐγκαινίων σύνα-
ξιν, καὶ μὴ τῇ εἰκοστῇ ἕκτῃ.
τοῦ δέ, προσθεμένου τὴν

αὐτῇ τάχα δεινὴν ἐπισπεύδει
τὴν σάλαξιν τὴν ὡρισμένην
ἡμερῶν οὐκ ἀναμένουσα, ἔ-
φησεν ἡ ὁσία· βιβλία πολλὴ
σῶμ' ἔχεσθαι· ὡς ἤδη προβλέ-
πουσα τὴν μέλλουσαν κατὰ τὴν
δε τὴν ἡμέραν, τῇ πόλει ἐπι-
φέρεσθαι φοβερὰν ἀπειλήν·
ἧς τοῖς θεοπνεύστοις ῥήμασι
πεισθεὶς, τὴν ἑορτὴν τῶν
ἐγκαινίων καὶ τὰ κατάθε-
σιν τῶν τιμίων λειψάνων,
τῇ εἰκοστῇ τετάρτῃ τοῦ ῥηθέν-
τος μηνὸς ἐποίησεν· ἐμὴ καὶ
τὸ ἱερατικὸν σχῆμα τῆς ἐν
χῷ διακονίας διδοῦσιν αὐ-
τῇ· περιεσπῶσαν κατασπάσαι
αὐτήν· πασῶν τῶν προσ-
ερχομένων ψυχῶν σώζεσθαι δι'
αὐτῆς ἐν τῇ μονῇ· κατὰ δὲ
τὴν προφητικὴν αὐτῆς
προαγόρευσιν· γέγονε μετὰ
δύο ἡμέρας, ὁ φοβερὸς
φόβος ἐκεῖνος· ὡς παρὰ
πάντας συνθῆναι τὸν ἐνοικοῦν-
τα τῇ μεγάλῃ πόλει λαόν,
διὰ τῶν εὐπροσδέκτων προ-
κυ προσοχῶν αὐτῆς· ἡ ἡ-
Ὢ ἰδεῖν τὴν τῆς ὁσίας ἱδρῶ-
μάνδραν, ὡς πῦρ συνδια-
φαίνεσθαι τὸν ἐν μέσῳ πλη-
γούσας πάντας τοὺς ἐκ κλύδω-
νος κοσμικοῦ σώζεσθαι βου-
λομένους πρὸς ἑαυτὴν ἐ-
φελκομένην· καὶ τοὺς μὲν,
ἐκ ναυαγίου δαιμονικῆς ἐ-
νεργείας ἐνοχλουμένους πα-
ραδόξως ἐκλυτρουμένην·
τοὺς δὲ, ἐν διαφόροις
νοσήμασιν ἐμπαθείαις τα-
ραττομένους, θείοις φαρμά-
κοις δεξιουμένην· ἀγγελικῶς
τε συντελοῦντα φάναι· πᾶ-
σαν νόσον καὶ πᾶσαν μαλα-
κίαν ἐν αὐτῇ θεραπευομέ-
νην· ὁ γοῦν ἀρχέκακος
Λῃστὴς καὶ τῶν καλῶν ἀπάν-
των βιεδράστης σατανᾶς·
ἄρμαι δεία τῇ συνήθει χρη-
σάμενος, λῃστρικαῖς ἐπι-
βουλαῖς ἐνεδρεύειν πει-
ρᾶται τὴν ὑπὸ θεοῦ φυλατ-
τομένην τιμίαν ἀμνάδα
χυ̃· ἀλλὰ θαυματουργεῖται
τι κἀνταῦθα τῶν προγεγο-
νότων θαυμάτων οὐκ ἔλατ-
τον· ὡς γὰρ ἀναίδην ἐπει-
σῆλθεν εἰς τὴν μονὴν τῶν
κακούργων λῃστῶν ἡ συμμο-
ρία, τά τε θεῖα ταμεῖα
κατεσκόπουν ἀφαρπά-
σαι τινὰ τῶν ἱερῶν κειμη-
λίων διενθυμούμενοι,
ἀορασίᾳ παρὰ τοῦ δικαίου
κεκράτηνται· κατὰ περι-
τε οἱ μὲν ὁδοῖς καὶ ἐπὶ
ἐλαιαίου λυπήσαντες
ἀνομώτατοι· καὶ διαμέ-
νον ἐπὶ τοῦ τόπου κατεχό-
μενοι ὥσπερ τινὲς πεπε-

σμένοι χεῖρας καὶ πόδας·
διατελοῦντες ἂν ἐμπέρῃ τι
καὶ ἀκίνητοι· ὅπερ παρά-
δοξον ἦν ἀρεία θεοῦ θεράπαι-
να κατιδοῦσα, δεήσεις καὶ
ὑπὲρ αὐτῶν προσέφερε·
καὶ τούτῳ τὸ χειρομήνυτον
ἦθος ἐνδεικνυμένη· καὶ οὕ-
τως πολλὰς παραινέσεις πρὸς
ἀποτροπὴν τῆς κακουργίας
αὐτοῖς προσενεγκοῦσα, πα-
ρεσκεύασεν ἀβλαβεῖς
ἐξελθεῖν· ἀλλ' ἁπλῶς δὲ τοὺς
νοσηλευομένους ποικίλαις
ἀρρωστίαις τῆς καταλλήλου
θεραπείας ἡ μακαρία τυχεῖν
ἠξίου, ἀλλὰ καὶ τοὺς πε-
ριεργίαις γοητικαῖς κεκα-
κωμένους διορατικῶς ἐλεγ-
ματικὰ ἀνανοοῦσα, τῆς ἐκ
τικούσης λώβης ἀπήλλα-
ττε. καὶ γάρ ποτε γυνή τις
Τῶν ἐμφανῶν τῶν συγκλητι-
κῶν. παραγενομένη πρὸς
τὸ εὐλογηθῆναι παρ' αὐτῆς,
ὠχρὰ τὴν τοῦ προσώπου ὄψιν
καταπεπονημένη, καὶ τὸν
παντὶ σαρκίῳ ἐκτετηκυῖα,
τὴν αἰτίαν τῆς προσούσης
ἀνωμαλίας καὶ ταλαιπω-
ρίας ἐρωτηθεῖσα· ἐπειδὴ
ἐπιψαμένη ἔλεγεν ἔχειν κα-
τὼν οἰκιακῶν θεραπόντων
αὐτῆς, ὡς φαυλότητι προ-
πων περιφαρμακεῦσθαι καὶ

πεπειρᾶσθαι πρός τινος
αὐτῶν, διὰ προσευχῆς ἡ ὁ-
σία τὸν τοῦτο κακουργήσαντα
ἐφανέρωσε· περικεῖσθαι
οὖν τὰ τῶν εἰς θεραπείαν
ἐπὶ τῆς οἰκίας αὐτῆς κατει-
λημμένων· οὓς κατ' ἰδίαν
λαβοῦσα, ἐλέγξασά τε σοφο-
φρόνως καὶ ἐπιτιμήσασα
παιδαγωγικῶς· καὶ μειλίχως
παραινέσασα, διορθώσα-
σθαι διορθώσασθαι τοῦ λοι-
ποῦ παρεσκεύασε· τὴν τε
κυρίαν αὐτοῦ παρηγόρησε
δεσποτικοῖς παραγγέλμα-
σι προτρεψαμένη, κακὸν
αὐτῇ κακοῦ μηδαμῶς ἀπο-
δοῦναι. ἔπειθ' οὕτως διαρ-
ραγῆναι προστάξασα τὸ πρὸς
κεφάλαιον ὅπερ εἰς ὑπουρ-
γίαν αὐτῆς ἐπεφέρετο· εὑ-
ρέθησαν ἔνδοθεν πέταλα
τινὰ περιέργοις γράμμασιν
ἔχοντα τὰ πανουργήματα τεχνικῇ
κεχαραγμένας. ἐλευθερω-
θεῖσα τοίνυν αὕτη τῆς μα-
γείας ἡ γυνή, τῷ σωτῆρι
εἰθῶν καὶ τῇ αὐτοῦ θεολή-
πτῳ θεραπαίνῃ τὴν πρέπου-
σαν εὐχαριστίαν ἀπέδωκε·
καὶ τὸν τοῦτο κατεργασά-
μενον δόμα οἱ διπλασί-
οις τῶν προώνην δωρησαμένη,
ἀσμένως ἐδέξατο. κα-
τὰ τὴν τῆς μεγάλης πεδρο τὴν

καὶ παραινέσεων. οὐκ ἐνθαυ-
μασι δὲ μόνον καὶ προγνώ-
σεσί τε καὶ ἰάσεσι τὸ ἐπίση-
μον ἔσχεν, ἡ περιβόητος αὕτη
τερατουργός. ἀλλὰ καὶ ἐν ἀ-
ποκαλύψεσιν ἐξαισίαις· θει-
οτέραις τε ἐλλάμψεσι καὶ ξε-
νοτέραις ὀπτασίαις, τὸ
μεγαλόδωρον κλέος ἀπη-
νέγκατο. δηλώσει δὲ σαφέ-
στερον περὶ τούτων τὸ
ἑξῆς ῥηθησόμενα. τῆς λαμ-
πρᾶς γὰρ καὶ φωτοφανοῦς πα-
νηγύρεως τῶν ἁγίων θεο-
φανίων τελουμένης ἐν τῇ
μονῇ. μετὰ τὴν συμπλήρωσιν
τοῦ κανόνος καὶ τῆς θείας μυ-
σταγωγίας, ἐξῆλθον πᾶσαι αἱ
ἀδελφαὶ σὺν τῇ θαυμασίᾳ
μητρὶ ἐπὶ τὸ δὲ πλήθει τὸ ζωη-
θῶς εὐλογούμενον ὕδωρ·
ἐπάρασα δὲ τὰς χεῖρας
εἰς τὸν οὐρανόν· ἔστη καθικετεύ-
σα τὸν κύριον μετὰ δακρύων, ὥσ-
τε τὴν χάριν τοῦ παναγίου
πνεύματος ἐπιφοιτήσασαν καθα-
γιάσαι τὰ ὕδατα. μετὰ
δὲ τὴν προσευχὴν ὡς παρ-
ένθους γενομένη ἐπὶ μίαν
σχεδὸν ὥραν ἐνεῶς ἵστατο
τὸν ἁγιασμὸν ὁπόθεν ἀπεκ-
δεχομένη τοῦ ὕδατος.
πρὸς ἣν ἡ παροῦσα πλη-
θὺς ἀποβλέπουσα, σιωπῇ
πολλῇ κατείχετο τὸ ἀποβη-

σόμενον ἀναμένουσα. ἡνί-
κα δὲ τὸ παράδοξον τῆς ὁ-
ράσεως ἡ μακαρία ἐθεά-
σατο, ἐν ἀγγέλου μορφὴν
καταφοιτήσαντα τὸν παρά-
κλητον. ῥάβδον ἐπιφερό-
μενον καὶ ἐν αὐτῇ τὰ ὕδα-
τα ταράξαντα, παρευθὺς
μετὰ χαρᾶς μεγάλης πε-
σελθοῦσα ἐνέπλησε. καὶ τοῖς
παροῦσι μετ' εὐφροσύνης
τοῦτο ποιεῖν προετρέψατο.
διηγησαμένη πᾶσι τὸ ἀπόρ-
ρητον τῆς οὐρανόθεν ἐπιφα-
νείας αὐτῆς θείας ἐπιφοι-
τήσεως. μεθ' ἡμέρας δέ τι-
νας χρείας τινὸς ἀπαιτού-
σης, ἀπῄει μετὰ τὴν μεγάλην τῶν
τὴν ὑγιῶσαν εἰς ἄγριον, εἰ-
σελθεῖν ἐν τῷ κειμηλιαρχείῳ·
καὶ ἐν τῷ ἀνοῖξαι τὰς θύρας ἔ-
νθα τὰ ἅγια ἀπέκειντο, ἐ-
ξῆλθεν ἐκεῖθεν φωνὴ πρὸς
αὐτὴν φάσκουσα· νῦν θεοδό-
σιος ὁ βασιλεὺς ἐν εἰρήνῃ
τελειοῦται. καὶ κλαύσασα
πικρῶς, ἐξῆλθεν ἐντεῦ-
θεν ὀδυρομένη. διηγήσα-
τό τε ταῖς σὺν αὐτῇ παρθένοις
τὴν ἐπελθοῦσαν αὐτὴν τῆς
ἀποκαλύψεως φωνήν. καὶ
συνεχύθησαν ἅπασαι λυ-
πούμεναι. καὶ γὰρ ἦν ὁ φε-
ρώνυμος ... βασιλεὺς
μεγάλως συγκροτῶν τὰ μονα-

στήκει ὁμ᾽ ἐν πάσαις ταῖς ἀναγκαί-
αις χρείαις. σεβαζόμενός τε
καὶ τιμῶν τὴν ὁσίαν, ὡς ἀπο-
τελουν θεῷ. καθὼς δὲ παρὰ
Τῶν κατὰ καιροὺς ἱστορησάν-
των τὰς τῶν βεβασιλευ-
κότων πράξεις ἔγνωμεν.
λέγω δὴ τὰς πεπραγμένας
ἐπὶ Ζήνωνος καὶ βασιλί-
σκου κατὰ τῆς ὀρθοδόξου
πίστεως καινοτομίας. διὰ
δὲ ἀναγκασθῆναι συμβέβη-
κε τοὺς ἐν σπηλαίοις καὶ ὄ-
ρεσι καὶ ὀπαῖς τῆς γῆς οἰ-
κοῦντας πρὸς παρρησιασθῆ-
ναι. καὶ πρὸς τὴν κοινὴν πάν-
των μετὰ τὴν ἐκκλησίαν πα-
ραγενέσθαι. τὴν ἀποστασίαν
τῆς βλασφημίας οὐκ ἐνε-
γκόντας. ὥσπερ τὸν μέγα
σημειοφόρον Δανιὴλ ἐκ
τοῦ στύλου κατελθεῖν παρε-
βιάσαντο. οὐ κατὰ δρᾶσιν δὲ
μόνον, ἀλλὰ καὶ γνώμαις καὶ
εὐλαβείᾳ πολλῇ συζώσας.
βίῳ τε πάνυ εὐπρεπεῖ διαλάμ-
πουσας καὶ θαύμασι. ταὐτὸ
τοῦτο ποιεῖν κατηναγκάσθη-
σαν. οὕτως καὶ ἐπὶ ταύτῃ τῇ τρι-
σολβίᾳ μὲν καὶ θαυματουρ-
γῷ Δομνίκα συμβέβηκε
πρὸς αὐτὴν. παραγενόντων τι-
νες. καὶ παρεβιάζοντο ὑπ-
εξελθεῖν καὶ πρὸς τὴν βασι-
λίδα παραγενέσθαι, ὥστε

παραινέσαι καὶ συμβουλεῦ-
σαι αὐτῇ τὰ χρηστὰ καὶ σωτή-
ρια. ἡ δὲ, προγνοῦσα τῷ πνεύματι
Τὴν σκληρότητα τῆς ἀπερα-
μένος καρδίας αὐτῆς, οὐ-
κ ἠνέσχετο ἀπελθεῖν· ἀπο-
στεῖλαι δὲ μᾶλλον ἔκρινεν αὐ-
τῷ τὴν δευτερεύουσαν τῆς
κατ᾽ αὐτὴν μονῆς τοὔνομα
Δωροθέαν. ὑφ᾽ ἑτέρων ὑπο-
κεατουμένην. διὰ τὸ συγγενῆ
φησὶν εἶναι ἐξ ἀγώνων καὶ
κόπων πολλῶν. καὶ μὴ δύ-
νασθαι ἀνακάμψαι καὶ θεά-
σασθαι τὰς κοσμικὰς φαντα-
σίας. ἥτις ἀπελθοῦσα ἐν τοῖς
βασιλείοις. καὶ μηνύσασα
τὴν παρουσίαν αὐτῆς, οὐ-
κ ἐδέχθη παρὰ τοῦ βασιλί-
σκου. ἀλλ᾽ ἀποσφαλεῖσα διὰ
κενῆς. ἀνεχώρησεν ἐκεῖθεν.
πάντων ἀκουόντων ὡς πρὸς
αὐτὴν ἀποτεινομένη, προ-
φητικῶς ἀπεφθέγξατο· ὥσ-
περ αὐτῇ φησὶν· ἀνόνητον
τὸν κόπιον τὸν καὶ κόπον
τῶν ἐμῶν ποδῶν γενέσθαι
πεποίηκας, οὕτω καὶ σοῦ
κρουούσης τὰς θύρας τῆς
μεγάλης ἐκκλησίας καὶ
οὐκ ἀνοιγήσονταί σοι. καὶ
τὸ ῥῆμα τοῦτο ἔργον ἐγένε-
το. τελευτᾷ γὰρ μετ᾽ οὐ πο-
λὺ ἡ βασίλισσα, μὴ κατα-
ξιωθεῖσα εἰσελθεῖν εἰς

τὴν καθολικὴν ἐκκλησίαν.
Ὅτε γοῦν ὁ καιρὸς ἤγγικε τῆς
πρὸς χριστὸν ἀναλύσεως τῆς
κυεὶων ὑμῶν Δομνίκας, ἐ
κάλεσε τὴν ῥηθεῖσαν Δωρο
θέαν καὶ παρέθετο αὐτῇ τὰς
ἐν χριστῷ ἀδελφὰς καὶ πάντα
τὰ ἐν τῇ μονῇ, διάδοχον ταύ
την τῆς μονῆς καταστήσασα.
προσηύξατο δὲ κατενώπιον
πασῶν, οὕτως εἰποῦσα· Κύριε
τῶν δυνάμεων ὁ θεὸς ὁ μέγας.
ὁ θαυμαστὸς ἐν βουλαῖς καὶ
φοβερὸς ἐπὶ πάντας τοὺς πε
ρικύκλω σου· ὁ φυλάσσων
τὴν διαθήκην καὶ τὸ ἔλε
ός σου τοῖς ἀγαπῶσί σε· ὁ πᾶ
σι τὴν ἄφεσιν καὶ ἀνακαίνι
σιν παρεχόμενος τοῖς ὑπὸ
τῆς ἁμαρτίας παλαιωθεῖσι
διὰ τοῦ μονογενοῦς παιδός
σου Ἰησοῦ· ὁ σοφίζων τυφλοὺς
καὶ κατερραγμένους ἀνορθῶν·
ὁ δικαίους ἀγαπῶν καὶ προση
λύτους φυλάττων· ὁ ἐξα
γαγὼν ἡμᾶς ἐκ σκότους καὶ
σκιᾶς θανάτου· καὶ κατα
λάμψας τὸ φῶς τῆς σῆς ἐπι
γνώσεως ἐν ταῖς καρδίαις
ἡμῶν διὰ τοῦ χριστοῦ σου· λέγον
τος τοῖς ἐν δεσμοῖς ἐξέλθα
τε καὶ τοῖς ἐν τῷ σκότει ἀ
νακαλύφθητε· ὃς ἐπὶ τῆς
γῆς ὀφθεὶς καὶ τοῖς ἀνθρώποις
συναναστραφείς, τοῖς δεξα

μένοις αὐτὸν ἐξουσίαν δέδω
κε τέκνα θεοῦ γενέσθαι διὰ λου
τροῦ παλιγγενεσίας· ἀφαρ
πάσας ἡμᾶς τῆς καταδυνα
στείας τοῦ ἀντικειμένου· σὺ
πρὸς τὴν ἑαυτοῦ βασιλεί
αν μετακαλέσας, σὺ δέσποτα
τῶν ἁπάντων παρατίθημι
τὴν μακαρίαν ταύτην· καὶ
τὰς σὺν αὐτῇ νῦν κατοικούσας
ψυχάς· καὶ τὰς μετέπειτα
μελλούσας κατοικεῖν· διὰ τῶν
ἀπροσδέκτων πρεσβειῶν
τῆς ὑπεραμώμου δεσποίνης
ἡμῶν θεοτόκου· καὶ τοῦ πανευφή
μου σου προφήτου Ζαχαρίου.
τήρησον αὐτὰς ἐν τῷ ὀνό
ματί σου· στήριξον ἐν τῇ πί
στει σου· μὴ δὲ λελησάτω αὐ
τὰς δόλος διαβολικῆς
ἀπάτης· μὴ ὑποσκελισά
τω αὐτὰς ἐνθυμήσεις πονηρὰ
ἐμβάλλουσα πρὸς παγίδα
κοσμικῆς ἐπιθυμίας· ἀλλ'
ἀξίωσον αὐτὰς τῇ σῇ παντοδυ
νάμῳ δεξιᾷ δωρούμενος,
εὐδόκησον τὸν καλὸν ἀγῶ
να ἠγωνισμένας· καὶ τὸν τῆς
ἀσκήσεως δρόμον τελειού
σας, καταπαύσειν εἰς τὰς
αἰωνίους σου μονὰς καὶ σκη
νάς. Εἶ σου δέομαι δέσποτα
Τὰ φίλανε, μὴ συγχωρήσῃς
ψυχὴν διεφθαρμένην τῷ σώ
ματι, σωθῆναι μηγῆμαι τὴν

...μαι μήπω ταύτῃ τῶν ἀμνάδων σου ποίμνῃ· μὴ καταφλέξῃ πῦρ ὀργῆς τὸν οἶκον σου τοῦτον ὃν ἡγίασας· μὴ πνεῦμα πονηρὸν προσψαύσει τοῖς τῆς σῆς μάνδρας ὀΐοις· καὶ τὴν βασιλεύουσαν πόλιν ὡς σοὶ ἀνακειμένην, ἀσινῆ ἀπὸ παντὸς διαφύλαττε· διατήρει ἀπὸ σεισμοῦ καταπτώσεως· λυτρούμενος αὐτὴν ἀπὸ λιμοῦ· λοιμοῦ καταποντισμοῦ· πυρὸς μαχαίρας· ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου· τὰ σκῆπτρα τῆς εὐσεβοῦς αὐτῆς βασιλείας κραταίωσον· ὑπόταξον ὑπὸ τοὺς πόδας τῶν βασιλευόντων πάντα ἐχθρὸν καὶ πολέμιον· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν. ταῦτα προσευξαμένη

Ν

Ἡ καὶ συντάξαμένη πάσῃ τῇ ἀδελφότητι, τὰς μὲν ἄλλας ἀπέλυσε· τῇ δὲ Δωροθέᾳ λέγει· παρακαλῶ σε ἀδελφή, προσκαρτέρησόν μοι μικρὸν μετ' ἐμοῦ· ὅτι ὁ δεσπότης χρείαν μου ἔχει· ἡ δέ, νομίζουσα περὶ τοῦ βασιλέως τοῦτο εἰρῆσθαι παρ' αὐτῆς, ἀπεκρίνατο· καὶ τίς ἡ αἰτία κυρία μου δι' ἣν ὁ βασιλεὺς χρείαν ἔχει σου·

ἡ δὲ μακαρία ἀντεφώνησεν· ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, καλεῖ με τέκνον, εἰς τὸ ἀναλῦσαι καὶ σὺν αὐτῷ εἶναι· παρακαλῶ σε τοίνυν ἀδελφή, πάντα ὅσα ὑμῖν ἐνετειλάμην σοι, φυλάξαι προθυμήθητι· σοὶ γὰρ κεκλήρωται ὁ κλῆρος τῆς διακονίας ταύτης· σοὶ καὶ τῷ μεγάλῳ προφήτῃ Ζαχαρίᾳ, σὺν θεῷ παρατίθημι ταύτην τὴν μάνδραν· οὕτω σπεῦσον ποιμᾶναι αὐτὴν καὶ τὰς ἐν αὐτῇ ψυχάς, ὡς μέλλουσα λόγον δοῦναι ὑπὲρ αὐτῶν κατενώπιον τοῦ μεγάλου βασιλέως Χριστοῦ. ταῦτα

Κ

Καὶ πλείονα τούτων παραινέσασα, καὶ τελευταῖον εἰποῦσα· Κύριε εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου, μετ' εἰρήνης ἀπέδωκεν τὴν ψυχὴν τῷ κυρίῳ· παρευθὺ γίνεται σεισμὸς μέγας· ὥστε φόβῳ συσχεθείσας τὰς μοναζούσας πάσας ἐξελθεῖν ἐν τῷ περιαύλῳ, νομιζούσας τοῦτον τὸν τελευταῖον εἶναι σεισμὸν τῆς συντελείας· καὶ βλέπουσιν εἰς τὸν ἀέρα πλῆθος μοναχῶν λευχειμονούντων· καὶ γυναικῶν ἁγίων αἰγλήεσσας· καὶ ἐν μέσῳ τούτων, τὴν μακαρίαν δομνίκαν νυμφικῷ κόσμῳ κεκοσμημένην.

ἀνεπληρώθη τε πᾶς ὁ αἰθὴρ ἀνω
δίας εὐωδίου· ψαλλόντων ἐν συμ
φωνίᾳ μουσικῇ καὶ λεγόντων
εἰς μνημόσυνον αἰώνιον ἔσται
δίκαιος· καὶ τὸ κέρας αὐτοῦ
ὑψωθήσεται ἐν δόξῃ. καὶ ἠ
κούσθη φωνὴ αὖθις ὡς ἐκ τῶν
οὐρανῶν λεγόντων· οὕτως εὐλογη
θήσεται πᾶς ὅσιος [illegible]
[illegible]. ἐκάλυψε δὲ τοὺς
ὀφθαλμοὺς τοῦ τιμίου σκήνους
τῆς μακαρίας, ἡ [illegible]
[illegible]· ἢ καὶ διάδοχος
αὐτῆς γεγενημένη· τὸν τό
πον ἐν ᾧ τεθεῖσα ἐπιτά
φιον ὕμνον καὶ τελευταῖον
ἀσπασμὸν θρῆνον εὐλα
βῶς τελέσαντες· σὺν τῇ ἀδελ
φότητι πάσῃ. σεβασμίως
κηδεύσαντες, κατέθεντο ταύ
την ἐν τῇ μονῇ ἐν τῇ προκατε
σκευασθείσῃ παρ' αὐτῆς τῆς ἀ
οιδίμου μεγίστῃ σορῷ. ἐν ᾗ καὶ μέ
χρι τῆς σήμερον, θαυματουρ
γεῖ· αἱ πολλῶν ἰάσεων καὶ ἐπι
σκιάσεων ὁ τόπος γίνονται·
ἀκαθάρτων τε πνευμάτων
φυγαδεῖαι. καὶ πολλῶν πα
θημάτων θεραπεῖαι. μετὰ
Γὰρ χρόνον ἱκανὸν τῆς κοιμή
σεως τῆς μακαρίας, συνέ
βη γενέσθαι πλησίον τῆς μο
νῆς αὐτῆς ἐμπρησμὸν μέγι
στον, ὥστε μέλλειν ὅσον οὔπω
τὸ πῦρ ἐπιλαμβάνεσθαι, καὶ

αὐτῆς τῆς κόγχης τοῦ ἀσκητηρί
ου. μετὰ πολλῆς οὖν σπουδῆς ἀπο
καὶ πολυχειρίας λαοῦ, παρα
γενομένου τοῦ τῆς πόλεως
ἐπάρχου Εἰρηναίου τοὔνο
μα· ἐπὶ τὸ διακωλῦσαι τὴν τοῦ
πυρὸς ποιῆσαι καὶ σῶσαι τὸ μο
ναστήριον· καὶ κατέμαθέ τι
τῆς κόγχης ἐπισταθέντος· ὡς ἐν
ἐκστάσει γεγονότος αὐτοῦ
τινος ὥρας καιροῦ [illegible] τὴν
τοῦ μὲν πυρὸς ἀπειλὴν,
παραυτίκα ἐπέπαυτο· αὐ
τὸς δὲ παράδοξον πᾶσι δι
ηγεῖτο τοῦ ὁράματος. ἔλε
γε γάρ· κατιδεῖν μετὰ τοῦ
προφήτου Ζαχαρίου, γυναῖ
κά τινα [illegible] φοροῦ
σαν κολόβιον κατέναντι τοῦ
ἀσκητηρίου, καὶ ἀμφοτέραις
ταῖς χερσὶν ἀποσοβοῦσαν
τὴν ὁρμὴν τοῦ πυρός. ἐν τού
τῳ γοῦν ἐγνώσθη πᾶσι
σαφῶς. ὅτι καὶ μετὰ θάνα
τον ὡς ὄντως ἐν θεῷ ζῶσα,
παρρησίᾳ καὶ ὑπερασπίζει.
[illegible] ποιουμένη τοῦ οἴ
κου αὐτῆς. ἐν ᾧ μετὰ χρόνον
Τιμὰ μνήμης αὐτῆς ἐπανιζού
σης· λαμπρῶς ἐπιτελου
μένης, συνηθροίσθη πλῆθος
ἀνδρῶν τε καὶ γυναικῶν
πολύ· οὐ τῶν μεγάλων μό
νων καὶ ἀσήμων, ἀλλὰ μὴν
καὶ τῶν ἐν τέλει τῆς συγκλή

του βουλῆς ἐπιδόξων. καὶ
τῶν ἐπιδοξοτέρων ἀσκητῶν,
καὶ ἱδρῶτας τῶν μεγάλων
ἐν οἷς συμβέβηκε τὴν γυ-
ναῖκα τοῦ στρατικουμένου
οὖσαν, ἀρεθῆναι πνεύματος πο-
νηροῦ καὶ ἀκαθάρτου ἐφ' ἱκανὸν
χρόνον ἔχουσαν. φανερῶς
μὲν μὴ διελέγχων ἢ κατάγχων
αὐτήν. κρυφίως δὲ διατή-
κων καὶ καταδαπανῶν τὸ
νοῦ πικρῶς. τῆς οὖν θείας
Λειτουργίας τελουμένης. ἔτι
τῶν ἁγίων εὐαγγελίων ἀναγι-
νωσκομένων, παραχρῆμα
μανιζόμενον ὑπὸ θείας δυ-
νάμεως τὸ ἐνοικοῦν πονη-
ρὸν δαιμόνιον, ἤρξατο ῥήσ-
σειν καὶ συγκόπτειν καὶ δι-
ελέγχειν τὸ γύναιον. ὅπερ
προσκαρτερῆσαν τὸ τῷ ζω-
ηρῷ λειψάνῳ τῆς μακαρίας
ἐφ' ἱκανὰς ἡμέρας, τελεί-
ας τῆς ἐλευθερίας τοῦ τυ-
ραννοῦντος ἐπέτυχε δαι-
μονίου. ὅτε γοῦν ἐξελαυνό-
μενον ἐξ ἰδίου τὰς ἀποκλεί-
σεις, ἔλεγε προφανῶς πάν-
των ἀκουόντων. ὦ τῆς
ἀπὸ σοῦ βίας δομνίκα δού-
λη χριστοῦ. τί με πρὸ καιροῦ πι-
κρῶς βασανίζεις. τί με καί-
εις ὡς ἀπὸ πυρός. ἰδοὺ λοι-
πὸν ἐξέρχομαι. οὐκέτι παρ-

φέρω τὴν τιμωρίαν. ποία
με δύναμις ἐνθάδε ἐθήρασεν.
ἢ ποῖον δὲ λεδρὸν ἤγγισας με,
καὶ ἐπεισενεῖς τοῦτο τὸ γύ-
ναιον ὑποσταλθεῖν. ἵνα δι' αὐ-
τῆς ἐμπέσω εἰς τὰς σὰς
χεῖρας. ὅμως μετὰ τὴν δια-
μὴν τὴν μεγάλην καὶ τὴν ἐξ-
ουσίαν ἣν κατὰ τοῦ γένους
ἡμῶν ἔλαβες. εἰ προῄ-
δειν ὅπως μέλλειν βασα-
νίζεσθαι ὑπὸ σοῦ, εἰς πῦρ ἢ
εἰς ὕδωρ ἢ εἰς βόρβορον ἐμ-
βαλών, ἀπέκτεινα ἂν αὐ-
τήν. ἀλλ' οἴμοι πῶς περιελή-
φθην ὁ ταλαίπωρος. καὶ νῦν
Ἰδοὺ τί κελεύσοι τῆς ὁσίας
σου ἐξουσίας ὑπείκων, καὶ ἄ-
κων ἐξέρχομαι ἐξ αὐτῆς. μό-
νον παραχώρησόν μοι σωτε-
ψαι αὐτὴν ἢ ξηρᾶναι. ἢ πα-
ραμέλος τί ποιῆσαι. καὶ ταύ-
τας τὰς ἐλεεινὰς φωνὰς ἀπο-
δυρόμενον ἀπεκείνατο τὸ
δαιμόνιον, καὶ αὖτε τίθει
πρὸς τὴν ὁσίαν. ὥσπερ τί-
μος ἄρχοντος φοβεροῦ ἐπι-
δοκεῖν περικαθέζεσθαι, τὰς
δεήσεις μετὰ πολλῆς ἀσφα-
λείας ποιοῦντος. καὶ δὴ μεθόρ-
κων φεῖκτῶν ἀποταξάμενον
τὸ πονηρὸν ἐκεῖνο πνεῦ-
μα, κατά τε τῆς κορυφῆς
τοῦ θεοῦ. καὶ τοῦ θρόνου αὐτοῦ.

καὶ τοῦ ὑψηλοῦ βραχίονος
τοῦ μονογενοῦς υἱοῦ θεοῦ
αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.
διὸ οὖν βασανίζεσθαι προσ-
ωπον ἀνωμολόγει· παρά τε
τῆς δυνάμεως τῆς ἀϊδίου με-
μης τῆμα καὶ ἐδόμενην καὶ
Ζαχαρίᾳ τῷ θαυμαστῷ προφή-
τῃ· οὕτως ἐξῆλθεν ἀπ᾽ αὐτῆς
τηρήσαν αὐτὴν ἀσινῆ καὶ
ὁλόκληρον. μηδαμῶς ποτε πει-
ραθεῖν προσεγγίσαι αὐτῇ,
πάντα τὸν τῆς ζωῆς αὐτῆς
χρόνον. ταῖς αὐτοῦ προσδεκ-
τοῖς οὖν πρεσβείαις τοῦ με-
γάλου προφήτου Ζαχαρίου
καὶ ταύτης τῆς μεγάλης θαυ-
ματουργοῦ μητρὸς ἡμῶν δομνί-
κας, εὕροιμεν ἔλεος παρὰ
τῷ δικαίῳ κριτῇ καὶ παμ-
βασιλεῖ Χριστῷ ἐν ἡμέρᾳ κρί-
σεως τὸν παρόντα βίον· πι-
στεῖ ἐλπίδι· καὶ ἀγάπῃ ἀνα-
θεώσως καὶ ἀκαταγνώστως
διεξερχόμενοι· καὶ τῆς ἀ-
κηράτου καταξιούμενοι ζω-
ῆς καὶ διαμονῆς, ἐν αὐτῷ τῷ
Χριστῷ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα
καὶ τὸ κράτος εἰς τοὺς αἰ-
ῶνας τῶν αἰώνων, ἀμήν: —

μαρτύριον τῆς ἁγίας μάρτυ-
ρος Τατιανῆς. εὐλόγησον πάτερ::

Βασιλεύοντος ἐν τῇ μεγαλο-
πόλει Ῥώμῃ κατὰ θεοῦ συγχώ-
ρησιν Ἀλεξάνδρου. ἀνδρὸς
ἀδίκου καὶ πονηροτάτου.
καὶ ταῖς τῶν εἰδωλικῶν
θυσιῶν σπονδαῖς δεινῶς
ἐκτετηκότος καὶ μεμηνό-
τος κατὰ παντὸς τοῦ τῶν χρι-
στιανῶν γένους. καὶ βλασφη-
μοῦντος λίαν τῶν κατὰ θεοῦ
τοῦ ὑψίστου. παρ᾽ ἃ ἡ ὑπ᾽
αὐτὸν ἀρχὴ τῆς μιαρᾶς καὶ
ἀθέσμου τῶν δαιμόνων ὑπε-
πληροῦτο λατρείας. δόγμα
παρ᾽ αὐτοῦ τὸ θεοῦ παράνομον
διαγράμματων ἐξετέθη
κατὰ πᾶσαν πόλιν καὶ χώ-
ραν. ὥστε καταναγκάζε-
σθαι πάντας τοὺς ἀεὶ σηκο-
μένους χριστιανοὺς διὰ πολ-
λῶν κολαστηρίων, ἐξο-
μνύσθαι τὸν χριστιανισμὸν
καὶ τῇ ἀσεβείᾳ συντίθεσθαι.
Ἐπὶ τούτῳ αὐτῷ ἐξαποστεῖλαι
κατὰ πᾶσαν ἐπαρχίαν καὶ πό-
λιν ἡγεμόνας τε καὶ τοπάρ-
χας, τῆς τοιαύτης παρανομίας
προστάξεως. τυραννικῶς
ἐξάρχοντας. αὐτὸς δὲ ἐν τῇ
βασιλευούσῃ πόλει τὰς
διατριβὰς ποιούμενος, τὰς
μιαρὰς θυσίας τοῖς εἰδωλι-
κοῖς ξοάνοις ἐπιμελῶς

προσέφερε. καὶ πᾶσι μὲν
τοῖς ὑπ' αὐτὸν δαίμοσι θεοῖς· ἐξαι-
ρέτως δὲ τῷ τῆς ἀπωλεί-
ας ὁδηγῷ ἐπωνύμως κληθέν-
τι Ἀπόλλωνι· προσέταξέ τε
τοὺς ἐπισημοτέρους τῶν
πολιτῶν ἄνδρας τε καὶ
γυναῖκας συλλαμβάνεσθαι
καὶ βιαίως ἀφελκομένους,
ἀπάγεσθαι ἐπὶ τοὺς τῶν εἰδώ-
λων ναούς. καὶ καταναγκά-
ζεσθαι θυσίας προσφέρειν.
Ταύτην λαβόντες τὴν ἐπι-
τροπήν. ἄνδρες πλήρεις
ὠμότητος καὶ ἀπανθρω-
πίας. Βιτάλιός τις τὸ τοὔνο-
μα τὸ ἀξίωμα τι ἁμαξείως
τετιμημένος. Βάσσος τε ὁ
οἰκεῖος αὐτοῦ τοῦ δυσσεβοῦς
βασιλέως κουβικουλάριος
καὶ Γαλῖνος ὃν δομέστικον
ἡ δημώδης συνήθεια καλεῖν
εἴωθεν· περιῄεσαν ἁπαντα-
χοῦ τῆς πόλεως ἐπὶ θήρᾳ
καὶ ἀπωλείᾳ τούτων χριστι-
ανῶν γενόμενοι. οἳ καὶ παρα-
γενόμενοι ἐπὶ τὸν ναὸν τῆς
ἐν Ῥώμῃ καθολικῆς ἐκκλη-
σίας. ὥσπερ θῆρες ὠρυόμενοι.
ζητοῦντες τίμια κατὰ πιστῶν·
δὲ εἰσιοῦσι τὴν μακαρίαν
Παυλίνην ἔσωθεν καὶ προ-
σευχομένην. καὶ ἱλαρῷ προ-
σώπῳ καὶ βλέμματι πρὸς
οὐρανὸν καὶ τὸν ἐν αὐτῷ κατοι-
κοῦντα θν.
ἀπλανῶς ἀτενίζουσαν. εἶπε-
το δὲ ταύτῃ δούλων τε καὶ δου-
λίδων πλῆθος οὐκ ὀλίγον. ὡς
δὲ τοῦ ὑψηλοῦ γένους καταγομέ-
νη. καὶ πρὸς μάλιστα περιδό-
ξου τε σοῦ πατρὸς γεγεννημένη.
ἡ τῆς πλουτωνύμου καὶ ἀ-
σεβείας συζῶσα διηνεκῶς.
τοὺς πρὸς πάντας τοὺς δι-
ωκομένους ἔλεον τὴν ἑαυτῆς
ψυχῇ κἂν μάλα παρὰ τῆς τε
πίστεως καὶ παρθενίας
σύστημα ἀδελφὰ ψηλῶς κα-
ταλαίπωρος ὤν· ἐκεκόσ-
Ἡ τὸ δὲ πρὸς τούτοις, καὶ ἀξιω-
ματικῷ. τῆς ἐν Χριστῷ διακονί-
ας πληρωσαμένη τὸ χρέος.
ὡς γυνὴ οἷα ἀλλ' ἀτελὴς τῆς ὑπὲρ
θεόν τε ἄδος χρηματίζου-
σα. καὶ αὐτὴ εἰ πολλὴ κατὰ
τῶν ὑπερμαχούντων τῆς
εἰδωλικῆς λατρείας χρω-
μένη. οἱ δὲ τῆς ἀσεβείας
ὑπηρέται κρατήσαντες αὐ-
τὴν ὥσπερ τι θήραμα μέ-
γα εὑρόντες, πρὸς τὸν βασι-
λέα παραδίδοσθαι κατὰ τὸ πατρῷον.
εἶδε, ταῖς ὀφειλομέναις δί-
καις ἀπαράλλακτος αὐτὸς διὰ
θεῶν. σὺν τάξαμεν ἤ τε τῶν
μὲν ὧδ' ἀπαρχῆς ἐπ' αὐτῷ
καὶ τοῖς ἐν χριστῷ ἀδελφοῖς με-
τὰ πολλῆς περιχαρείας, σὺν
αὐτοῖς ἐπορεύετο. οἱ δέ, προσ-
ελθόντες ἀπήγγειλαν τῷ

βασιλεῖ τὰ περὶ αὐτῆς· καὶ
αὐτὸς ἐκέλευσεν αὐτὴν ἐν τῷ
παλατίῳ κατὰ πρόσωπον
αὐτοῦ παραστῆναι. ἣν θεασά-
μενος· καὶ τῷ ὡραιοτάτῳ κάλ-
λει ταύτης τρωθεὶς τὴν ψυ-
χήν· καὶ τὸ περιφανὲς γένος
μάλιστα ὅπερ αὐτῆς ἠκηκό-
ει ἀγασθείς· καὶ τὸ μμοῶ κα-
ταπλαγείς, πρὸς τὸν τῆς ἀ-
πωλείας ἐπώνυμον ὁδη-
γόν, τὸν ψευδώνυμον θεὸν
αὐτοῦ μέγα ἀνακέκραγεν
ὁ ἐμβρόντητος λέγων· μέ-
γας εἶ ὡς ἀληθῶς θεὲ ἄπολ-
λον ὁ παρὰ πάντων ἀνδρῶν τε
θεῶν τε μεγαλυνόμενος· ὅ-
τι τὴν τοσαύτην καὶ τηλικαύ-
την ἐμ εὐπρεπεῖα θέας· καὶ
ἀγχινείας γενόμενος· καὶ πᾶσαν
δόξαν ὑπερλάμπρον, σύνοψι
κατέστησας τοῦ μετὰ προ-
θυμίας τὴν θυσίαν σοι ἀπο-
δοῦναι. πρὸς δὲ τὴν μακαρί-
την· ὦ λαμπροτάτη κόρη
καὶ περικαλλεστάτη· νουνεχεῖ
φρονήματι καὶ ἱλαρῷ προ-
σώπῳ προσοίσουσα τῷ μεγά-
λῳ θεῷ ἀπόλλωνι, τὴν ὀφει-
λομένην θυσίαν ἀπονειμέ-
σιου καὶ τὴν τῶν θεῶν ἀμε-
νείνω ἐπὶ πᾶσι. καὶ τῆς
παρ' ἡμῶν φιλίας καὶ συνα-
φείας, ἡδέως ἀπολαύσεις.
ἰδοὺ γὰρ σὴ μέτρον παρὰ τοῦ

ἡμετέρου κράτους, ἀνάρρυ-
θήσει διάσωμα· καὶ μετέμ-
ψω δι' ὅσα σε τοῦ ἐμοῦ πα-
λατίου καὶ πάντων τῶν ὑπὸ
τὴν ἐμὴν ἐξουσίαν. ἡ δὲ
Μακαριωτάτη τατιανή, τῷ
βασιλεῖ ἀπεκρίνατο· μή
με λόγοις δολιότητος· καὶ
θωπείαις ἀπάτη· μὴ θίστων
νόμιζε τῆς πρὸς τὸν ὄντως
θεὸν ἀληθοῦς λατρείας, κελάδων
θυσίαν εἰδώλοις ἀψύχοις· κέ-
λευσον δὲ μᾶλλον θυσίαν ἀναί-
μακτον τῷ θεῷ προσενέγκαι,
τῷ τὰ πάντα δημιουργήσαν-
τι καὶ ἐξ οὐκ ὄντων εἰς τὸ εἶ-
ναι παραγαγόντι· ὅπως
διὰ τῆς τοιαύτης θυσίας γνω-
στῶ τῷ πλάσου λατρευομένῳ
ἀπόλλωνι, γυνὴ παλαιστεῖς
ὑπάρχουσα τοῦ θεοῦ τοῦ ὑ-
ψίστου· ἔλεγχος αὐτοῦ τῆς πλά-
νης διηκρινομένη, πρὸς τὸ
μὴ ἀπολέσαι τὰ χαῦ τὰ
ἐλπίζουσα ἐπὶ τὸν πάντων
σωτῆρα καὶ κύριον Ἰησοῦν Χριστόν. ὁ δὲ βα-
σιλεὺς ἀναιδῶς δια-
κείμενος πρὸς τὰ τοιαῦτα
τῆς μακαρίας ῥήματα· καὶ
μὴ συνιεὶς τὰ ὑπ' αὐτῆς λε-
λεγμένα. μετὰ σπουδῆς
ἐκέλευσεν εἰσελθοῦσαν αὐτὴν
ἐν τῷ ναῷ τοῦ ἀπόλλωνος
θυσίαν ἐπιτελέσαι. καὶ τοῦ
τὸ ἐπιτραπείσης αὐτῆς

χαριέντως λόγῳ καὶ ἱλαρῷ
προσώπῳ, λέγει τῷ βασι-
λεῖ· δέομαί σου θεληθῆναι
καὶ βασιλεῦ μετ' ἐμοῦ. καὶ
αὐτοὺς τοὺς ἱερεῖς τοῦ Ἀπό-
λλωνος. καὶ ὅσοι δ' ἂν ἕτε-
ροι θεοσφιλεῖς αὐτοῦ εἰσί·
πρὸς τὸ βλέπειν με ἐναργῶς.
ὅπως εἰλικρινῶς ὁ ἄρχων-
τος καὶ μέγιστος θεὸς τὰς
ἀμιάντους θυσίας προσ-
δέχεται παρ' ἐμοῦ. ὁ δὲ
ἐκέλευσε πάντας τοὺς
προεστῶτας τῆς δυσσε-
βοῦς θρησκείας λατρευτὰς
ὑπάρχοντας, προθύμως
πρὸς τὴν θέαν εἰσεληλυ-
θέναι. εἰσερχομένη δὲ πρὸ-
τον ναὸν ἡ σεβασμιωτά-
τη μάρτυς, ὅλην ἑαυτὴν
περιετύχησε τῷ σημείῳ
τοῦ ζωοποιοῦ σταυροῦ. καὶ ἀ-
θέως ἐθεάθη ὑπὸ πάντων
τῶν περιεστηκότων, ἀλλ' ἡ
κἂν δόξῃ περιαστράπτουσα
αὐτήν. ἡ δὲ, κεχαρμένῳ προ-
σώπῳ. τὸ ὄμμα σὺν ταῖς
χερσὶ πρὸς οὐρανὸν ἀνατείνα-
σα, προσηύξατο ἐκτενῶς.
τὴν ἐκεῖθεν βοήθειαν ἐπι-
καλουμένη παρασχεθῆναι
αὐτῇ. πρὸς ἐλεγχομένους
φῆ τῆς ἀπατηλῆς λατρεί-
ας τῶν εἰδωλομανούντων.
βεβαιῶσαι δὲ, τῆς θεοσεβοῦς
θρησκείας τῶν φιλοσεβούν-
των. ὥστε αἰσχύνης καὶ ἐν-
τροπῆς τὰ πρόσωπα καὶ
τὰς καρδίας ὑποπλησθῆναι.
οἱ μάταια ἐλπίσιν ἐπερει-
δόμενοι· καὶ τοῖς ἀψύχοις
εἰδώλοις προσαπώλε-
αν ἐλκων ἄγαλμα. τὸ ἀ-
μύθητον πλῆθος τῶν εἰδω-
λομανούντων, συντριβὲν
τὸ τάχος καὶ ἀφανισθέν.

Ταῦτα τῆς μακαρίας προσευ-
ξαμένης, εὐθέως σεισμὸς
γέγονε μέγας. ὥστε κατα-
πεσεῖν τὸ τοῦ Ἀπόλλωνος
ἄγαλμα. καὶ ὥσπερ κονιορτὸν
λεπτωθῆναι. τὸ δὲ τέταρ-
τον μέρος τοῦ μιαροῦ ναοῦ
καταστραφῆναι. καὶ κατα-
σχεθῆναι πλήθη πολλὰ τῶν
Ἑλλήνων σὺν τοῖς ἱερεῦσιν
αὐτῶν. καὶ λοιποὺς τοὺς
συναθροισθεῖσι πρὸς τὴν
τοιαύτην θεωρίαν. ὁ δέ γε
σεισμὸν ἦν ἐπικρατῶν καὶ
συνταράττων φοβερῶς ἐπὶ
πολλὰς τὰς ὥρας. ὥστε
φοβηθέντα τὸν βασιλέα
χωρῆσαι πρὸς φυγήν. ἡ μὲν
μάρτυς κατέσχεν εἰποῦσα·
στῆθι βασιλεῦ. καὶ βοήθησον
τῷ συντριβέντι δυστυχεῖ
θεῷ σου Ἀπόλλωνι. καὶ συν-
αγαγὼν τὰ συντρίμματα
τῆς κονίας αὐτοῦ, δεῖξον

τοῖς ἀνοήτοις ὁμόφροσι συν-
δυσσεβεῖν. εἰ δ' ἄρα διωνήσον-
ται ἐννοῆσαι τὴν ἀσεβόνται.
καὶ τὴν μίμησιν ὡς πεποίθασι·
καὶ εἰ ἔστι τις δύναμις ἐν αὐ-
τῷ, ὡς τελευτῆσαι καὶ βο-
ηθῆσαι τοῖς ὑπὸ τῶν συμπτω-
μάτων τοῦ θεηλάτου τούτου ὁμοῦ
ἀθρόως τεθανατωμένων.
Ταῦτα αὐτῆς πρὸς τὸν βασιλέα
διαλεγομένης, ὁ ἐν τῷ ἀφι-
δρύματι τοῦ Ἀπόλλωνος
ἐνοικῶν μιαρὸς δαίμων, ἐφά-
νη πᾶσι τοῖς παρεστῶσιν ἐπὶ
τῇ ποδιᾷ τοῦ ἀνδριάντος κω-
νιζόμενος· καὶ ὥσπερ ἀπο-
δυρόμενος· πάντων ἐκπλη-
ττομένων καὶ ἀκουόντων, με-
γάλῃ τῇ φωνῇ ἐξεβόησεν·
ὢ τῆς ἀπὸ σοῦ βίας, Ἰουλιανέ·
ἢ τοῦ μεγάλου θεοῦ τοῦ ἡλίου
γνησία δούλη τοῦ ἐν οὐρανοῖς
κατοικοῦντος· ἡ τὰς ἐντο-
λὰς αὐτοῦ ἀκριβῶς φυλάτ-
τουσα· καὶ τὴν πίστιν ἀσφαλῶς
τηρήσασα, καὶ μὲν τὸν ἄθλιον
σήμερον ἀπὸ τοῦ προσφιλοῦς
κατοικητηρίου ἐκδιώξασα·
οὗ δὴ γὰρ μακρὰ χρονίαν κατῴκη-
σεν ἐτῶν ἐνενήκοντα καὶ ὀκτώ,
νῦν ἐλεεινῶς μαστιζόμενος
ἀπελαύνομαι· ἐπὶ γὰρ τούτοις πά-
λαι καὶ πρὸς ἐπὶ ἔτη τελῶν
ταῖς πολλὰ πλατηνήσας ἐπὶ ἀν-
τωνίου τε τοῦ μεγάλου τὸν βεβα-
λευκότος· ἐφ' ἔτη τετρα-
κοντα καὶ ἓξ διαρκέσας. ἐπί
τε τοῦ παρόντος ἀλεξάνδρου,
πεντεκαίδεκα ἔτη διατρίψας,
τοῦ σοὶ μέλλομεν ἐμὲ πρῶτον πα-
ραδειγματίσαντος· καὶ τὴν ἀ-
πώλειαν τῶν ψευδωνύμων
θεῶν αὐτοῦ προποιουμένου,
νῦν βιαίως φυγαδεύομαι· καὶ
πολλοὶ μὲν τῶν πρὸ σοῦ ἁγίων
μαρτύρων τὴν ἄθλησιν ποιού-
μενοι, φανερῶς οὐ παρεδειγμα-
τίσαν με. ἐδόκουν παρέχειν
ἐξουσίαν μεγάλην ἐν τῷ ὑποσ-
τάσιν ὑπεῖμαι τὸν λεγεῶνας
πνευμάτων· τῶν ἀποστελλομέ-
νων παρ' ἐμοῦ πρὸς ἀπώλει-
αν ἀνθρώπων ψυχῶν κατὰ πᾶσαν
νύκτα τε καὶ ἡμέραν. ἅσπερ
ὡς ἀκροθίνια καὶ ἀπαρχὰς
παρ' αὐτῶν ὑποδεχόμενος· καὶ
νῦν ἐπὶ τῇ σῇ παρουσίᾳ ἀφα-
νεροῦσα στηλιτεύομαι καὶ φυ-
γαδεύομαι. ὡς ἀπὸ πυρὸς
καταφλεγόμενος. καὶ ἔχω
εἰ οἶμαι τόπον ὅπου δὴ παρα-
θεὶς διωχθῶ καταφυγεῖν·
παρὰ θεοῦ δὲ μετὰ μεγάλου
ἀρχαγγέλου γαβριήλ· τῷ τὴν
οἰκουμένην κατ' ἐμοῦ ἐξουσίαν
εἰληφότι, καὶ ἰσχυρῶς τὴν
ὁρμὴν καὶ δύναμιν διαλύον-
τι. οὐαί σοι βασιλεῦ ἀνο-
Σιε ἀλέξανδρε· ὅτι καὶ ἄκων
κακοῖς σου τὸν περιέπηρας.

περὶ τυχὼν ψυχὴν θεοσεβε-
στάτην· δι' ἧς καὶ ἐγὼ μὲν ἐκφαυλί-
ζομαι καὶ στηλιτεύομαι· τῆς
πολυχρονίου μου καὶ τοι κακίας
καὶ κοσμοκρατορίας φυγα-
δευόμενος. τὸ δὲ σὸν βασί-
λειον ἐν αἰσχύνῃ καὶ ἀτιμί-
ᾳ πολλῇ, εἰς τέλος καθαιρε-
θήσεται. ταῦτα μετὰ φω-
νῆς μεγάλης τὸ πονηρὸν ἐκεῖ-
νο βοῶμενον δαιμόνιον, ἐξέ-
λιπεν ὥσπερ καπνός. καὶ διὰ
τοῦ ἀέρος ἀνιπτάμενον, ἀσβο-
λίᾳ καὶ παντελεῖ ἀφανισμῷ
παρεπέμπετο· ὥστε πάντας
τοὺς παρόντας καὶ θεωμένους,
δειλίᾳ καὶ ἐκπλήξει πολλῇ
συσχεθέντας, δεδοικέναι καὶ
θαυμάζειν τὴν δύναμιν τοῦ
ἐν οἰκτιρμοῖς κατοικοῦντος θεοῦ. καὶ
τὴν δόξαν ἣν ἔδωκε τοῖς πι-
στεύουσιν εἰς αὐτόν. ὁ δὲ σχο-
λαίως τότε ἀλεξάνδρος. τὸν
νοῦν καὶ τὰς φρένας τὴν κακίαν
ἀλλοίωσιν ἀλλοιωθείς. καὶ μη-
δαμῶς συνιέναι δυνηθείς.
ὡς κατά τινα θείαν πρόστα-
ξιν τὸ ἀφίδρυμα τοῦ μιαροῦ
ἀπόλλωνος ἐλεπτώθη. καὶ ἡ
τῶν ἀθέων συναθροισθεῖσα
πληθὺς ὑπὸ θεϊκῆς δυνάμε-
ως ἐθανατώθη, καὶ ἡ μυσαρὰ
καὶ δαιμονιώδης αὐτῶν λα-
τρεία, ὑπὸ ἀνίας ἐπικλήσε-
διεσωρεύθη ὥσπερ προέξειν

τὴν μακαρίαν τῆς βιαίας
καταστροφῆς, καὶ τῆς τοῦ
ἀπόλλωνος ἀπωλείας γε-
γενημένην. καὶ γοητείᾳ τινὶ
περιεργίας τοῖς μιαρεῖς
θανατωθῆσαν, ἐπέλασε κα-
τὰ τῶν ὄψεων πολυειδεῖς
πονηρὰς καὶ πληγὰς δέχεσθαι.
Καὶ σιδηροῖς ὄνυξιν, τὰ
βλέφαρα αὐτοῖς διαρρήγνυ-
σθαι. τῶν δὲ ἐπὶ τούτῳ τε-
ταγμένων δορυφόρων ἐπὶ
πολλὰς τὰς ὥρας τὰ πρὸς τοῦτο
τὸ μιαρὸν βασανιστήρια ἐπεσθηρόν-
των. καὶ ἀγγελικῇ δυνάμει
ἐναντίᾳ καὶ ἀπορίᾳ πολλῇ
καταστάντων. καὶ μηκέτι φε-
ρόντων τὴν βάσανον, ἠνα-
γκάσθησαν τοιαύτας ἀφεῖναι
πρὸς τὸν μιαιφόνον βασιλέα
φωνάς· διὸ μετὰ τοῦ κράτους
σου βασιλεῦ. κέλευσον ταύτην
τὴν γυναῖκα ἀφεῖναι μόνην λυ-
θῆναι. οὐκέτι γὰρ ὑποφέ-
ρειν δυνάμεθα τὰς ἀοράτους
ἡμῖν ἐπιφερομένας μάστι-
γας. ἡμῶν γὰρ δοκούντων τὰς
βασάνους προσφέρειν τῷ
σώματι αὐτῆς, ἐκείνη μὲν
ὡς ἀδάμας καρτεροῦσα δια-
τελεῖ· ἡμῶν δὲ μᾶλλον αἱ χεῖ-
ρες ἐκλύονται, καὶ πᾶσα
ἡ ἰσχὺς ὑμῶν ἐξέλιπεν.
Ὁρῶμεν γάρ τινας ἄνδρας
λευχειμονοῦντας ἔμπροσθεν

αὐτῆς περιστάμενοι· καὶ ὡς
ὑμεῖς δοκοῦμεν ἐπιφέρειν
αὐτῇ πληγάς, τοὐναντίον
μᾶλλον κατὰ τῶν ἡμετέρων ὄ-
ψεων ὑποκείμενοι τῶν ἀνδρ-
ταύτας δεχόμεθα. τάχα δὲ
ὡς ἀληθῶς θεὸς ἐστὶ μέγας
ὁ σώζων αὐτήν· καὶ μὴ συγχω-
ρῶν τιμωρίαν τινὰ ὑπομένειν.
ὁ δὲ τύραννος ὀργῆς πολλῆς
ἐμπλησθεὶς κατ᾽ αὐτῶν. εὐθέ-
ως τοὺς περισχὼν αὐτοῖς ὡσεὶ ἐπι-
καταφρονήσει τοῦτο ποιοῦσι.
κολάζει αὐθις ὁ παρακαλέσαν-
τας αὐτούς, ἐν αὐτοῖς κατὰ
τῶν ὄψεων τὴν ἐπὶ τὴν κακί-
αν. ἡ δὲ καρτερόψυχος μάρ-
τυς τοὺς ὀφθαλμοὺς διάρασα
εἰς τὸν οὐρανόν, προσηύξατο εἰ-
ποῦσα· εὐλογῶ σε κύριε Ἰησοῦ Χριστέ. τὴν
τὴν χάριν σου καὶ τὴν ἰσχὺν δι-
δοῦσι τοῖς ἐλπίζουσιν ἐπὶ σέ·
εὐλογητὸν γὰρ ὑπάρχει τὸ ὄνο-
μα τῆς σῆς δόξης, τὸ μέγα καὶ
ἔνδοξον καὶ φοβερὸν τοῖς ὑπε-
ναντίοις. εὐλογημένη ὑπάρχει
καὶ δεδοξασμένη εἰς τοὺς αἰ-
ῶνας, ἡ τελεσιουργὸς καὶ ὑπέρ-
θεος παντοκρατορία τῆς ἁγί-
ας τριάδος. ἥτις τοὺς ἐν σοὶ
παραδειγματίσει τοὺς ὑπεναν-
τίους· καὶ τὴν τῶν εἰδώλων
δεισιδαίμονα λατρείαν κατα-
λύσει. νῦν καὶ ἡμῶν ἐπικαλουμέ-
νην δεομένην ἡμῶν ἤλπισα, πα-

σχεθῆναί μοι τὴν ὑπομονὴν
μέχρι τέλους. τούτους δὲ
τοὺς διώκοντας τοὺς βασανισ-
τὰς ἐπιφέρειν τῇ ἐμῇ ταπεινό-
τητι, ἐπιστρέψαι παρακαλῶ
εἰς τὴν ἀληθῆ ἐπίγνωσιν καὶ
πίστιν τῆς σῆς θεότητος. ἐν

Ταῦτα αὐτῆς προσευξαμένης,
περιήστραψε φῶς ὡσεὶ κ(αὶ) πυ-
ρὸς προερχόμενον τοὺς αὐ-
τὴν βασανίζοντας. πρὸς δὲ
καὶ φωνὴ ἐξ οὐρανοῦ ἦλθε λέγου-
σα· εἰ μὴ διὰ τὴν δούλην μου
ταύτην ἀνὴν διὼ σωπούμενος
θανατῶσαι, ἐφεισάμην ὑμῶν.
πρὸς δὲ τὴν μάρτυρα τοιαῦτα
ἔλεγε. μὴ φοβοῦ θύγατερ τα-
πεινή. ἀλλὰ θάρσει καὶ ἀγαλλιῶ.
ἐγὼ γάρ εἰμι μετὰ σοῦ. ὁ παρὰ
σοῦ προσκυνούμενος καὶ λα-
τρευόμενος θεός. ὃς οὐδαμῶς
συγχωρηθῆναί σε παραδοθῆ-
ναι τοῦ κινεῖσθαι ὑπὸ τῶν
ἀναιδοῦς καὶ φιλοπολέμου
ἐχθροῦ. τούτων οὕτω ῥηθέν-
των, ἔπεσον οἱ βασανισταὶ
ἐπὶ πρόσωπον. δεόμενοι
τῆς μανίας ἀφέσεως ἀξιω-
θῆναι διὰ μεσιτείας αὐτῆς
παρὰ τοῦ θεοῦ. ὧν φθάσαντες
καὶ ἄκοντας εἰς αὐτὴν κατα-
τολμῆσαι. ἡ δέ, πρὸς αὐτοὺς
ἀπεκρίνατο. ἐὰν ὁλοψύχως
πεισθήσεσθε ἐπιστρέψητε πρὸς
κύριον. καὶ πιστεύσητε εἰλικρινῶς

ὅτι αὐτὸς ἐστὶ μόνος θεὸς ζῶν·
ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ
ἔργα αὐτοῦ, λήψεσθε ζωὴν
αἰώνιον καὶ μισθὸν ἀποκείμενον
ἐν τοῖς οὐρανοῖς. εἰ δὲ ἑτέ-
ρως πως διανοηθῆναι βουλη-
θείητε, αἰωνία καὶ ἀτελεύ-
τητος διὰ πυρὸς ἀσβέστου
κόλασις ὑμᾶς ὑποδέξεται.

Οἱ δέ, ὡς ἐξ ἑνὸς στόματος
εἶπον· κυρία ἡμῶν καὶ δού-
λη γνησία θεοῦ τὰ πάντα. βέλ-
τιον μὲν ἡμῖν ἐστίν, εἰ δεῖξαι
καταξιώσειας ἡμῖν τὸν
χν· ὅπως τοῦτον θεασάμενοι,
προσδραμόντες πιστεύσωμεν
εἰς αὐτόν. εἰ δ' οὐκ ἔστι δυνα-
τὸν ὀφθαλμοῖς σαρκικοῖς ὀ-
φθῆναι αὐτόν. ἰδοὺ καὶ ἀο-
ράτως τὴν εἰς αὐτὸν πίστιν
ἀσφαλῶς λαμβάνοντες,
ὁμολογήσομεν δοῦλοι αὐτοῦ
ἔσεσθαι. καὶ αὐτῷ μόνῳ προσ-
κυνεῖν καὶ λατρεύειν. Ἀλέ-
ξανδρον γὰρ τὸν ἀπειθοῦντα
τοῖς σωτηρίοις προστάγμασι
καὶ τοῖς τῆς ἀπωλείας ὁδη-
γοῖς ἑπόμενον, οὐκέτι ἴσμεν
βασιλέα. οὔτε τοῖς ψευδω-
νύμοις αὐτοῦ θεοῖς ἀπὸ τῆς
νῦν λατρεύσομεν. κατηχη-
θέντες νῦν ὑπὸ τῆς μακαρί-
ας μάρτυρος. καὶ τὰ τῆς πίστε-
ως μυστήρια διδαχθέντες,
ἀνεβόησαν μεγάλῃ τῇ φωνῇ·

μέγας ὁ θεὸς τῶν χριστιανῶν, ὃν
ἡμεῖς ἐξ ὅλης ψυχῆς κα-
ταφεύγομεν. πρὸς δὲ τὸν
παμμίαρον Ἀλέξανδρον, ὡς
ἐξ ἑνὸς στόματος ἀπεφθέγ-
ξαντο· γνωστὸν ἔστω σοι βασι-
λεῦ, ὅτι τοῖς ὑπὸ σοῦ λατρευο-
μένοις θεοῖς. μᾶλλον δὲ εἰ-
δώλοις ἀλάλοις. οἷς πάλαι
πλανηθέντες ἀθλίως ἐδου-
λεύσαμεν, οὐκέτι τοῦ λοι-
ποῦ προσκυνοῦμεν· ἐγνωκό-
τες διὰ τῆς μεγάλης ταύ-
της μάρτυρος τὰ τῆς πλάνης,
τὴν δὲ δύναμιν τοῦ παντοκρά-
τορος θεοῦ· καὶ τοῦ μονογενοῦς
υἱοῦ αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ· καὶ τοῦ ἁγίου πνεύματος. τῆς μι-
ᾶς ἐξουσίας καὶ βασιλείας
καὶ θεότητος. ὁ δὲ παμμία-

Ρος Ἀλέξανδρος θυμοῦ μεγά-
λου ληφθείς, πρὸς αὐτοὺς ἀπε-
κρίνατο· τοσοῦτον ἐμάνητε
ταῖς γοητείαις τοῦ ἐσταυρωμένου
προσανέχειν; οἱ δέ, εἶπον·
ἀληθῶς σὺ μεμήνας ὑπὸ δαι-
μόνων βακχευόμενος. καὶ
τὸν σατανᾶν ὅλον ἐνοικοῦν
ἔχων ἐν τῇ καρδίᾳ σου, οὐ-
κέτι γινώσκεις τὸν ἀληθι-
νὸν θεὸν τὸν ποιήσαντά σε καὶ δόν-
τα τὴν ἐξουσίαν ταύτην σοι τὴν
εἰς τέλος μέλλουσαν ἀφανίζειν
τὴν ἀθλίαν ψυχήν σου. ὁ δέ,
ἐπὶ πλέον θυμωθείς, ἐκέλευ

ς κρεμασθέντας αὐτοὺς ἐπὶ
τῆς ἀντύγος, ἀνηλεῶς πα-
ραθίζεσθαι. οἱ δέ, παραθιζόμενοι
δεινῶς, οὐδὲ μίαν ἀνέπεμ-
πον φωνήν· ἀλλ' ἢ μόνον εἰς τὸν
οὐρανὸν ἀπέβλεπον. τὴν ἐκεῖ-
θεν βοήθειαν ἐπικαλούμενοι.

Πρὸς ταῦτα οὖν ἐπὶ πλεῖον χα-
λεπήνας καὶ χολώσας ὁ μιαι-
φόνος, κεφαλικὴν ἀπόφασιν
ψηφίζεται κατ' αὐτῶν. φοβη-
θεὶς μή ποτε καὶ ἕτεροι παρ' αὐ-
τῶν ἀναπεισθέντες, τὴν αὐ-
τὴν αὐτοῖς ὁδὸν τῆς πίστε-
ως μετέλθωσιν. οἱ δὲ
γενναῖοι τοῦ Χριστοῦ ἀθληταὶ πρὸς
τὴν τελείωσιν ἀπαγόμενοι
ἐτράπησαν ὁμοφώνως εἰς προ-
σευχήν· οὐ συγγνώμην αἰτούμενοι
παρὰ θεοῦ, τῆς ἐν ἀγνοίᾳ πλα-
νήσεως καὶ λατρείας εἰδω-
λικῆς· τῆς δὲ τελευταίας
ἐπιγνώσεως ἀποδοχήν· καὶ
πρὸς τὰς ἀκηράτους σκηνὰς
αἰωνίαν ἀνάπαυσιν. ταῦ-
τα καὶ τὰ τούτοις ἀκόλουθα
προσευξάμενοι· καὶ τὸν τύ-
πον τοῦ τιμίου σταυροῦ ποιήσαν-
τες ἕκαστος. προθύμως τε
τὰς κεφαλὰς προτείναντες,
ὡς ἐπὶ μιᾷ ἀλληλουχίᾳ καλού-
μενοι, τὸ τέλος τοῦ βίου
ἐδέξαντο. διὰ τοῦ οἰκεί-
ου αἵματος, τὸ τῆς υἱοθεσί-
ας βάπτισμα δεξάμενοι, εἰς
μνημόσυνον αἰώνιον μετὰ τῶν
ἐν οὐρανοῖς εὐφραινομένων
ἀγγέλων συγκατηριθμήθησαν.
ἐπειδὴ δὲ ἤκουσεν ὁ λυμεὼν ἀ-
λέξανδρος τὴν μετὰ πολλῆς
παρρησίας τῶν ἁγίων τελείωσιν,
πάνυ μεμηνὼς ἐχαλέπαινεν,
ὅτι μὴ ἐπὶ πλεῖον τὰς κατ' αὐ-
τῶν βασάνους παρέτεινε. τῇ
δὲ ἑξῆς παρακαθίσας ἐπὶ
βήματος ὑψηλοῦ, προσά-
γεσθαι προσέταξε τὴν μα-
καριωτάτην Τατιανήν. ὅ-
πως φησὶ καὶ αὖθις θελήσω-
μεν θᾶττον τὰς γοητικὰς αὐτῆς
περιεργίας. παραστᾶσαν
δὲ ἐπηρώτα ὁ δόλιος· βού-
λει κἂν νῦν Τατιανὴ πεισθεῖ-
σα μοι θῦσαι τοῖς θεοῖς, δι' οὓς
ἡ οἰκουμένη συνέστηκεν; ἢ
ἔτι ταῖς προτέραις μαγείαις
προσανέχεις. ἡ δέ, ἀπο-

Κριθεῖσα, εἶπε· παῦσαι πάμ-
μιαρε βλασφημῶν κατὰ
τοῦ θεοῦ τοῦ ὑψίστου, ἀναι-
δέστερος ὑπάρχων κυνός,
καὶ παντὸς θηρίου ἀγριώτερος,
οὐκ αἰσχύνῃ μαινόμενε, ὑπὸ
γυναικὸς ἡττώμενος; μετ' ἐμοῦ
δὲ κατὰ κράτος κρατού-
μενος, ὡς μὴ δυνάμενος
με μεταπεῖσαι; εἴ τινας
ἄλλας βασάνους καὶ στρεβλώσεις
ἔχεις, ἐπινόησον κατ' ἐμοῦ
τὰς σὰς κακοτέχνως ἐξάρη

μένας. ἐγὼ γὰρ θεῷ μόνῳ παντο-
κράτορι ἀνακειμένη, καὶ
Χριστῷ τῷ μονογενεῖ αὐτοῦ υἱῷ.
καὶ τῷ ζωοποιῷ πνεύματι. πι-
στεύω βεβαίως ὡς οὐδενὸς οὐ-
δαμῶς ἅψεταί μου τῶν πα-
ρὰ σοῦ ἐπαγομένων σοι βα-
σανιστηρίων. τοῦ θεοῦ μου τὴν
ὑπομονὴν παρεχομένου. τό-
Τε οὖν χαλεπήνας ἐπὶ πλεῖον
ὁ μιαιφόνος [illegible] ἀνδρός,
κελεύει ἀποδυθεῖσαν αὐτὴν
καὶ ἐκταθεῖσαν, μελιδὸν
κατατέμνεσθαι. οἱ δὲ τῆς ἀ-
σεβείας ὑπηρέται θᾶττον
τὸν ἢ λόγος, τὰ προστεταγ-
μένα ἐποίουν. τεμνομένου
δὲ τοῦ περικαλλοῦς σώματος
αὐτῆς, ἦν ἰδεῖν θαυμάσιον
σιον. ἀλλ' ἀντὶ αἵματος
ἐρρύη. καὶ εὐωδία πλείστη
διέπνευσε πᾶσι. καθάπερ
ἀγγείου μυρεψικοῦ ἐκχυθέν-
τος. ἡ δὲ καρτερικωτάτη
μάρτυς, ἐν τῷ ἀφειδῶς κα-
τατέμνεσθαι. οὐδεμίαν
ὀδυνηρὰν ἠφίει φωνήν. θεῷ
δὲ δαυιτικῶς τὴν εὐχαριστί-
αν ἀνέπεμπε. καὶ ὡς ἐξομο-
λογήσα δέησιν προσέφερε,
τῷ τὸ ἄλγημα τῶν ἀφορή-
των πόνων ἐπικουφίζοντι.
μεμνημένη μάλιστα κατὰ τοὔ-
νομα καὶ τῶν μακαρίων
πόνων τῶν δι' ὑπομονῆς κ(αὶ)

πιστῶς εὐχαριστησάσης τῷ
θεῷ. ὁ δὲ θηρειότροπος τύ-
ραννος αἰσχύνῃ τῷ χόλῳ συ-
σχεθείς, ἐμβριθῶς καὶ χλευα-
στικῶς ἔλεγε πρὸς αὐτήν.
ὡς ἐπὶ μαγείαις φαρμακείαις
ἐντεθραμμένη. καὶ ταύταις
ἐναβρωμένη. νῦν κατὰ ἀναι-
σχύντως νομίζεις, καὶ ἀπατᾶν
πάντας τοὺς περιεστῶτας;
Ἡ δὲ μακαρία ἀπεκρίνατο.
τοὐναντίον ὑποκρινόμενος
ταῦτα λέγεις. ψεύστης ὑπάρ-
χων, ὡς καὶ ὁ πατήρ σου ὁ σατα-
νᾶς. ὃς τῇ ἀρχεκάκῳ αὐτοῦ
πονηρίᾳ, σκρινιάλειος ἀνα-
δείκνυται πάσης φαρμακεί-
ας καὶ γοητείας. γόητας ἀγα-
πῶν. πόρνοις ἐναγκαλιζό-
μενος. μοιχοὺς προσιέμενος.
καὶ πάντας τοὺς ἀθεμιτουρ-
γίαις καὶ ἀρρητουργίαις
περιπίπτοντας προσκα-
λούμενος. καὶ ταῖς ἀρχηγοῖ
τοῖς πολλοῖς πλάνου κακουργί-
ας αὐτοῦ καταδεσμῶν. καὶ
πῶς ἐμοὶ τοῦτον ἀθετήσα-
σῃ. καὶ τὰ πονηρὰ αὐτοῦ
ἔργα ἀπὸ καρδίας ἀποστρε-
φομένῃ. συνεργῆσαι δυνή-
σεται ἐνεργεῖν τι τοιοῦτον.
ὥστε δύναμιν ἐν δόντι ἂν
φαρμακείας ἢ γοητείας
ἐπιτελεῖν. ὁ γὰρ ἐμὸς θεὸς
καὶ σωτὴρ Ἰησοῦς Χριστός. πάντας τοὺς

τὴν ἀντίαν τῶν προστάξε-
ων αὐτοῦ δρῶντας, τῆς αὐτοῦ
μερίδος ἀποσκορακίσεν·
ὃς καὶ μοι σήμερον παρέσχε
δύναμιν ἀκαταμάχητον.
καὶ ὑπομονὴν ἀνένδοτον
κατὰ τῶν ἐπαγομένων μοι
παρὰ σοῦ κολαστηρίων. ὡς
τεχνωθεῖσα φῶς ἀνόητε, ὡς
φαρμακεία καὶ γοητεία,
καθὼς σὺ βλασφημῶν φα-
σκεις, οὐκ ἔστι παρ' ἐμοί· ἀλλ' ἡ
χάρις καὶ δύναμις τοῦ παν-
τοκράτορος θεοῦ· τοῦ ἐν τῇ
ἐμῇ ἀσθενείᾳ ὑπερφυῶς
θαυματουργοῦντος· τοῦ δὲ
θηριώδους τυράννου, ταῖς
τοιαύταις δημηγορίαις
τῆς μάρτυρος. τὴν καρδί-
αν ὡς ῥομφαίᾳ πληγέντος
ἐμμανέστερόν τε διατεθέν-
τος, προστάττει ταύτην
ὑπό τε ἀνδρῶν πολλῶν ἐκτα-
θεῖσαν, ὑπὸ δύο δημίων,
ἀφειδῶς ῥαβδίζεσθαι. ἡ δέ,
χαρίεντι προσώπῳ καὶ ἱλα-
ρῷ ψυχῆς καταστήματι, τὰ
ὑπὲρ τὰ μέλη αὐτῆς σωηρ-
μως· καὶ τῷ σημείῳ τοῦ
σταυροῦ πᾶν τὸ σῶμα αὐτῆς
περιτειχίσασα, πρὸς τὰς
ἐπαγομένας βασάνους ἑ-
αυτὴν σχηματίσασα, προ-
θύμως ὑπέφερε· καὶ τῆς
τυπτομένης σφοδρῶς. φωνὴ

μεγάλη τὴν εὐχαριστίαν
καὶ ἐξομολόγησιν τῷ σω-
τῆρι ἀνέπεμπεν· ἡ δὲ οἱ
λέγουσα, ὅτι διὰ σὲ μόνον πό-
νους καὶ κόπους Χριστὲ ὁ θεός· καὶ ὁ πό-
θος ἡδύτερος· ἡ γὰρ δόξα τῆς
σῆς θεότητος παντοδύνα-
μος· τὴν ὑπομονὴν καὶ βο-
ήθειαν μοι παρεχομένη,
ἰδοὺ διὰ σὲ καὶ τὴν εἰς σὲ
πίστιν. τὸν νῶτόν μου δέ-
δωκα προφητικῶς εὐ-
θεῖν εἰς μάστιγας. καὶ τὰς
σάρκας μου εἰς χαλεπὰς ἀλγη-
δόνας. τὸ δὲ πρόσωπόν
μου διὰ τὸ ὄνομά σου τὸ ἅ-
γιον, οὐκ ἀπέστρεψα ἀπὸ πα-
σης αἰσχύνης καὶ λαλίης· σὺ
δὲ κε μὴ χρονίσῃς· ἀλλὰ
ταχινὸν εἰς τὴν ἐμὴν βοήθει-
αν. καὶ τὰ ἐλέη σου τὰ πλού-
σια κατάπεμψον ἐπ' ἐμοί·
δέξε τοί μου κατοικτεῖ-
σον ἐπιβλέψας ἐπὶ τὴν
ἡμῶν ταπείνωσιν. ὑπο-
μονὴν καὶ δύναμίν μοι παρε-
χόμενος, ὡς ὑπὲρ τῆς
σῆς θεότητος ἀγωνιζομέ-
νη. καὶ ταῦτα λεγούσης
Αὐτῆς καὶ προσευχομένης,
οὐκ ἐπαύσαντο οἱ ταύτην
ῥαβδίζοντες ἀπηνῶς οἱ
παραλλαγὴ δήμιοι τὸν ἀρι-
θμὸν ὀκτώ. οἱ τίμιες δήμα
μειηρεῖ τὸν ἵ τὰ μέλη ἀπαθῶν

θέντα· καὶ εὐθὺς ἀτονίᾳ πολλῇ
γεγονότα, πρὸς τὸν τύραν-
νον ἔλεγον· ἀγγέλους ὁμοίους
παρεστῶτας ἑωρακέναι· ῥά-
βδοις σιδηραῖς μαστίζοντας
αὐτούς. καὶ μέχρι ὀστέων καὶ
νεύρων καὶ μυελῶν, τὰς
σάρκας αὐτῶν ὡς ἀπὸ πυ-
ρὸς ἀπειλῆς κατακαίοντας.
Ὁ δὲ ἀπηνέστατος τύραννος
ἐν ἀπορίᾳ καὶ ἀμηχανίᾳ
πολλῇ καταστάς, ἐμμανῶς
ἐκέλευσεν ἐπὶ πλεῖον αὐ-
τὴν ῥαβδίζεσθαι. ἡ δὲ καρ-
τερικωτάτη μάρτυς, ὑπὸ
τῆς ἄνωθεν χάριτος μαρτυ-
ρουμένη ἐνδυναμουμένη. καὶ τὰς
ἐπιφερομένας βασάνους
ἀντ' οὐδενὸς λογιζομένη.
φαιδρῷ τῷ προσώπῳ τὴν
τοῦ παντοκράτορος θεοῦ δύ-
ναμιν, μεγάλῃ τῇ φωνῇ
ἐμεγάλυνε. τὴν δὲ ὠμό-
τητα καὶ ἀναίδειαν τοῦ μι-
αιφόνου τυράννου, περι-
φανῶς οὐκ ἐπαύσατο στηλι-
τεύουσα. εὐμένιος δέ τις
ὁμόφρων καὶ συγγενὴς τοῦ
τυράννου τυγχάνων· κομ-
τὸς εἶναι οἰόμενος· ὡς
δῆθεν οἰκτείρων καὶ χαλα-
ζων τὴν μάρτυρα, τοιάδε
φησίν· ὡς οὐ διὰ τὴν δόξαν
τῶν χριστιανῶν καὶ τὴν τοῦ
σταυρωμένου πίστιν τὰς

τοσαύτας πικρὰς βασάνους
ὑπομένεις· ἀλλὰ σεσοφι-
σμένοις μύθοις ἐξακο-
λουθήσασα· καὶ περιέρ-
γοις βιβλίοις μυσταγω-
γηθεῖσα, ἐπιδεικτικῶς
ποιεῖ φαντασίας· ἑαυτὴν
ἐπιδεικνύουσα ὡς ἀκτῖνι ἡ-
λίου περιλαμπομένην πρὸς
ἐξαπάτην τῶν πολλῶν. ἥ-
τις ἐπὶ τῆς εἱρκτῆς ἀπενε-
χθεῖσα, ὑπὸ τὴν ἐωσέληνον
ὑπὸ πυρὸς ἀναλυθεῖσι καὶ
θερμοῖς ὕδασι, λούσασθαι
παρασκευασθήτω. καὶ τοῖς
καθαιρεθήσεται, τὸ τῆς μα-
γγανείας αὐτῆς περίεργον.
Ἡ δὲ μακαριωτάτη μάρτυς
ἀπενεχθεῖσα ἐν τῇ φυλα-
κῇ, δι' ὅλης νυκτὸς, οὐκ ἐ-
παύσατο εὐχαριστοῦσα καὶ
προσευχομένη τῷ θεῷ. φω-
ναὶ δὲ ὡσεὶ πολλῶν ὄχλων
ἤκουον τό· συνυμνούντων
καὶ συμψαλλόντων αὐτῇ.
τῇ δὲ ἔσωθεν, ἀποστέλλεται
παρὰ τοῦ βασιλέως τρι-
βοῦνός τις λιμένιος τοὔνο-
μα· τοῦ ἐξαγαγεῖν τὴν μάρτυ-
ρα. καὶ παρασκευάσαι λού-
σασθαι τῷ ῥηθέντι θερμῷ
καὶ μιαρῷ ὕδατι. προσελθὼν
δὲ πλησίον τῆς φυλακῆς
ὁ λιμένιος, ἤρξατο βοᾶν δι-
ὰ ἀφάτου, ὡς ἀπὸ θυμοῦ

μα τῶν πολλῶν. καὶ τοῖς
συμπαροῦσιν αὐτῷ ἐπηρώτα
θαμβούμενος· τίς ἄρα εἴη
τοσαύτη θαυμαστὴ εἰσοδί-
α· οἱ δὲ ὄχλοι περιπλανώ-
μενοι ἔλεγον· παρὰ τῶν πο-
λιτῶν τὴν ἄδειαν ταύτην
γεγονέναι. διὰ τὴν ἀν παρ' οἷς
φιλτάτην τε παιδίσκην ὑπο-
σχομένην θύειν τοῖς θεοῖς.
οἳ καὶ εὐμενῶς ἐνεφάνισαν
αὐτῇ ἑαυτούς. προσελθοῦ-
σα δὲ πλησιέστερον, πλεῖο-
μος τῆς εὐωδίας τῶν θυμι-
αμάτων ᾔσθοντο. καὶ τὴν
πρώτην θύραν ἀνοίξαντες,
εἶδον φῶς πολὺ περιαστρά-
πτον τὸ οἴκημα. εἰσιόντες δὲ
αὐτοὶ ἐν τῷ δευτέρῳ οἰκή-
ματι, ὅπου ἦν ἡ φυλακὴ εἰς
διαφορὰ οἰκοδομήματα
κατεσκευασμένη, αἱ πλη-
ἤσαν τε μεγίστη. ὡς ἐκ τοῦ
πολλοῦ φόβου πάντας τρό-
μῳ συνεχομένους, ἐπὶ τοῦ
ἐδάφους καταπεσεῖν. με-
τὰ μικρὸν δὲ μόλις ἀναστάν-
τες ἐσώτερον, ἐπὶ τὸν τε-
τον οἶκον εἰσῄεσαν. ἔνθα
θεωροῦσι τὴν μακαρίαν Τα-
τιανὴν ἐπὶ θρόνου καθε-
ζομένην βασιλικοῦ. καὶ
πλῆθος ἀνδρῶν ἐνδόξων
καὶ διὰ τῶν λευχειμονούν-
των περικυκλοῦν αὐτήν. ὧν,

οὐκέτι ἦν ἱστορῆσαι λόγῳ τὴν
θέαν τῆς καλλονῆς. αὐτὴν
δὲ κατεῖχε μετὰ χεῖρας τὸ πυ-
κτίον. καὶ ἦν ἀναγινώσκουσα
τὰ μεγαλεῖα τοῦ θεοῦ. Ταῦ-
τα ἰδὼν ὁ Λικίνιος, καὶ
φόβῳ μεγάλῳ συσχεθείς,
μετὰ σπουδῆς ἐξῆλθεν ἐκεῖ-
θεν. καὶ ἀπελθὼν ἐν τῷ πα-
λατίῳ, ἀπήγγειλε τὰ θε-
αθέντα θεοῦ μεγάλα θαυμά-
σια τῷ ἀσεβεῖ βασιλεῖ·
ὃς ὑπὸ τῆς προτέρας ἠλιθι-
ότητος καὶ ἀναισθησίας
κρατούμενος, συνέδριον
ποιεῖται μετὰ τῶν ἱερέων
καὶ σοφιστῶν καὶ λοιπῶν ὁ-
μοφρόνων αὐτοῦ, βουλό-
μενος, τί ἂν δέῃ ποιῆσαι
αὐτῇ. παρ' ὧν καὶ ἐξηνέχθη
τὸ πονηρὸν συμβούλιον, ὡς
τὰ ἀπενεχθεῖσαν αὐτὴν εἰς
τὸν τῆς Ἀρτέμιδος ναόν,
καταναγκάζεσθαι θύειν. εἰ
μὴ βουλομένην τοῦτο ποι-
ῆσαι, θηρίοις εἰς βορὰν πα-
ραδοθῆναι. αὖθις δὲ πρὸς
τὴν εἱρκτὴν πάλιν δραμοῦ-
σαι ὁ Λικίνιος σὺν ἑταίροις
τισὶ μεγιστᾶσι τοῖς τῆς εἰ-
δωλομανίας ἐξάρχοις. τὴν
προσώπω τρόπω καὶ σχήμα-
τι τὴν μάρτυρα καθεζομέ-
νην ἐν βασιλικῷ θρόνῳ
κατεῖδον, τὰ τοῦ θεοῦ μεγαλεῖ-

Καὶ λόγια μεγάλα ἐκφωνῆ μεγάλε-
τῶσαν· καὶ τοὺς λευχείμονας
καὶ περιδόξους ἄνδρας
ἐκείνους οὓς κύκλωθεν περιεστῶ-
τας. ἰδοῦσα δὲ τὸ πονηρὸν
συνέδριον τῶν ἀσεβῶν συν-
ηθροισθέν, εἰς προσευχὴν
τὴν εὐχαριστήριον δοξολογίαν
μετέστρεψε· ῥυσθῆναι δεομέ-
νη πάσης τῆς ἐνέδρας καὶ πο-
νηρίας τῶν μιαιφόνων· ἐκ
τῆς τοῦ ἀρχεκάκου δαίμονος
σκαιωρίας, ἧς κατ' αὐτῆς ἀ-
σεβῶς ἐβουλεύσαντο· ἐν
Δὲ τῷ προσεύχεσθαι αὐτὴν ταῦ-
τα καὶ δεομένην πρὸς κύριον,
ἀναιδείας τόλμῃ χρησάμε-
νοι οἱ παρόντες θηλειωδίας
ἀναίμεσοι· χεῖρας ἐπιβάλ-
λουσι, ἀπὸ τῆς ἀκηράτου
καθέδρας ἐκείνης ἀφήρπα-
σαν· καὶ πρὸς τὸν τῆς μιαρᾶς
Ἀρτέμιδος δόμον ἀπήγαγον,
τῷ τυράννῳ παραστήσαντες·
ἐκεῖσε τότε προσιόντι,
ἣν ἰδὼν ὁ ἀναιδὴς φαιδρο-
τέρῳ προσώπῳ ὡς μαλθακὴν
ἢ πρότερον περισταμένην,
παρευθὺς καταπληττόμενος,
εἶπε πρὸς αὐτήν· κἂν νῦν
ὅτι ποτὲ γοῦν τὴν ἀπηνῆ σου
φρόνησιν ἀπέθου καὶ σὺ
αὐτὴν ἐπιστρέψαι προσελ-
θεῖν τε καὶ θῦσαι τοῖς θεοῖς;
ἢ ἔτι τῇ προτέρᾳ θρασύτητι κακῇ
παραμονῇ ἀπειρίως ὑπομένεις·
Ἡ δέ, σιωπῶσα τάδε πρὸς αὐτὸν ἀπε-
κρίνατο· ἡ ἐμὴ ἐπιστροφή,
βασιλεῦ, πάλαι πεπλήρω-
ται· ἐν τῷ μισῆσαι καὶ ἀπο-
στραφῆναι πᾶσαν ἀθέμιτον
πλάνην· καὶ κενὴν ἀπάτην·
καὶ τερπνότητα τῆς μα-
ταιότητος τοῦ προσκαίρου
τοῦ δὲ βίου· σχολάσαι τὲ
καὶ γνῶναι τὸν ὄντως ὄντα
θεόν, καὶ μαθεῖν ἀγαθὸν εἶναι
τὸ προσκολλᾶσθαι τούτῳ
καὶ τίθεσθαι ἐν τῷ κυρίῳ τὴν
ἐλπίδα μου· ἐξ ἧς ἀγαθῆς
προθέσεως καὶ πίστεως γνῶ-
θι, ὡς οὐ μετατραπήσομαι
ποτὲ κἂν πλείονα ἄλγη ἐπι-
κρότερα τῶν προτέρων
ἐπινοήσῃς κατ' ἐμοῦ κολα-
στήρια· πιστεύω γὰρ ἄνευ
σοι ἀσυγγνώμη τῷ κυρίῳ μου·
ὅτι ἐν αὐτῷ ῥυσθήσομαι·
ἀπὸ σκανδάλων ὑμῶν
τῶν ἐργαζομένων τὴν
ἀνομίαν. ὁ δὲ μαινό-
Μενος τύραννος, ἐπὶ τοῖς
λόγοις τούτοις χαλεπήνας,
εἶπε πρὸς αὐτήν· ἕως πό-
τε ἐπιμένεις τῇ κακίᾳ αὐ-
ταύτῃ τῇ πλάνῃ, βλασφη-
μοῦσα τοὺς θεούς, καὶ λοιδο-
ροῦσα τὸν ἡμέτερον θεοκράτορα,
καὶ σεαυτὴν ἀπατῶσα·
ἀλλ᾽ ἀμήχου τῆς ἡμετέρας

συμβουλῆς. καὶ προσελ-
θοῦσα θᾶττον, θῦσον θεοῖς ἅμ-
α τῇ μεγάλῃ θεᾷ Ἀρτέμιδι,
ἣ καὶ πάντες οἱ μέγιστοι καὶ
πατρῷοι θεοί, τὴν ἀξίαν θεοσέβει-
αν τοῦ κάλλους ἀξίως ἐκπεπληγότως
ἀνέθεντο. καὶ μὴ βουληθεῖ-
σα εἰς βλασφημῆσαι πρὸς αὐ-
τήν. ἡ δὲ θεοφιλεστάτη μάρ-
τυς ἀπεκρίνατο. κόλαξ εἶς
ἀνόητε τύραννε καὶ αὐτῶν
τῶν κατὰ φύσιν ἀπεστερημέ-
νε φρενῶν, εἰς τοῦτόν με
τὸν ναὸν εἰσελθεῖν, ἐν ᾧ ὁ
ἐνεργῶν ἐν σοὶ σατανᾶς κα-
τοικεῖ, ἐν τῷ ἀγάλματι κωφῷ
τυφλῷ ἀλάλῳ τε καὶ ἀκινή-
τῳ. ἀναίσθητον κάλλος ἢ μορφὴν
θαυμάσας; ὁ δέ, πρὸς αὐτήν·
εἴσελθε καὶ θῦσον προθύμως,
ὅπως μὴ ἀπειθήσασα θηρι-
ομαχήσῃς. ἡ δὲ μάρτυς θαρ-
σαλέως ἀνταπεκρίνατο. οὐ
θεοῦ μου χάριν παρέχοντος, καὶ
συνεργοῦντος τῇ ἐμῇ ἀσθε-
νείᾳ. κελεύοντος δὲ λοιπὸν αὐ-
τοῦ, ἰδοὺ εἰσπορεύομαι. ὁ
δὲ προσπαραμένων δαίμων
τῷ εἰδώλῳ τῆς Ἀρτέμιδος
ἰδὼν διὸ εἰσέρχεται τὴν μάρ-
τυρα γενναίως, ὀλοφυρόμε-
νος ἀποκλαιόμενος ὀδυρ-
μὸς τὴν οἰκείαν ἀπώλειαν.
ποῦ πορευθῶ ἀπὸ τοῦ πνς
σου ὅθεν τῶν ψαλμάτων λέ-
γων. καὶ ἀπὸ τοῦ προσώπου σου
ποῦ φύγω. πῦρ γάρ με φλέγον
διώκει ἐκ τῶν τεσσάρων γω-
νιῶν τοῦ ναοῦ ἀναπτόμενον.
Εἰσελθοῦσα δὲ ἡ γενναιοτά-
τη μάρτυς. καὶ τὴν ἐν Χριστῷ σφρα-
γῖδα ποιησαμένη, περιε-
σχημένη εὐθέως τῷ ξοάνῳ.
τῷ δὲ τυράννῳ λέγει ἐλεγ-
κτικῶς. βλέπε τὴν πλά-
νην σου βασιλεῦ. βλέπε
τὴν πολυκαλλῆ σου θεάν. στό-
μα μὲν ἔχουσαν ἄλαλον. ὀ-
φθαλμοὺς δὲ μὴ βλέποντας.
καὶ ὦτα μὲν μὴ ἀκούοντα.
χεῖράς τε μὴ ψηλαφώσας.
πόδας δὲ μὴ βαδίζοντας.
ταύτην γοῦν κελεύεις προ-
σελθοῦσάν με θῦσαι; ὁ δὲ
ἀλογώτατος Ἀλέξανδρος,
ἀλόγως τῷ λόγῳ περιχαρείς,
καὶ μηδαμῶς συνειδὼν ὅτι
ἐγγελᾶται, μετὰ περιχαρί-
ας ἀνέκραγε. χάρις τοῖς ἀθανά-
τοις θεοῖς φιλτάτη Τατιανή,
ὅτι τοῖς ἐμοῖς προστάγμασι πειθαρ-
χήσασα νῦν, ὑπήκοος ἐγνώ-
σθης. ἔν τε τελεσταῖς σου τοίνυν
προσελθεῖν, θῦσον τῇ θεῷ.
ἡ δέ, ὡς προσήγγισε τῷ βω-
μῷ τῆς Ἀρτέμιδος, ἐμβριμω-
μένη, κελεύει τῷ κατοικοῦντι
δαίμονι ἐν τῷ κωφῷ καὶ ἀλά-
λῳ εἰδώλῳ. ὥστε τρομάξαν-
τα καὶ φρίξαντα, συγκινῆσαι,

ἑαυτὸν μετὰ σφοδρότητος.
Καὶ σὺν τῷ ταράξαντα φοβερῶς
τοὺς περιεστῶτας τῆς πλάνης ὑπο-
ἐξάρχοντας, τὸ τάχος ἐξελ-
θεῖν. καὶ ὅτι τῶν πελλαχου-
σης αὐτῆς, ἀθρόως βρονταὶ
καὶ ἀστραπαὶ φοβεραὶ τὸν
χῶρον ἐπλήρωσαν. καὶ πῦρ
οὐρανόθεν καταρραγὲν, πολ-
λοὺς τῶν ἱερέων καὶ τῶν
ἀρχόντων σὺν τῷ ναῷ κα-
τέκαυσεν. ὄχλος τε τοῦ συ-
νελθόντος πλήθους ἱκανὸς
τεθανάτωται. καὶ τὸ δὲλ-
ουμβρος τῆς τοῦ βασιλέως
πορφυρίδος, πυρίφλεκτον
γέγονε. τὸ δὲ μυσαρὸν τῆς
Ἀρτέμιδος ἄγαλμα τεφρωθὲν,
ἀφανισμῷ παντελεῖ πα-
ρεπέμφθη. ἡ δὲ τῶν θείων
θαυμάτων τερατουργὸς πα-
ρθένος, τὸν ἐπινίκιον ὕμνον
θεῷ τῷ νικοποιῷ προσφέρου-
σα, μεγάλαις φωναῖς τὴν δ᾽
χάριν συνδοξολογίαν ἀπεδί-
δου. τὸ δὲ τῆς ἀλογίας ἀνδρά-
ποδον. καὶ τὸ τῆς ἠλιθιότητος
ἴνδαλμα ἀλέξανδρος. φόβῳ
μὲν καὶ τρόμῳ πρὸς ὀλίγον
ληφθείς, πάντη εἰδὲ λήθῃ
τὸ φοβερὸν ἐκεῖνο θαῦμα πα-
ραπέμψας. καὶ μηδαμῶς
συνιείς τῆς τοῦ θεοῦ δυνά-
μεως τὸ μέγεθος, σὺν ἰδεῖν,
κελεύει ἰουσίνῳ τινὶ τῷ

τῷ ἐπάρχῳ ὄντι ταρωμένος εὐ-
θὺς πείθει μακρὸν παραλαβεῖν
τὴν μακαρίαν τὴν μάρτυρα
πρὸς τὸ τῆς ἀντίτυπος ἀνάρτη-
θεῖσαν παραθίζεσθαι. καὶ σι-
δηρῶν ὀνύχων αἱμάσσειν ταῖς
σάρκας κατὰ ξαίνεσθαι. ἡ δ᾽
παραχρῆμα παραλαβὼν.
ἐπὶ τὸ πραιτώριον τε πο-
ρευθεὶς, καὶ προκαθίσας
ἐπὶ βήματος, προέστησε
κατὰ πρόσωπον αὐτοῦ παρα-
χρῆμα οὖσαν, καὶ μειδιῶσαν τῷ
προσώπῳ. πρὸς ἣν ὀργίλως
τῷ βλέμματι. μετὰ κραυγῆς
διαπειμονος ἀπεφθέγγετο. ὡς
καταγηώσα τῆς ἡμῶν ἐξου-
σίας προέστης. ἀλλ᾽ αἰδιαχρω-
μένη καὶ πρακτικῶς εἰ τὸν
πλουν κ᾽ ταπον ἥλιον καὶ τοὺς ἄλ-
λους εὐμενεῖς θεούς. οἷς εἰ ἀν
μὴ θᾶττον προσελθοῦσα θύσαις,
τὰ ἐν τῷ ναῷ σου διαπράξω
καὶ προβάλω κυσὶ βοράν. καὶ
ἴδωμεν εἰ δυνηθήσεται βοηθῆσαι
σοι ὁ θεός σου ὃν σέβῃ. ἡ δὲ, περι-
Σιασπικώτερον διατεθεῖσα, ἀ-
πεκρίνατο. ἐγὼ τελος θλί-
κατὰ γελα κατεγνωτος ὃν
τὸ ἄξιον. τὸν ἀλογίας πλή-
πλέων βασιλέα σου. ὃς δὴ ναι
ἀνήτως διακείμενος, ὑκηβου-
λήθης ὑπὲρ εἶναι τῶν δυνάμεων
τοῦ Χριστοῦ, ὢ ὀργίσαι κὸς ἡ πλα-
μενος. ἀλλ᾽ ἐξαπορηθεὶς ἐξα

μοίας καὶ μανίας πολλῆς,
εἰς τὰς μιαιφόνους σου χεῖ-
ρας με παρέδωκεν· ἰδοὺ γοῦν
παρέστηκά σοι μετὰ πλείονος
παρρησίας, ἀντιτασσομέ-
νη τῷ ἐκείνου προστάγματι,
καὶ τῷ σῷ θελήματι, ποίει
ὃ θέλεις· καὶ ταύτην παρα-
χρῆμα πρὸς τὸ ὕψος τῆς πονη-
ρίας ὁ ἔπαρχος ἀναρτηθεῖσαν
ἐπὶ τοῦ κολαστηρίου ξύλου,
παθίζεσθαι ἀφειδῶς· ἡ δὲ,
παθιζομένη, χριστὲ βοήθει μοι
τῇ πρὸς σὲ καταφυγούσῃ ἐβό-
ησεν· ὁ δὲ μεμηνὼς ἔπαρχος
κατὰ τῶν μαστῶν, ἀπηνῶς
ξέειν αὐτὴν τοῖς ὄνυξιν ἐπε-
τάξε· λέγων πρὸς αὐτήν· νῦν
παραστήτω καὶ βοηθησάτω
σοι ὁ θεός σου· ἡ δὲ καρτερόψυχος
Μάρτυς ἀπεκρίνατο· τελεσ-
θλῖε· τοῖς θεοῖς σου παντελεῖ
ἀπωλείᾳ παρέπεμψε· καὶ
σὺ τῆς ἀρχῆς αὐτοῦ καὶ μα-
κροθυμίας καταφρονῶν.
βλασφημεῖν τολμᾷς κατ' αὐτοῦ.
Καὶ οὐ μέγ νοεῖς πεπωρωμέ-
νος καρδίαν καὶ νοῦν ἀφρό-
νως· ὅτι γῆ μου τοσαῦτα καὶ το-
σοί, ῥᾳδίως δύναται εἰς
ᾅδου πέταυρον παραπέμ-
ψαι; ταῦτα πρὸς τὸν αἱμο-
χαρῆ τύραννον ἀποφθεγξα-
μένη, ἐσίγησεν ἐπὶ ὥραν ἱ-
κανήν. τῷ θεῷ μόνῳ τοῖς τῆς

διανοίας ὀφθαλμοῖς ἐνα-
περείδουσα· ὥστε νομίσαι
τὸν ἔπαρχον ἐκ τῆς ἀμέ-
τρου τῶν ἀλγηδόνων ἐπιφορᾶς
ταύτην διαφωνῆσαι, καὶ πε-
ράξαι τοῖς δημίοις φείσα-
σθαι αὐτῆς· ἔτι δὲ κρεμαμέ-
νην, ἐπηρώτα πάλιν εἰ βού-
λοιτο θῦσαι ἀπαλλαγῆναι
τῶν ὑπολοίπων βασάνων· ἡ δὲ
θαρσαλέως ἀπεκρίνατο· ἐγὼ
φησὶν ἔχουσα τὸν ἐν διωγμοῖς
τα μεθῶν· οὔτε τοῖς βεβήλοις
σου λατρεύσω θεοῖς· οὔτε τῶν
προσφερομένων μοι βασα-
νισθεισῶν αἴσθησιν λήψομαι
ποτέ· ἀπορίᾳ δὲ καὶ ἀμη-
χανίᾳ συσχεθεὶς πολλῇ ἐπὶ
τοῖς ῥήμασι τούτοις ὁ ἔπαρ-
χος· ἐπὶ ὥραν τινὰ μεμενη-
κὼς ἀχανής· εἶτα προστάττει
καθαιρεθεῖσαν αὐτὴν τῆς ἀν-
τυγος, ὡς μὴ δυναμένην αὐτὴν
βαδίζειν, ἐπιτεθῆναι κραβ-
βάτῳ· καὶ οὕτω βασταζομένην,
ἐπὶ τὴν εἱρκτὴν κομίζεσθαι.
Ἡ δὲ γενναιοτάτη μάρτυς·
σεμνῶς περιστείλασα τὸ κα-
τακρεουργηθὲν σῶμα αὐτῆς,
τάς τε τρίχας τῆς κεφαλῆς
πεδήσασα· ἀνδρείῳ τῷ
λήματι τοῖς δημίοις συνωθοῦ-
σα καὶ εἰς γῆν ῥίψασα,
δρομαίως τὸν σωτῆρα χρησαμένη,
ὁδηγεῖ αὐτῆς εἰς τὴν φυλακὴν

εἰσέρχεται· ὁ δὲ διωμενέστα-
τος ἔπαρχος· ἰδὼν τὸ πα-
ράδοξον τῆς παρ' ἐλπίδα
διαμονῆς τῆς μάρτυρος·
ὑπ' ἀσιαρχησάμενος, τὴν
εἱρκτὴν δεσμαίως καταλαμ-
βάνει· ἔνθα καὶ κατιδὼν αὐ-
τὴν ἐπὶ θρόνου παραδόξου
καὶ ὑψηλοῦ καθεζομένην· καὶ
τὸν θεὸν ὑμνοῦσαν μετὰ πλεί-
στης φαιδρότητος· ἔκπληκτος
τὸν νοῦν γεγονὼς, τὰς θύ-
ρας τῆς φυλακῆς κλείθροις
τε καὶ σφραγῖσιν ἀσφαλι-
σάμενος· καὶ φύλακας οὐκ ὀ-
λίγους παραστησάμενος,
ἄπεισι πρὸς τὸν ἔχθιστον
βασιλέα· τὰ περιχθέντα
τε καὶ θεαθέντα διηγησά-
μενος· ὁ δὲ παράνομος
βασιλεὺς· μήτε τῆς θείας
διαμονῆς τὴν ἐνέργειαν
ἐννοῆσαι βουληθεὶς· μή-
τε τῶν παραδόξων τερα-
στίων τὸ μέγεθος ὡς δέον
θαυμάσαι δυνηθεὶς, θηρίοις
ὁ θηρίων ἀγριώτερος εἰς βορ-
ρᾶν ῥιφῆναι τὴν μάρτυρα
προσέταξεν· τῇ ἑωθεινῇ οὖν
ἀθροισθέντος ὄχλου πολλοῦ
εἰς τὸ θέατρον· ζωηθέντος
δὲ καὶ τοῦ δυσμενοῦς ἰουστίνου
τοῦ ἐπάρχου μετὰ τοῦ δυσσε-
βοῦς βασιλέως, ἠνέχθη
θὴρ τὴν θέαν φοβερὸς· λέ-

ων παμμεγέθης· ὃς ἦν τρε-
φόμενος παρ' αὐτοῖς· ἐφ'
ἡμέραις δὲ τόστε τεῖσι, μὴ
μεταδοθῆναι τούτῳ ὅλως
τροφῆς ἐπέτρεψαν· ὥστε ἂν
λιμαγχονούμενος, σφοδρό-
τερον ἀναλώσῃ τὴν μάρ-
τυρα· θυμωθεὶς ὡς δὲ σε-
ρωερεθιζόμενος· εἰσα-
χθείσης δὲ τῆς γενναιοτά-
της παρθένου εἰς τὸ μέ-
σον τοῦ θεάτρου· ἦχος κατα-
πληκτικὸς ὡς ὅθεν διεδόν-
θη· ὥστε πάντας θροηθέντας
πτοηθῆναι· ὁ δὲ τὸν τρόπον
καὶ τὴν γνώμην δόλιος τυ-
ράννων πανοῦργος βασιλεὺς·
λόγοις κολακευτικοῖς ὕπου-
λως προσχρησάμενος, ἐπει-
ρᾶτο τὴν σεμνὴν Χριστοῦ
παρθένον ἐξαπατῆσαι· καὶ φησίν·
ὄμνυμί σοι τοὺς ἀθανάτους
θεοὺς τάλαινα· ὡς λίαν σε
στέργω καὶ περιπολλοῦ ποι-
οῦμαι, τοῦ μὴ κακὴν κακῶς
τῆς ἡδίστης ταύτης ζωῆς στε-
ρηθῆναί σε· οὗ δὴ χάριν
ἰδοὺ καὶ ἐπιτρέπω σοι πειθαρ-
τεροῖσι παραιτεῖν πρὸς ἀ-
πειθείαν ἐμὴν καὶ θεραπεί-
αν τῶν θεῶν, ἀλλ' ἢ τοῦτο
μόνον· ὁμολόγησον εἴ που
ἐπὶ λόγῳ μόνῳ ψιλῷ δῆθεν
θῦσαι μόνας ὃ προκείτωσ τῶν
θεῶν ζεῖσ, καὶ παραθύσεσθε

σοιμ ἄμ ἐπὶ πάντων ἀνα-
γορεύσω καὶ βασιλίδα
περιφανεστάτην πεισθό-
ξως ἐπὶ πᾶσιν ἀνακηρύ-
ξω. ἡ δὲ τὴν γυμνὴν καὶ
Τὴν ποτ' ἴσιν διατηροῦσα ἀμε-
τάτρεπτον, χῶ, τῆς παρ'
αὐτοῦ συνεργείας, τὴν σω-
τήριον ἀντίληψιν ἐπικα-
λεῖται, πρὸς τελείωσιν
τῶν γενναίων ἀγώνων αὐτῆς,
τοῦ δὲ τυράννου τοῖς ἀπα-
τηλοῖς λόγοις ὡς λῆρον
ἡγησαμένη, ἱκανῶς ἐκω-
μῴδησεν. ὁ δὲ θηριώδη
θυμὸν συσχεθείς, ἀφεθῆναι
κατ' αὐτῆς κελεύει τὸν λέ-
οντα. καὶ ὁ λέων ἀπολυθείς, βρυ-
χώμενος μὲν ἔδειξεν, οὐ μὴν
θηριωδῶς προσῆλθεν. ἀλλ' ὡς
σέβας λογικῶς ἐνδεικνύ-
μενος. τοῖς ποσὶ προκύψας
τῆς μάρτυρος, τούτους κατα-
φιλούμενος περιέλειχεν.
ἡ δέ, ἰσχυρῶς ἀτρόμως καὶ ἀ-
ταράχως, τὴν εὐχαριστήριον δο-
ξολογίαν μεγαλοφώνως
τῷ θεῷ ἀναπέμπουσα. καὶ
τῆς ἰσχύος αὐτοῦ τὴν μεγα-
λοπρέπειαν ἀνακηρύττου-
σα. τήν τε τῶν παλαιῶν εἰ-
δωλοχατερῶν αἰναίσθητον
σωμότητα στηλιτεύουσα. τὴν
τὴν παρὰ κυρίου βοήθειαν καὶ
σείαν ἱκετικῶς ἐπικαλου-
μένη. πρὸς δὲ τὸν ἄλογον
τύραννον Ἀλέξανδρον ἔφησεν.
ἔγνως βασιλεῦ τῶν πολυ-
Τρόπων σου μηχανημάτων
καὶ τῶν ἐπαγωγῶν ἐπιτηδευ-
μάτων τὸ σαθρὸν καὶ ἀνί-
σχυρον; ἔγνως τὴν τοῦ παν-
τουργοῦ δεσπότου Χριστοῦ δύνα-
μιν καὶ θηρίων ἀγριότητα
εἰς πολλὴν ἡμερότητα μετα-
βαλοῦσαν; ἔγνως πῶς τὸ
πεπληρωμένην ἔχων πᾶ-
σαν τὴν τῶν ἀντιθείων
ἐνέργειαν· οὐ σωπήσεις
τῆς παντοδυνάμου δεσποτεί-
ας τοῦ θεοῦ τὸ δραστήριον
κράτος. δέου καὶ ὁ τῆς ἀπω-
λείας πρόξενος Ἀπόλλων,
ἀπωλείᾳ παντελεῖ παρα-
δέδοται. καὶ οἱ ὑπ' αὐτοῦ πλα-
νώμενοι, ἐνδίκως δὲ κηθατ-
τὸν θάνατον αὐτῷ περισυμφή-
σαν. καὶ τὸ τῆς Ἀρτέμιδος
ἴνδαλμα σὺν τοῖς ἐνοικοῦσι
τάλλι δαιμονίοις, εἰς ἀφανισμὸν
ἀπωλείας ἠλάθησαν. καὶ
νῦν ἡ φονικὴ ἀγριότης, εἰς
εἰρηνικὴν ἡμερότητα ὑπερ-
φυῶς μεταβέβληται. τῆς
οὖν κατὰ φύσιν ἡμερότητος,
ἧς ἀνήμερον θηριωδίαν
τοὐναντίον ὁρμῇ μετατεθείσης.
Ὁ δὲ πεπωρωμένος τὰς φρέ-
νας βασιλεύς. ἐλέπων ἡμέ-
ροις κινήμασι τὸν λέοντα

προσαιμοῦντα τῇ μάρτυρι ἀ-
ἅμα ἀθρόως τὸ θαῦμα τοῖς
θεοῖς αὐτοῦ προσανατεθῆναι
βουληθείς, λέγει πρὸς αὐτήν·
ὑμβροις τρόποις τὰ στιανη-
νησίως διατεθεῖσα πρὸς
τὴν τῶν θεῶν εὐμένειαν, ὁ-
μολόγησον τὴν διάνοιαν τοῦ
Διός· αὐτὸς γάρ ἐστιν ὁ καὶ τὸν
θῆρα σοι ἡμῶν εἰρηνεύοντα
παρασκευασάμενος. ἡ δὲ πάν-
σοφος μάρτυς, πάντων πρὸς
ταῦτα ζωηρῶς ἀπεκρίνατο·
ἡ τῷ σῷ φησὶ πεποιθότας
Ἀπόλλωνι τῷ τὴν ψυχὴν
ἀπώλεσεν ἄν σοι πεποιθοῦμε-
νω. ἢ μὰ στῆναι καὶ βοηθῆσαι
οὐκ ἴσχυσεν ἀπολλυμένῳ.
οὔτε μὴν τῇ πολυμόρφῳ καὶ
περικαλλεῖ σου θεᾷ Ἀρτέμι-
δι, ἣν διώκουσι. ἣν τί λήψειν
τινὰ παραχεῖν οὐ δεδύνηται,
πῶς ἐμοὶ βοήθειαν ἀδελφῆς
ἐμὴν βραβεύσει; τῇ διὰ τῆς
δυνάμεως τοῦ σταυροῦ Χριστοῦ τὴν
αὐτοῦ ματαιότητα καὶ ἀσθέ-
νειαν ἐν ἄθλοις ποικίλοις
περιφανῶς στηλιτευούσῃ.

Κελεύσαντος δὲ τοῦ ἀλάστορος
Ἀλεξάνδρου τὸν λέοντα
πάλιν ἐν τῇ γαλεάγρᾳ βλη-
θῆναι, καὶ τοῦ λέοντος κόμου
κτύπον τινὰ τελέσαντος,
ἤλατο ὁ λέων κατὰ τὸ μέσον
τοῦ θεάτρου. καὶ λιμώττου

τῆμος συγγενέως τοῦ βα-
σιλέως λαβόμενος, παραυ-
τίκα διασπαράξας ἀπέκτει-
νεν αὐτόν. οἱ δὲ συνηθροισμέ-
νοι ὄχλοι πτοηθέντες, ἐκραυ-
γασαν μεγάλαις φωναῖς
λέγοντες· σῶζε ἀναικήσα-
σον βασιλεῦ ἣν ὁ μέγας θεὸς
τῶν θεῶν περιποιεῖται· ὅτι
οἱ ἄγριοι θῆρες οἰκτείρουσιν
εἰρηνεύοντες, ἀπολυθῆναι
πρόσταξον τὴν ταπεινήν· δι' ἣν
ὀργιζομένου τοῦ μεγάλου
θεοῦ, οἱ θεοί σου ἀπώλοντο.
εἰρηνικῶς πρὸς αὐτὴν
διατέθηνται. διὸ ἣν ὁ ἐν ὁμοίοις
κατοικῶν οὐρανοῖς ὕψιστος θεός, τοὺς
ἐν τοῖς ἀγάλμασιν ἐμφω-
λεύοντας ἐφυγάδευσε δαί-
μονας. ὁ δέ, τῇ συνηθείᾳ
τῆς ἀλογίας κρατούμενος
ἠλιθιότητι, λέγει πρὸς
τὴν ἁγίαν· ὁμολόγησον ἐν
ταπεινῇ, τὸν Δία θεὸν καὶ
ἀπολύθητι. ἡ δέ, σιωπηλῶς
ἀπεκρίνατο· ἐγὼ Χριστὸν ὁμο-
λογῶ τὸν ἀληθινὸν θεόν. τὸν
διδόντα τοῖς ὁμολογοῦσιν
αὐτὸν ἐξουσίαν, καταπα-
τεῖν ἐν μέσῳ τῶν ἐχθρῶν
αὐτοῦ. καὶ τοῖς ψευδωνύ-
μοις ἐξολοθρεύειν θεοῖς.
τοῦτον δὲ τὸν Δία ὃν σὺ πλα-
νώμενος θεὸν καλεῖς, ὁμο-
λογῶ χαλκεον ἀνδριάντ-

τὸν πλανῶντα· χερσὶ τεχνιτῶν
μεμορφωμένον· ὡς ἀκίνητόν
τε καὶ ἄψυχον ἐννοιῶν ἔχοντα
διανοίᾳ ὅμοιον κακοποιόν· ὃν πρ(ὸς)
περισσῶν τῷ Χ(ριστ)ῷ διαπρεσβευτής,
θατὴν αἰῶνος τελέσαι παρόμοι
ον τῷ Ἀπόλλωνι· τοῦ ἀποστό
λου Παύλου· καλῶς λέγον
τος ἐν ἁγίῳ πνεύματι· νόμος
παρεισῆλθεν, ἵνα πλεονά
σῃ τὸ παράπτωμα· ὅσον δὲ
γνῶ αὐτὸς ἀντίθεον δόγμα
καὶ τοῦ θείου νόμου ἀντίπα
λον, ἀντινομοθετῶν ἀσεβῶς
πλεονάζεις, τῆς ἀσεβείας
τὸ παράπτωμα, τοσοῦτον
καὶ πολλῷ πλέον ὑπερπερισ
σεύουσα ἡ χάρις τοῦ Χ(ριστο)ῦ· τὴν
τῆς παρανομίας ἀθέτησιν
καὶ τὴν τῆς ἁμαρτίας ὑπερ
βάλλουσαν πονηρίαν· διὰ
σοῦ καὶ τῶν σοὶ ὁμοφρόνων
ἐνεργουμένην· ἀποσωρη
νίζει καὶ καταργεῖ διὰ
τῶν ἐπικαλουμένων τὴν πί
στιν τὸ φοβερὸν αὐτοῦ ὄνο
μα· τούτων οὕτω σοφῶς

Καὶ προσηκόντως ῥηθέντων
ὑπὸ τῆς μάρτυρος, ἀμηχα
νίας καὶ ἀφασίας ὁ ἀλάστωρ
πληρωθεὶς, πρὸς τὴν εἱρκτὴν
ἀπαγαγέσθαι ταύτην προστάτ
τει· ἔνθα παραγενομένη, ὅ
λης νυκτὸς ἦν ἀγαλλιωμέ
νη μετὰ τῶν ἁγίων ἀγγέλων
τῶν εἰς ἐπικουρίαν καὶ βο
ήθειαν αὐτῆς ἀεὶ παρεπο
μένων· ψαλμοῖς καὶ ὕμνοις
καὶ ᾠδαῖς πνευματικαῖς ᾄδουσα·
καὶ μελῳδοῦσα τὰ σωτηριώδη
μεγαλεῖα τοῦ θ(εο)ῦ· ἡμερῶν
δὲ δύο διελθουσῶν, προ
σελθὼν ὁ τῆς ἀσεβείας
βασιλεὺς λατρείας ματαίου
ἐπιτηρῆσαι ἐν τινὶ τῶν εἰ
δωλικῶν σηκῶν ἔνθα τὸ
δωδεκάθεον τῶν δαιμο
νίων ἰνδαλμάτων εἱστήκει,
ἀχθῆναι προστάττει τὴν
ἀθλήτριαν ταύτην Τατιανήν· ὡς
οὖν εἰσῆλθε φαιδρῷ τῷ προ
σώπῳ βολὰς ἀκτίνων ἡλί
ου δίκην τῷ κάλλει ἀποστίλ
βουσα, πάντα τὸν περιε
στῶτα τῷ θάμβει κατέπλη
ξεν· ὁ δὲ ἠλίθιος ἔξαρχος

Τῆς πλάνης Ἀλέξανδρος
ἀναιδείᾳ σὺν ἀλογίᾳ χρησά
μενος, λέγει πρὸς αὐτήν·
Τατιανή· ὀνόμασον τὸν Δί
α θεόν, καὶ σωθήσῃ, τῶν
προκειμένων κολαστηρί
ων ἀπαλλαγεῖσα· ἡ δὲ γεν
ναιοτάτη μάρτυς Χ(ριστο)ῦ μετὰ
παρρησίας ἀπεκρίνατο·
ἐγὼ θεὸν ἀληθινὸν ἐκ θ(εο)ῦ ἀλη
θινοῦ γεννηθέντα, τὸν Χ(ριστὸ)ν
ὀνομάζω· τοῦτον δὲ τὸν χαλ
κότυπον Δία, ἤδη καὶ προ
τρομεῖ τον· καὶ νῦν μετὰ πα

της ἀληθείας λέγω· τοῦτον
εἴδωλον εἶναι κωφόν, ἀκί-
νητόν τε καὶ ἀναίσθητον· πνεύ-
ματος πονηροῦ πεποικημένον, τῇ
ἐνεργείᾳ τῆς πλάνης εἰς
ἀπώλειαν πολλῶν ποι-
ούμενον. ὁ τύραννος δὲ θυμοῦ καὶ
μανίας δαιμονιώδους ληφθεὶς
καὶ ὀξέως ἀναφθεὶς ἀλέξανδρος,
προστάττει τὴν ἀνδρείαν ὁ-
φερώνυμα μάρτυρα κρεμασθῆ-
ναι ἐπὶ τοῦ ἰκρίου, ξέεσθαι
ἀφειδῶς. ἡ δέ, τεινομένας
τὰς σάρκας κατατεμνομέ-
νη, οὐ φωνὴν ἀλγουμένων
ἀφίησιν· ἀλλ' εὐψυχίᾳ καρ-
τερίᾳ καὶ μεγαλοψυχίᾳ στερρό-
τητι· τὴν εὐχαριστίαν δοξολο-
γίαν ἐκ τῆς δαυιτικῆς ὑμνω-
δίας τῷ σωτῆρι εὐφρόνως προσ-
προσέφερεν· ἀφειδῶς δὲ

Κατακρεουργημένη τῶν αἱμο-
βόρων δημίων χερσὶ τοῦ
τε κήρυκος ἐπιβοῶντος
μεγάλῃ φωνῇ καὶ λέγοντος·
ὁμολόγησον ταπεινὴ τὸν
Δία θεόν, καὶ σωθήσῃ· μεγα-
λοφωνότερον ἐκείνη χριστι-
ανὴν ἑαυτὴν ἀνεκήρυττεν.
καὶ τὸν Χριστὸν μόνον θεὸν ἀνωμο-
λόγει καὶ κύριον. κἀκείνη μὲν
μέχρι τῶν ὀστέων καὶ τῶν μυ-
ελῶν αὐτῶν τὰς πολυωδύ-
νους πληγὰς ὑπέχουσα, μᾶλλον
ὑπὸ τῆς ἄνωθεν ἐνεδυναμοῦτο
δεξιᾶς. οἱ δὲ τὰς πληγὰς ἐπά-
γοντες τιμωροί, ἐκμεναει-
σμένοι καὶ ἐκλελυμένοι ὑπ'
ἀγγελικῆς δυνάμεως γεγε-
νημένοι, ὑπὸ παντελεῖ ἀτο-
νίᾳ κατέπεσον. ἀναφανδὸν δ'
ἐκδιηγούμενοι πᾶσι, τὴν
ἐπισκήψασαν αὐτοῖς τὴν
ἐπουράνιον μάστιγος ἀκαρτέ-
ρητον τιμωρίαν. ὁ δὲ τοῦ σκό-
Τους καὶ τοῦ πυρὸς κληρονό-
μος ἀλέξανδρος. ἐμπιπλά-
μενος θυμοῦ καὶ μανίᾳ ἀνα-
πτόμενος, προστάττει πυρὶ
παραδοθῆναι τὴν ἁγίαν μάρ-
τυρα. πυρᾶς οὖν μεγάλης
ἀποτελεσθείσης παρὰ τῶν
ὑπηρετῶν τῆς ἀπωλείας
παραπλησίως τῇ βαβυλω-
νίᾳ, μέσον αὐτὴν πεδήσαντες
ἐναπέρριψαν. ἡ δέ, χειρὶ θεί-
ου ἀγγέλου καθάπερ οἱ τρεῖς
παῖδες γενναίως διατηρηθεῖ-
σα ἀλώβητος, ἵστατο μέσον
τῆς φλογὸς τὸν παγκόσμιον
ὕμνον γηθοσύνως ᾄδουσα,
δαυιτικαῖς μελῳδίαις χο-
ρεύουσα· καὶ τὰ μεγαλεῖα τοῦ
θεοῦ μεγάλαις φωναῖς προσ-
διηγουμένη. τόν τε λυμε-
ῶνα ἀλέξανδρον περι-
φανῶς διελέγχουσα καὶ
τὴν πλάνην τῶν εἰδωλο-
μανούντων ἐμβριθῶς στη-
λιτεύουσα. ὁ δὲ τῆς γοητεί-
ας ἔκγονος, γοητικαῖς πολ-

ἐργίαις τὰ μεγάλα θαυμάσια τῆς τοῦ θεοῦ δυνάμεως ἐπιγράφειν ἐτόλμησε· καὶ τὸν κόσμον τῶν τῆς κεφαλῆς αὐτῆς τριχῶν, περιαιρεθῆναι καὶ ξυρισθῆναι πρὸς τὰ ἴχνη· μάτην οἰόμενος ὁ ἀνόητος καὶ κενολογῶν συντόμοις μυστηρίοις μιερεύσιν. ὥσπερ ἐν τοῖς θριξὶ καὶ τοῖς βοστρύχοις ἔχειν μὲν ἦν τὴν τῆς μαγικῆς μαγγανείας ἰσχὺν καὶ ἐνέργειαν. τούτου

Δὴ θᾶττον ἢ λόγος γεγενημένου, βρενθυόμενος ὁ σοβαρὸς καὶ ὑπερόφρων ὡς δή τι μέγα καὶ σοφὸν ἐφευρὼν κατ' αὐτῆς, ἔφη· βλέπεις τὰ γυμνὴ πῶς ἀπὸ σοῦ περιῃρέθη τῆς ἐνεργούσης γοητείας τὸ νῖκος καὶ κράτος; τί λοιπὸν ἀπὸ τοῦ νῦν παλινοποιῆσαι δυνήσῃ. ἰδοὺ μὲν ἐνίκηταί σοι νῦν ἅπαν τὸ περίεργον ἐπιτήδευμα. ἀλλαχοῦ τοίνυν πειρᾶσθαι μοι παραινῶ τι καὶ θᾶττον προθύμως. ἡ δὲ συνετῶς ἄγαν, τῷ ἀσυνέτῳ ἀπεκρίνατο· ἐπειδὴ γέγραπται παρὰ τῷ πανσόφῳ ἀποστόλῳ Παύλῳ· ὡς ἐὰν φησὶ κομᾷ γυνή, δόξα αὐτῇ ἐστί· σὺ δὲ τὴν δόξαν ταύτην δεδωκυῖαν ὁ θεὸς ἐμοί τὸ ποίημα τί αὐτοῦ παρανόμως ἀφεῖλες. ἀνθ' ὧν οὖν ἐτόλμησας περιαιρεθῆναι καὶ ταύτην τὴν ἀνομίαν ταῖς λοιπαῖς ἀνομίαις σου, ἀφελεῖται σου ὁ θεὸς τὸ βασίλειον τοῦτο, ὅπερ παρανομῶν ἀναξίως διέπεις. καὶ ἀπὸ τῆς κοινῆς ταύτης δόξης δικαίᾳ κρίσει θεοῦ ἀπωσθήσῃ. καὶ εἰς ᾅδου μετὰ δυσώπης πολλῆς ἐν αἰσχύνῃ καὶ ἐν τροπῇ μεγάλῃ κατενεχθήσῃ· τῷ αἰωνίῳ θανάτῳ καὶ ἀπεράντῳ κατὰ δίκην τῆς τοῦ θεοῦ δικαιοκρισίας παραπεμπόμενος. ὁ δὲ τῆς

Ὀργῆς ἔκγονος ὀργίλως ἐπὶ τοῖς λόγοις τούτοις διατεθείς, προστάττει τὴν καλλίνικον μάρτυρα ἐν τῷ ναῷ τοῦ μιαροῦ Διὸς ἀνακατάκλειστον γενέσθαι. ἡ δὲ ἁγία ἔνδον τοῦ ναοῦ γενομένη, ἣν δὴ μὲν κόσμον ὑμνήσατο τὸν θεὸν καὶ δοξάζουσα κατὰ πᾶσαν νύκτα καὶ ἡμέραν. ὁ δὲ τῆς ἀσεβείας βασιλεὺς σὺν τοῖς εἰδωλικοῖς ἱερεῦσι καὶ πάντων, ἐπορεύετο μέχρι τῶν προπυλαίων τοῦ ναοῦ. οὐ μὴν δὲ αὐτῶν τις ἐτόλμα προ

αὐτὴν εἰσελθεῖν. διὰ τὸ σύμφωνον τῶν μυριάδων ἀγγέλων ἀκούεσθαι, ψαλλόντων σὺν αὐτῇ. Ὁ δὲ τῆς πλάνης θεόμαχος πλανώμενος, ἔλεγε τοῖς μετ' αὐτοῦ· βλέπετε τὴν δύναμιν τοῦ μεγάλου Διός, ὅπως πάντας τοὺς λοιποὺς ζωηφόρους θεούς, ὥστε τὰ τελούμενα μυστήρια κινῆσαι αὐτήν; τειτις οὖν ἡμέρας διαγενομένης, προσέταξε ταύρους ἐνεχθῆναι καὶ τῷ Διῒ θυσίαν τελέσαι. ἐξενεχθῆναι δὲ τὴν μάρτυρα καὶ κεῖσε παρεῖναι. ὡς ἤδη φησὶ μεμυημένην τὴν μυσταγωγίαν τῶν θεῶν. οἱ δὲ τὰς θύρας ἀνοίξαντες, θεωροῦσιν αὐτὴν μὲν ἐπὶ θρόνου καθεζομένην· καὶ τὰς παρας τινὰς ἐνδόξους ὥσπερ σεβάζοντας αὐτήν. ὧν τὸ κάλλος ἦν τῆς λαμπρότητος, οὐκ ἔστιν εὐχερῶς διηγήσασθαι. ἀντὶ μὲν τῶν θυμιαμάτων τὴν μυρόπνοον εὐωδίαν. τὸ δὲ τοῦ λιθίνου Διὸς ἴνδαλμα, συμπεπτωκὸς εἶδον καὶ διαλελυμένον ὥσπερ κονίαν λεπτήν. ἔκπληκτος δὲ γενόμενος ὁ ἐμβρόντητος τύραννος ἐπὶ τῇ τηλικαύτῃ ἐκφανερότητι τῆς καλλινίκου μάρτυρος, φησὶ πρὸς αὐτήν· ποῦ ὁ μέγιστος τῶν θεῶν Ζεύς; ἡ δὲ μακαρία Τατιανὴ ἀπεκρίνατο· λογοθετούμενος ἐν δεξιᾷ βασανιζόμενος ἔσω παρὰ Χριστοῦ τὰ πρόσθεν ἀπὸ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος. καὶ διὰ τοῦτο δὴ καὶ ἀδίκῃ παραδοθεῖσα ταῖς τιμωρητικαῖς δυνάμεσι, τὴν αὐτὴν καταδίκην παραπλησίως ὑπέστη τῷ Ἀπόλλωνι. λιθουργηθεὶς ὥσπερ κονιορτός, καὶ εἰς παντελῆ χωρήσας ἀφανισμόν. ἐξαπορηθεὶς

Οὖν ἐν πᾶσιν ἐπιτηδεύμασιν πολυτελῶν μηχανημάτων καὶ τεχνασμάτων ποικίλων, ὁ πανταχόθεν ἠπορημένος καὶ κατῃσχυμμένος δολιόγνωμος καὶ σκολιόβουλος Ἀλέξανδρος, εἰς ἐσχάτην τε καταντήσας ἀμηχανίαν ἀπορίαν, μηκέτι φέρων ὁρᾶν τῆς ἰδίας δεισιδαιμονίας τὸν καταγέλωτα· καὶ τὴν αἰσχύνην τῆς ἀπωλείας τῶν σεβασμάτων αὐτοῦ, δίδωσι τὴν κατὰ τῆς ἁγίας μάρτυρος ἀπόφασιν. τὴν διὰ τοῦ ξίφους ἐπαγαγεῖν αὐτῇ τιμωρίαν. ἡ δέ, περιχαρὴς γενομένη ἐπὶ τῇ τοιαύτῃ ἀποφάσει, ὡς πάνυ ἐπιποθοῦσα καὶ πολλὰ σπεύσασα κατὰ τὸν μέγαν ἀπόστολον ἀναλῦσαι καὶ

σοὶ χρεωστοῦμαι· τὸ εὐχαριστή
ριον εὐχαρίστως καὶ δοξολογι
τῷ στεφοδότῃ μεγαλοφώνως
ἀποδίδωμι· εὐχαριστῶ σοι λέγου
σα δέσποτα παμβασιλεῦ· τῷ
παραδόξως προνοίᾳ τῆς σῆς
ἀμάχου δυναστείας τὴν σὴν δού
λην μέχρι τέλους ἐν τῇ σῇ ὁμο
λογίᾳ σου τηρήσαντι· τῷ τοὺς
κοσμοκράτορας τοῦ σκότους
τοῦ αἰῶνος τούτου παραδει
γματίσαντι· καὶ τοὺς ψευδω
νύμους καὶ χειροποιήτους
εἰδωλικοὺς θεοὺς ὡς κο
νιορτὸν καταπατήσαντι· καὶ κα
ταισχύναντι τοὺς ἀνοήτως
προσκυνοῦντας αὐτοῖς· τῷ τὴν
καρτερικωτάτην Ἰὼβ διὰ πο
λυτρόπων πειρασμῶν δο
κιμάσαντι· καὶ διὰ ὑπομονῆς
ἐπὶ τέλει τῶν ἄθλων στεφα
νώσαντι· καὶ τὸν πολυμήχα
νον ἐχθρὸν αἰσχύνης πληρώ
σαντι· τῷ ποιοῦντι πάντα
καὶ μετασκευάζοντι μόνῳ τῷ
βούλεσθαι· τῷ διὰ τῆς σῆς
φιλανθρώπου ἐνανθρωπήσεως
παθόντι καὶ ὕβρεων καὶ τοῦ
διὰ σταυροῦ θανάτου, σὲ ἀνα
ἀθανασίαν ἡμῖν τῇ σῇ ἀ
γαθότητι χαρισαμένῳ· τῷ
σοὶ προσελθόντι εὐγνώμονι
λῃστῇ δι' ἐξομολογήσεως,
τὸν παράδεισον κληροδοτή
σαντι· καὶ πᾶσι τοῖς πρὸς σὲ
ἐπιστρέφουσιν ἐν εἰλικρινεῖ
καρδίᾳ, μετανοίας πύλας
ἀνοίξαντι, σὲ ἐπικαλοῦ
μαι τὸν μόνον πολυεύσπλα
γχνον καὶ ἀναμάρτητον· τὸν
σωματώσαντά με καὶ φωτί
σαντά μου τὴν ψυχὴν καὶ
πρὸς τὴν ἐπίγνωσιν τῆς σῆς
λατρείας ἑλκύσαντα· τὸν
ἐκ σκότους ῥυσάμενον
τῆς ἀγνωσίας· καὶ τῷ ἀλη
θινῷ φωτὶ τῆς σῆς θεότη
τος καταυγάσαντα· τὸν ἐν
τῇ ἐμῇ ἀδρανείᾳ ἀσθενείᾳ
τὴν μεγάλην ἰσχὺν τῆς σῆς
παντοκρατορικῆς ἐξουσί
ας παραδόξως πᾶσιν ἐμφανι
ζομένην ὑποδείξαντα· σὲ

Δέομαι καὶ σὲ καθικετεύω
φιλάνθρωπε δέσποτα, πρόσ
δεξαί μου τὴν ψυχὴν ὡς θυ
σίαν καθαρὰν καὶ προσφο
ρὰν εὐπρόσδεκτον· καὶ συ
ναρίθμησόν με μετὰ πάντων
τῶν ἀπ' αἰῶνος σοι εὐαρε
στησάντων ἁγίων· ἀλλὰ
ἀπόδος δὲ δέσποτα τῷ ἀ
ναιδεστάτῳ ἀλεξάνδρῳ κα
τὰ τὴν πονηρίαν τῶν ἐπι
τηδευμάτων αὐτοῦ· καὶ κα
τὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ
δὸς αὐτῷ ἀνθ' ὧν κατεφρό
νησε τοῦ μεγέθους τῆς σῆς
κραταιᾶς ἰσχύος· καὶ κατὰ τῆς
σῆς δούλης πλεῖστα κακὰ ἐνεχ

στήρια καὶ χάλκεα τὰ σεβλω-
τήρια κατειργάσατο. ὅπως
διὰ τῆς εἰς αὐτὸν γενησο-
μένης δικαίας σου τιμω-
ρίας καὶ καταδίκης, παιδευ-
θῶσι πάντες οἱ ἀναιδῶς
ἀθετεῖν ἐπιχειροῦντες τὴν
σὴν θεότητα. καὶ χεῖρα θεο-
μάχον ἐκτείνειν τολμῶντες
κατὰ τῶν ὁμολογούντων τὸ
μεγαλοπρεπὲς ὄνομά σου
τῆς σῆς τελειότητος πάντων
ἀρχῆς καὶ κυριότητος. ὅτι
σοὶ πρέπει πᾶσα δόξα εἰς
τοὺς αἰῶνας ἀμήν. ταῦτα
Προσευξαμένη ἡ γενναιοτά-
τη ταύτη ἁγνή, ἐκτείνασα τὸν
τράχηλον, τὴν τιμίαν διὰ
τοῦ ξίφους ἀπετμήθη
κεφαλήν. παραυτίκα δὲ
φωνὴ ἐξ οὐρανοῦ ἠνέχθη λέγου-
σα. δεῦρο φίλη τὰ ἐπηγγελ-
μένα περιόμενος ἀπολήψομένη
τὸν στέφανον τῆς σῆς ἀ-
πρέπτου ὁμολογίας. εἰς τὸ
συνευφραίνεσθαι διὰ πάν-
τος μετὰ πάντων τῶν ἀπ' αἰ-
ῶνος μακαρισθέντων
ἁγίων. ταύτης τῆς φωνῆς
οἱ τῆς σφαγῆς αὐτῆς ὑπουργοὶ ἀκού-
σαντες, παραχρῆμα ἀπε-
νεκρώθησαν. παραγενόμενος
δὲ ὁ ἐπίσκοπος μετὰ παν-
τὸς τοῦ κλήρου τῆς ἐκκλησί-
ας τε τῆς συγκλήτου βου-

λῆς συνελθούσης. καὶ πλή-
θους λαοῦ συνδεδραμη-
κότος. μετὰ πολλῆς τιμῆς
καὶ δορυφορίας. λαμπάδων
τε καὶ μυροδίας ἀρω-
μάτων πολυτελῶν, συνε-
σταλμένως σεβασμίως τὸ κα-
τεικόσμουν τὸ σῶμα αὐ-
τῆς. ὃ καὶ ἄγγελοι τὸ εἰσ-
τὴν ἐκ τῶν ῥειγεῶνα τῆς πό-
λεως, κατέθεντο ἐν τιμίως
ἐν ὀνυχίτου μαρμάρου λάρ-
νακι. κειμένῃ ἐν κήπῳ κα-
λουμένῳ θαυμασίῳ. ἥτις
πολυδένδρῳ κατασκίῳ τε
καὶ πολυκάλλει τόπῳ. ποι-
ζομένων ναμάτων ὑδάτων
ἀενάων. τῷ τοῦ θεοῦ πάρε-
δρεύσω εἰκότως ἐοικότων. ὁ
Δ' ἐδεισιδαίμων καὶ θεομάχος
ἀλάστωρ ἀνδρός. ἐν αὐτῇ τῇ
ἡμέρᾳ καρδιακῷ πόνῳ πλη-
φθεὶς μανικῶς τε δεινῶς τε
δαιμονιωδῶς τὰς φρένας
μανικῶς ἀλλοιωθείς, καθά-
περ κυνῶν λυττώντων, τὰς οἰ-
κείας σάρκας κατήσθιε. στε-
νῶν τε καὶ τρέμων κατὰ τὸν
ἀδελφοκτόνον Κάϊν. ἔλε-
γεν ἐν τῇ φωνῇ θεηλάτοις
μάστιξι βασανιζόμενος
ἐκραύγαζεν. ἐλέησόν με τὸν
ἄθλιον ὁ τῶν χριστιανῶν μέ-
γας θεός. ὅτι μεγάλως ἐξύβρι-
σα εἰς σέ, πορνικὸς τῶν βι-

τὸ λοιπόν σου. καὶ πρὸ τῆς ἡμέρας ἀνάστασε τὸν μόνον υἱόν σου· τὴν γνησίαν δούλην σου τὰ πλάνην εἶναι τέως τιμωρησάμενος καὶ μὴ δυ δικαίως ὑπὸ τῆς δικαίας σου δίκης καταδικασθήσομαι. ταῦτα καὶ τὰ τοιαῦτα μεγάλα κραυγάζων καὶ ἀποδυρόμενος πικρῶς, κατηναγκασμένος ἀπέρρηξε τὴν ψυχὴν ὑπὸ τιμωρίας ἐξεταζόμενος χαλεπαῖς. φωνῇ τε βροντῆς οἰκεία παραυτίκα ἀφ' οὗ τὸ θεῖον ἤκουσε, παραπεμπόμενος τὴν ἀλεξάνδρου ψυχὴν εἰς τὸν κλίβανον τοῦ πυρὸς τῆς αἰωνίου γεέννης. ζῶν τῇ φωνῇ δὲ ταύτῃ τῇ καταπληκτικῇ, καὶ στομίῳ γέγονε μεγάλως καὶ φοβερῶς. ὥστε φοβηθέντα καὶ θροηθέντα τὰ πλήθη, πάνυ σωφρονισθῆναι καὶ πιστεῦσαι τῷ χριστῷ ἐν αὐτῇ τῇ ὥρᾳ, ψυχὰς ὡσεὶ δισχιλίας ἐνακοσίας. ἐτελειώθη δὲ τὸ μαρτύριον τῆς γενναίας ταύτης τῆς ἁγνῆς, κατὰ τὴν δωδεκάτην τοῦ ἰαννουαρίου μηνός. κατὰ δὲ τὴν λαμπρὰν ταύτην καὶ ἐπίσημον ἡμέραν τῆς ἀθλήσεως πιστῶς ἐπιτελοῦντες, ἐλπίζομεν ἐλέους καὶ συγγνώμης τυχεῖν διὰ τῶν εὐχῶν αὐτῆς· καὶ τῆς μερίδος τῶν σωζομένων καταξιωθῆναι ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί.

καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :—

τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν γρηγορίου τοῦ θεολόγου ἐπιτάφιος εἰς γοργονίαν τὴν ἑαυτοῦ ἀδελφήν :+

Ἀδελφὴν ἐπαινῶν, τὰ οἰκεῖα θαυμάσομαι. οὐ μὴν ὅτι οἰκεῖα, διὰ τοῦτο ψευδῆ. ἀλλ' ὅτι ἀληθῆ, διὰ τοῦτο ἐπαινετά. ἀληθῆ δέ, οὐχ ὅτι δίκαια μόνον, ἀλλ' ὅτι καὶ γνωριζόμενα. οὐ γὰρ χαρίζεσθαι συγχωρεῖται κἂν ἐθελήσωμεν. ἀλλ' ὥσπερ τις βραβευτὴς ἕστηκεν οἷον τις βραβευτὴς ἀκριβὴς τοῦ λόγου καὶ τῆς ἀληθείας ὁ ἀκροατής. οὔτε τὸ πλέον ἀποδεχόμενος, καὶ τὸ καταδεέστερον ἀπαιτῶν. ὅσον δίκαιον. ὥστε οὐ τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον. μή τι τῆς ἀληθείας ὑπερβαλώμεν. ἀλλὰ τοὐναντίον. μή τι τῆς ἀληθείας ἐλλείπωμεν.

καὶ παρὰ πολὺ τῆς ἀξίας ἐλθόντας, ἐλαττώσωμεν τὴν δόξαν τοῖς ἐγκωμίοις, ὅπερ δὴ χαλεπὸν καὶ παρ' ἀξίαν ἐνδεῖσαι καὶ λόγον τοῖς ἐκείνης κάλλεσι· μή τε οὖν τὸ ἀλλότριον ἐπαινείσθω παρὰ τὸ δίκαιον, μὴ δὲ ἀτιμαζέσθω τὸ οἰκεῖον ἔτι μᾶλλον· ἵνα μὴ τὸ μὲν κέρδος ἢ ἀλλοτριότης ᾖ· τὸ δὲ εἰς ζημίαν περιστῇ, τὸ τῆς οἰκειότητος· ἀμφότερος γὰρ ἀνόητος τοῦ δικαίου βλάπτει τὸ λόγος· καὶ κειμένων ἐπαινουμένων, ὧν τούτων σιωπωμένων· ὅρω δὲ καὶ κοινόν ἐστι τῇ ἀληθείᾳ χρεόμενοι, καὶ πρὸς ταύτην βλέποντας μόνον· ἀλλ' ὅδε οὐδὲν σιωπῶντας, ὧν οἱ πολλοί τε καὶ εὔνομοι, οὕτω καὶ ἐπαινεσώμεθα καὶ σιωπησώμεθα τὰ ἐπαίνων ἢ σιωπῆς ἄξια. πάντων δὲ ἀτοπώτατον, εἰ ἀποστερεῖν μὲν τοὺς ἰδίους ἢ λοιδορεῖσθαι ἢ κατηγορεῖν, ἢ ἀλλότριοι κεῖν, ἢ μικρὸν ἢ μεῖζον, οὐκ ἀγαθὸν εἶναι θήσομεν. ἀλλὰ καὶ πάντων κοινήστον· τὴν κατὰ τῶν οἰκείων παρανομίαν. λόγον δὲ ἀποστεροῦντες, ὃ μάλιστα τοῖς ἀγαθοῖς ὀφειλόμενον ἐστί· καὶ ὅ, τὴν μνήμην ἀλλ' αὐτοῖς ἀθάνατον κατασκευάσαι μέν. ἐπεὶ τὰ δίκαιον ἔστι ποιεῖν οἰησώμεθα. καὶ πολὺ λόγον ἔξωμεν τῶν πονηρῶν, ἢ τῶν ἐπιεικῶν ἀπαιτούντων τὸ πρὸς ἀξίαν.

ἀλλ' εἴ τι ὅσον ἀναγκαῖα ἐν
ἐπ' ὀρθῷ τοῦ εἴπω. τοιοῦτος
ὁ βίος· τοσαῦτα τὰ ἆθλα
καὶ τὰ χαρίσματα· οἷς αὐτὴν
καὶ ζῶσαν καὶ μεταστᾶσαν,
ὁ τῶν ἁπάντων δεσπότης
ἀξίως ἐδόξασεν. ἧς ταῖς
πρεσβείαις καὶ ἡμεῖς πάν
τες οἱ τὴν αὐτῆς προστασί
αν καὶ ἀντίληψιν πλουτεῖν
ἐφιέμενοι πάντοτε, σω
ματικῶν ὁμοῦ καὶ ψυχικῶν
παθῶν συντηρηθείημεν
ἀνώτεροι. καὶ τὰ τῶν ἀο
ράτων καὶ νοουμένων ἐ
χθρῶν ἀβλαβῶς διαφύ
γοιμεν σκάνδαλα. καὶ
τοῦ παρόντος βίου εἰρηνι
κῶς διανύσαντες, τῆς
ἐκεῖθεν σὺν αὐτῇ μακαριότητος
ἐπιτύχοιμεν. ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ᾧ
πρέπει πᾶσα
δόξα τιμὴ καὶ
προσκύνησις.
νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς
αἰῶνας τῶν
αἰώνων ἀμήν +

+ μηνὶ ἰουνίω κε

Βίος καὶ μαρτύριον τῆς ἁγίας ὁσιομάρτυρος Φεβρωνίας. Εὐλόγησον πάτερ.

Ἐγένετο ἐν ταῖς ἡμέραις
Διοκλητιανοῦ τοῦ βα-
σιλέως, ἀνθύμον τὸν ἔ-
παρχον διὰ ἀρρωστίαν σώ-
ματος κατακεῖσθαι. καὶ
προσκαλεσάμενος Σε-
λήνον τὸν ἀδελφὸν αὐ-
τοῦ, εἶπεν αὐτῷ· ἐγώ
κύριέ μου ἀδελφέ, τῶν
ἀνθρωπίνων πραγμάτων ὑπε-
ξέρχομαι. Λυσίμαχον δὲ
τὸν υἱόν μου, εἰς τὰς χεῖ-
ράς σου δίδωμι. καὶ καθὼς
ἡρμοσάμεθα αὐτῷ
τὴν θυγατέρα προσφό-
ρου τοῦ συγκλητικοῦ,
σπούδασον μετὰ τὴν ἐμὴν
τελευτὴν τοὺς γάμους ποι-
ῆσαι, καὶ γενέσθαι αὐτοὺς
εἰς πέρας. ταῦτα διαταξά-
μενος ὁ ἔπαρχος. μετὰ
τρεῖς ἡμέρας ἐτελεύτη-
σε. προσκαλεσάμενος
οὖν ὁ βασιλεὺς Διοκλη-
τιανὸς, Λυσίμαχον τὸν υἱ-
ὸν Ἀνθίμου, καὶ Σέληνον
τὸν τούτου θεῖον, καὶ
διαμείβεται τῷ Λυσιμάχῳ· ἐγὼ
μὲν Ἀνθίμου μεμνημένος τοῦ
σοῦ πατρὸς τὴν φιλίαν, ἐ-
βουλήθην μετὰ τὴν ἐκεί-
νου τελευτὴν ἐπὶ τὸν θρό-

νον αὐτοῦ ἀναβιβάσαι σε
πράττειν τὸν ἔπαρχον.
ἀλλ᾽ ἐπειδὴ φήμη τις πε-
ριηχεῖ τὰς ἀκοάς μου, ὡς
ὅτι χαίρεις τῇ τῶν χριστι-
ανῶν θρησκείᾳ. πρὸς
τοῦτο ποιῆσαι ἀνεβαλό-
μην. τοίνυν βούλομαί σε
ἐκπέμψαι εἰς τὴν ἀνατο-
λήν. ἵνα τὴν τῶν χριστια-
νῶν θρησκείαν παύσῃς.
καὶ ὅταν τὰ ἐνταῦθα κατα-
λάβῃς, τότε καθίσῃς καὶ
πράττεις τὸν ἔπαρχον.

Ταῦτα ἀκούσας ὁ Λυσίμαχος,
οὐδὲν ἐτόλμησεν ἀποκρίνα-
σθαι τῷ βασιλεῖ. ἦν γὰρ νέ-
ος τῇ ἡλικίᾳ, ὡς ἐτῶν εἴ-
κοσι. Σέληνος δὲ ὁ τού-
του θεῖος πεσὼν εἰς τοὺς
πόδας τοῦ βασιλέως, φη-
σί· δέομαι τῆς ἀθανάτου σου
κορυφῆς, ἄνες αὐτὸν
ὀλίγας ἡμέρας ὅπως ἐ-
πιτελέσω τοὺς γάμους αὐτοῦ.
καὶ τότε ἐξελεύσομαι κἀ-
γὼ σὺν αὐτῷ. καὶ πάντα
γενήσεται καθὼς προσ-
τάττει τὸ θεῖον κράτος
σου. καὶ λέγει ὁ βασιλεύς·
πρότερον παραγενόμενοι
ἐν τῇ ἀνατολῇ, τὴν τῶν
χριστιανῶν παύσατε θρη-
σκείαν. καὶ πάντα αὐτὸς
διαπραξάμενοι, ὅταν

τὰ ἐνταῦθα καταλάβητε,
ὄξετε κἀμέ. προσῆλθον προσ-
διηνσώθησαν ὄντα πρὸς
τὸ γαμικὸν τοῦ Λυσιμάχου
συνάλλαγμα. ταῦτα ἀ-
Κούσαντες, οὐκ ἐτόλμησαν
τες οὐκ ἐτόλμησαν ἀντα-
ποκριθῆναι τῷ βασι-
λεῖ. λαβόντες οὖν τὰ
προστάγματα καὶ πλῆθος
στρατιωτῶν, τὴν πορεί-
αν ἐποιοῦντο ἐπὶ τὴν ἀνα-
τολήν. ὁ δὲ Λυσίμαχος ἔ-
λαβε καὶ πρίμον τὸν κόμη-
τα τὸν αὐτοῦ ἀνεψιὸν ἐκ
μέσης. καὶ ἔδωκεν αὐτὸν ἐ-
πάνω τῆς στρατιᾶς ἡγεῖσθαι
καὶ ἐξάρχειν τῶν στρατιω-
τῶν. παραγενόμενοι τοί-
νυν ἐν τῇ ἀνατολῇ. καὶ ἐμ-
βάντες τῇ χώρᾳ τῆς πολε-
μίας. καὶ ἐν τῇ Μεσοπο-
ταμίᾳ τοὺς εὑρόντας
χριστιανούς. τοὺς μέν, πυ-
ρὶ παρεδίδουν. τοὺς δὲ ξί-
φει ἀπέτεμνον. ὁ γὰρ
σόλημος ἦν ὠμὸς καὶ ἀ-
πάνθρωπος. καὶ οὐ μόνον
ταῦτα ἔπραττεν. ἀλλὰ
καὶ τὰ τούτων σώματα κυσὶ
βορρὰν ἐκριφῆναι προσέτα-
ττεν. πολὺς δὲ ἡμῶν φόβος
περιῆλθεν τὴν οἰκουμένην πε-
ριεῖχε, διὰ τὴν ὠμότητα
τοῦ ἀνηλεοῦς σελήνου. ἐν

μιᾷ οὖν νυκτί, προσκα-
λεσάμενος ὁ Λυσίμαχος τὸν
κόμητα πρίμον, εἶπεν
αὐτῷ. κύριέ μου πρίμε.
οὐ γινώσκεις ὅτι ἐγὼ καὶ
ὁ πατήρ μου ἑλλήνων ἐξελά-
τησεν, ἀλλ' ἡ μήτηρ μου χρι-
στιανὴ ἐκοιμήθη. καὶ πολ-
λὴ αὐτῇ σπουδὴ ὑπῆρχε γε-
νέσθαι με χριστιανόν. ἀλλὰ
διὰ τὸν φόβον τοῦ βασι-
λέως καὶ τοῦ πατρός μου, τοῦ-
το ποιῆσαι οὐκ ἴσχυσε. καὶ
ἔχω αὐτῆς ἐντολάς. μηδέ-
να τῶν χριστιανῶν ἀνελεῖν.
ἀλλὰ καὶ φίλον τοῦ χριστοῦ γενέ-
σθαί με ἠνάγκαζεν. καὶ νῦν
ὁρῶ τοὺς ἐμπίπτοντας
χριστιανοὺς ὑπὸ τοῦ λοιμοῦ
τούτου σελήνου τοῦ ἐμοῦ
θείου. κακῶς τιμωρουμέ-
νους. καὶ πάσχει μου ἡ ψυχὴ
ἐπ' αὐτοῖς. τοίνυν βούλο-
μαι τοὺς ἐμπίπτοντας χρι-
στιανούς. λάθρα ἀπολύε-
σθαι. πρὶν ἢ παρεμπεσόν-
τας ἀναιρεῖσθαι κακῶς.
Ταῦτα ἀκούσας ὁ πρίμος, οὐ-
δένα τῶν χριστιανῶν συλ-
λαμβάνεσθαι προσέτατ-
τεν. ἀλλ' ἐμήνυε τοῖς μονα-
στηρίοις φεύγειν τὰς χεῖρας
τοῦ λυμεῶνος σελήνου.
ἐπὶ δὲ αὐτῶν διατριβόν-
των ἐν τοῖς τόποις ἐκείνοις,

ἐβούλοντο τὴν Σιβάπο-
λιν καταλαβεῖν. ἥ τις
διήκει τοὺς ὁσίους τόπους
πους ἀσυλίους, τεταγμέ-
νην δὲ ὑπὸ τὴν τῶν Ῥωμαί-
ων ἡγεμονίαν. ἦν δὲ ἐν
τῇ πόλει ἐκείνῃ μοναστή-
ριον γυναικῶν, ἔχον πεν-
τήκοντα ἀσκητρίας. τού-
των ἡγεῖτο Βρυένη τις
ὄνομα. μαθήτρια γενο-
μένη Πλατωνίδος, τῆς πρὸ
αὐτῆς γενομένης διακόνου·
ἧς τὴν παράδοσιν καὶ τὸν κα-
νόνα μέχρι τέλους καλῶς
διεφύλαξε. τοιοῦτος γὰρ
ὁ κανὼν τῆς Πλατωνίδος
ὑπῆρχεν· ἐν τῇ ἡμέρᾳ τῆς
παρασκευῆς, οὐκ ἦν τινα
τῶν ἀδελφῶν ἐργάζε-
σθαι, ἀλλ' ἐκκλησιάζοντο
ἐν τῷ εὐκτηρίῳ· καὶ ὅτε
μὲν τὸν κανόνα τῆς ψαλ-
μῳδίας ἀπετέλουν, ὅτε
δὲ τὴν βίβλον κατέχου-
σα ἡ Πλατωνὶς, τὰς θεο-
πνεύστους γραφὰς ταῖς ἀ-
δελφαῖς ἀνεγίνωσκε μέ-
χρι τῆς τρίτης ὥρας. μετὰ
δὲ τὴν τρίτην ὥραν, εἰς
τὰς χεῖρας τῆς Βρυένης
ἐδίδου τὴν βίβλον κελεύου-
σα ἀναγινώσκειν ταῖς
ἀδελφαῖς ἕως ἑσπέρας.
οὕτως οὖν καὶ ἡ Βρυένη

ἐποίει δεξαμένη τὴν δια-
κονίαν. τῇ δὲ Βρυένῃ, δύο
νεάνιδες ὑπῆρχον ἀνα-
στρεφόμεναι παρ' αὐτῇ κα-
λῶς καὶ τὴν ἀσκητικὴν
μετερχόμεναι πολιτείαν,
ὄνομα τῇ μιᾷ Πρόκλα·
καὶ ὄνομα τῇ δευτέρᾳ Φε-
βρωνία. καὶ ἡ μὲν Πρόκλα
ἦν ἐτῶν εἰκοσιπέντε. ἡ
δὲ Φεβρωνία ἐτῶν εἴκο-
σιν. ἦν οὖν Φεβρωνία ἀ-
δελφόπαις ἐτύγχανε τῆς
Βρυένης. ἦν δὲ περικαλ-
λὴς ἡ Φεβρωνία. ὡμι-
κῇ τὴν ἡλικίαν ἀνφύρουσα
φαιδρᾷ τῷ προσώπῳ
ὡς μὴ δύνασθαι ὀφθαλ-
μὸν ζωγραφεῖν τὸ ἐπαν-
θοῦν τοῦ προσώπου αὐτῆς
κάλλος. πολὺς δὲ ἦν
ὑπάρχει τῇ Βρυένῃ πόθος
περισσῶς τὴν Φεβρωνίαν,
ὁρῶσα αὐτὴν ἐν τοιούτῳ
φαιδρῷ χαρακτῆρι. πασῶν
δὲ τῶν ἀδελφῶν ἀπὸ ὥ-
ρας εἰς ὥραν τροφὴν
μεταλαμβανουσῶν, τὴν
Φεβρωνίαν ἐκέλευσε διὰ
δύο ἡμερῶν ἐσθίειν. ὅ-
περ οὖν καὶ ἡ Φεβρωνία
ἐποίει, ἐν τοιούτῳ ἀπε-
τῷ σώματι ποτέ. οὔτε
ἄρτου οὔτε ὕδατος εἰς
πλησμονὴν μεταλαμβάνει.

σκαμνίον δὲ μικρὸν προ-
σέταξε γενέσθαι, πηχῶν
τεσσάρων τὸ μῆκος· καὶ σπι-
θαμῆς καὶ ἥμισυ τὸ πλά-
τος· καὶ εἰς αὐτὸ διανεπαύε-
το ἐν τῇ ὥρᾳ τοῦ καθεύδειν
αὐτήν, ἐπεὶ δὲ ὅτε καὶ γυ-
μνῷ τῷ ἐδάφει τὰς σάρκας
προσανέκλινεν· ἐπὰν δὲ
συνέβαινε πειράζεσθαι
αὐτὴν ὑπὸ τοῦ διαβόλου
ἐν νυκτεριναῖς φαντασίαις,
ἐξανίστατο καὶ μετὰ πολ-
λῶν δακρύων ἱκέτευε
τὸν θεόν, ὅπως ἀποδιώ-
ξῃ ἀπ' αὐτῆς τὸν πειρά-
ζοντα διάβολον. καὶ εὐ-
θὺς τὴν βίβλον ἀναπτύ-
σσουσα, ταῖς θεοπνεύστοις
γραφαῖς ἐφιλοπόνει. φιλο-
μαθὴς γὰρ γεναμένη ἡ νε-
ᾶνις, γέγονε καὶ πολυμα-
θής, ὥστε θαυμάζειν τὴν
Βρυαίνην τὴν τοσαύτην τῆς
Φεβρωνίας φιλομάθει-
αν. ἐν τῇ ἡμέρᾳ οὖν τῆς
Παρασκευῆς πάσης συνερ-
χομένων τῶν ἀδελφῶν
ἐν τῷ εὐκτηρίῳ, τὴν
Φεβρωνίαν ἐκέλευσεν ἡ
Βρυαίνη τὰ θεῖα λόγι-
α ταῖς ἀδελφαῖς ἀναγι-
νώσκειν· ἐπειδὴ δὲ γυ-
ναῖκες αἱ γενίδες ἐν τῇ
ἡμέρᾳ τῆς παρασκευῆς

ἐν τῷ εὐκτηρίῳ παρεγί-
νοντο καὶ τῆς συνήθους ἀ-
πήλαυον διδασκαλίας,
ἐκέλευσεν ἡ Βρυαίνη ὑπὸ
βῆλον ἀναγινώσκειν τὴν
Φεβρωνίαν· ἀν' οὗ γὰρ χα-
ρακτῆρα ὁποῖος ἐστὶν οὐ-
δέποτε ἐθεάσατο. διέ-
σπαρτο δὲ ἐν τῇ πόλει
πανταχοῦ ἡ διδασκαλία
τῆς Φεβρωνίας· οὐ μόνον
ἀλλὰ καὶ ὁ περικαλλὴς αὐ-
τῆς χαρακτὴρ καὶ τὸ πρᾶ-
ον καὶ ἡ ταπεινοφροσύνη·
ταῦτα ἀκούσασα Ἱερία
ἡ συγκλητική, πόθῳ θεί-
κῷ φλεγομένη, συντυχεῖν
ἠπείγετο τῇ Φεβρωνίᾳ.
ἦν δὲ Ἑλληνὶς ἡ Ἱερία· μή-
πω ἐπὶ τὸ βάπτισμα ἐλη-
λυθυῖα. αὕτη δὲ συνοι-
κήσασα μετὰ τοῦ ἀνδρὸς
αὐτῆς μῆνας ἑπτὰ καὶ
χηρεύσασα, ἀνέκαμ-
ψεν εἰς τὴν οἰκείαν πό-
λιν πρὸς τοὺς οἰκείους
γονεῖς ἡσυχάζουσα. ἦσαν
γὰρ καὶ αὐτοὶ Ἕλληνες. πα-
ραγίνεται οὖν ἐν τῷ μονα-
στηρίῳ. καὶ ἑαυτὴν κα-
ταμήνυσεν τῇ Βρυαίνῃ
διὰ τῆς θυρωροῦ. ἐξελ-
θούσης δὲ τῆς Βρυαίνης ἔμπρο-
σθεν αὐτῆς, πεσοῦσα
ἡ Ἱερία εἰς τοὺς πόδας

αὐτῆς· περισκώπησεν αὐτήν.
Καὶ ἐπιλαβομένη τῶν πο-
δῶν αὐτῆς, εἶπεν αὐτῇ·
ὁρκίζω σε τὸν ποιήσαντα
τὸν οὐρανὸν καὶ τὴν γῆν. μὴ
βδελύξῃ με τὴν ἑλληνί-
δα καὶ ἀκάθαρτον· καὶ με-
χεῖ τοῦ νῦν εἰδώλων πα-
νίον γεμομένην. μὴ στε-
ρήσῃς με τῆς διδασκα-
λίας καὶ συντυχίας τῆς
ἀδελφῆς μου φεβρωνί-
ας· μάθω δι᾿ ὑμῶν τὴν ὁ-
δὸν τῆς σωτηρίας· ἵνα
βαπτισθῶ ἐν αὐτῇ, ἀ-
ἐροιμὰ ἃ ἡτοίμασται τοῖς
χριστιανοῖς· ῥύσασθαί
με ἐκ τῆς ματαιότητος τοῦ
αἰῶνος τούτου· καὶ τῆς
ἀκαθάρτου εἰδωλολατρεί,
ὅτι ἀναγκάζουσί με οἱ γο-
νεῖς μου δευτέρω προ-
σομιλῆσαι γάμω· ἀλλὰ
γένοιτό μοι ζωή, ἡ τῆς φε-
βρωνίας διδασκαλία καὶ
συντυχία· ἀρχὴ τὸν πρὸ
τοῦ παραλαβόντος χρόνου
τῆς ἀγνοίας ἡ τιμωρεῖ.
ταῦτα λέγουσα ἡ Ἱερία.
Καὶ τοῖς δάκρυσι κατα-
βρέχουσα τοὺς πόδας αὐ-
τῆς· εἰς πολλὴν οἶκτον
καὶ συμπάθειαν ἤνεγκε
τὴν βρυένην· λέγει
οὖν αὐτῇ ἡ βρυένη· ἐ-
πίστευσαι ὁ θ(εὸ)ς κυρία Ἱερία.
ὅτι δύο ἔτη αὐτῶν ὑπάρ-
χουσαν ἐδέξαμεν αὐτήν
ἐν τούτω τῶ μοναστηρίω
εἰς τὰς χεῖρας μου· καὶ
ἰδοὺ σήμερον δέκα καὶ ὀ-
κτὼ ἔτη ἔχει ἐν τῶ μονα-
στηρίω· καὶ οὔτε ἀνδρὸς
χαρακτῆρα οὔτε γυναι-
κὸς ἑώρακεν· οὔτε δὲ
κοσμικὸν σχῆμα τεθέα-
ται μέχρι τοῦ νῦν· ἀλλ᾿ οὐ-
δὲ αὐτὴ ἡ τροφὸς αὐτῆς
μέχρι τοῦ νῦν τεθέαται
τὸ πρόσωπον αὐτῆς· καί-
τοι μετὰ δακρύων πολλά-
κις ἱκετεύσασά με συν-
τυχεῖν αὐτῇ· οὐκ ἠξιώ-
θη· οὐ γὰρ συνεχώρησα
αὐτῇ. διὰ δὲ τὸν πόθον
ὃν ἔχεις πρὸς τὸν θ(εὸ)ν καὶ
πρὸς αὐτήν, εἰσφέρω σε
πρὸς αὐτήν· ἐναποκη-
κὸν περιβάλλουσά σε αὐτὴν
σχῆμα σχῆμα· ἡ δέ, λα-
βοῦσα ἐμὲ ἐνδύσασθαι στολὴν
μοναχικήν, ὡς ὁ θεὸς
ταῖς ἀσκοῦσαι ἐκεῖ μο-
ναχαῖς. καὶ λαβοῦσα
αὐτὴν ἡ βρυένη, εἰσή-
νεγκεν εἰς τὴν φεβρο-
νίαν· θεασαμένη δὲ
αὐτὴν ἡ φεβρονία, ἔ-
πεσεν εἰς τοὺς πόδας
αὐτῆς· νομίσασα ξένην

τινὰ εἶναι μεγάλην. ἀ-
σπασάμεναι οὖν ἀλλήλας,
ἐκέλευσεν ἡ Βρυένη καθί-
σαι ἀμφοτέρας. καὶ τὰς
θείας γραφὰς ἀναγινώ-
σκειν τὴν Φεβρωνίαν. ἐς
τοσοῦτον δὲ κατενύγη
ἡ Ἱερία ἐκ τῆς διδασκα-
λίας τῆς Φεβρωνίας. ὥς-
τε ὅλην τὴν νύκτα ἄϋπνοι
διατελέσαι ἀμφοτέρας.
οὔτε γὰρ ἡ Φεβρωνία τοῦ
λέγειν ἠρέμει· οὐδὲ ἡ Ἱε-
ρία τῆς διδασκαλίας ἀ-
κούειν ἀπέκαμνεν. τό-
σουτον δὲ δακρύων ἐξέχε-
εν ἐπὶ τὴν γῆν ἡ Ἱερία,
ὥστε ὅλον τὸ ἔδαφος κατα-
ρανθῆναι ἀπὸ τῶν δα-
κρύων αὐτῆς. ὄρθρου
δὲ γενομένου, μόλις ἴ-
σχυσεν ἡ Βρυένη πεῖσαι
τὴν Ἱερίαν κατελθεῖν
ἀπὸ τοῦ εὐκτηρίου καὶ
πορευθῆναι πρὸς τοὺς
γονεῖς αὐτῆς. ἀσπασά-
μεναι οὖν ἀλλήλας δακρύ-
ων πεπληρωμέναι, κα-
τῆλθεν ἡ Ἱερία. καὶ πα-
ραγενομένη εἰς τὸν ἴδι-
ον οἶκον, ἔπεισε τοὺς γο-
νεῖς αὐτῆς ἀπαλλαγῆ-
ναι τῶν ματαίων πατρο-
παραδότων θεῶν. καὶ τῆς
τῶν εἰδώλων δουλείας

γνωρίσαι δὲ τὸν θεὸν τὸν
τῶν ἁπάντων δημιουρ-
γόν. ἡ οὖν Φεβρωνία,
ἠρώτα τὴν Θωμαΐδα
τὴν διδάσκαλον τὴν διά-
κονον λέγουσα· δέομαί σου
κυρία μου μῆτερ. τίς ἐστιν
αὕτη ἡ ξένη ἀδελφή. ὥσ-
περ οὐδέποτε ἀκούσασα θεί-
ων γραφῶν. τότε ἡ Θω-
μαΐς λέγει τῇ Φεβρωνί-
ᾳ. οὐκ ἔγνως τίς ἐστιν αὕ-
τη; ἡ δὲ, λέγει. πόθεν
εἶχον γνῶναι αὐτὴν ξέ-
νην οὖσαν. ἡ δὲ Θωμαΐς
εἶπεν. αὕτη ἐστὶν ἡ Ἱερία
ἡ συγκλητική. καὶ λέγει
ἡ Φεβρωνία. καὶ ἵνα τί
οὐκ ἀπήγγειλάς μοι.
κἀγὼ ὡς ἀδελφῇ διε-
λέχθην αὐτῇ. καὶ λέγει
ἡ Θωμαΐς. ἡ κυρία ἡ με-
γάλη, οὕτως ἐκέλευσε γε-
νέσθαι. ἐν δὲ ταῖς ἡμέραις
ἐκείναις ἠσθένησεν ἡ
Φεβρωνία ἕως θανάτου.
ἀνέκειτο δὲ ἐπὶ τοῦ βά-
θρου. ἡ οὖν Ἱερία, οὐκ ἀ-
πέστη ἀπ' αὐτῆς πάντα
τὸν χρόνον τῆς ἀρρωστί-
ας αὐτῆς, ἕως οὗ τοῦ ἀ-
παλλαγῆναι τῆς νόσου. ἐν δὲ
ταῖς ἡμέραις ἐκείναις,
φήμη ἐξῆλθεν ἐν τῇ πό-
λει. ὅτι Σέληνος καὶ Λυσί-

μαχος ἐπιβαίνουσιν
εἰς τὴν πόλιν, ἵνα τοὺς
τισὶ ἄλλοις τιμωρήσωνται.
ἅπαντες οὖν οἱ ἐν τῇ πό-
λει χριστιανοί· κληρικοί τε
καὶ λαϊκοὶ καὶ μοναχοὶ
ἔφυγον καταλιπόντες
τὰ ἴδια· ὡς καὶ αὐτὸν τὸν
ἐπίσκοπον τῆς πόλεως
ἀποκρυβῆναι διὰ τὸν
ἐπικείμενον φόβον.
μαθοῦσαι οὖν αἱ τὸ μονα-
στήριον ἐκεῖνο οἰκοῦσαι
ἀδελφαί, προσελθοῦ-
σαι εἶπον τῇ διακόνῳ
βρυέννῃ· τί ποιοῦμεν
μῆτερ· ὅτι οἱ θῆρες ἐκεῖ-
νοι κατέλαβον τὴν πό-
λιν ταύτην, καὶ πάντες
ἔφυγον διὰ τὴν ἐπικεί-
μενην ἀπειλήν· βρυέ-
ννη λέγει· καὶ τί βούλε-
σθε· αἱ δὲ εἶπον· ἵνα
κελεύσῃς ἡμᾶς ἀποκρυ-
βῆναι πρὸς μικρὸν καὶ
σῶσαι τὰς ψυχὰς ἡμῶν·
καὶ λέγει αὐταῖς ἡ βρυέ-
ννη· οὔπω τὸν πόλεμον
ἑωράκατε καὶ τὴν φυ-
γὴν μελετᾶτε; οὔπω
ἡ πάλη, καὶ εὐθέως ἡ
ἧττα; μὴ τέκνα· μὴ
παρακαλῶ ὑμᾶς· ἀλλὰ
στῶμεν καὶ ἀγωνισώμε-
θα· ἀποθάνωμεν ὑπὲρ

τοῦ ἀποθανόντος ὑπὲρ
ἡμῶν, ἵνα καὶ συζήσω-
μεν αὐτῷ· ταῦτα ἀκού-
σασαι αἱ ἀδελφαὶ ἡσύ-
χασαν· τῇ δὲ ἐπαύριον
μία τις τῶν ἀδελφῶν
ὀνόματι αἰθερία, λέγει
ταῖς ἀδελφαῖς· οἶδα
ἐγὼ ὅτι ἕνεκεν τῆς φε-
βρωνίας, οὐ συγχωρεῖ
ἡμῖν ἡ κυρία ἡ μεγάλη
τὰ ἐνταῦθα καταλι-
πεῖν καὶ ὑποχωρῆσαι·
τάχα διὰ αὐτὴν βούλε-
ται πάσας ἡμᾶς ἀπολέ-
σθαι· ἀλλ᾽ ἰδοὺ λέγω
ὑμῖν· προσέλθωμεν
αὐτῇ· καὶ ἐγὼ λαλήσω
περὶ πασῶν ἡμῶν τὰ δέ-
οντα· ἀκούσασαι δὲ αἱ
ἀδελφαί, αἱ μὲν ἐπείθον-
το τῇ αἰθερίᾳ· αἱ δὲ,
ἀντέλεγον καταγινώ-
σκουσαι τῆς συμβουλί-
ας αὐτῆς· πολλῆς δὲ
στάσεως γενομένης ἐπὶ
πολλὰς ὥρας. τελευταῖ-
ον πᾶσαι ἐκ συμφωνί-
ας προσῆλθον τῇ δια-
κόνῳ, ἰδεῖν τί συμβου-
λεύει αὐταῖς· παραγε-
νομένων οὖν αὐτῶν, προ-
γνοῦσα τὴν συμβουλίαν
αὐτῆς αἰθερίας ἡ μεγά-
λη· ἀτενίσασα λέγει αὐτῇ·

τί θέλεις ἀδελφὴ αἰ-
θερία· ἡ δὲ, ἵνα καὶ κελεύ-
σῃς ἡμᾶς ἀποκρυβῆ-
ναι καὶ φυγεῖν τὴν ἐπι-
κειμένην ὀργήν· οὐ
γὰρ κρείττων ἡμῶν κλή-
ρου καὶ ἐπισκόπου· δεῖ
οὖν σε καὶ τοῦτο ἐνθυ-
μηθῆναι· ὅτι εἰσί τι-
νες ἐν ἡμῖν μεγάλη δέος· μή-
πως συναρπασθεῖσαι
ὑπὸ τῆς στρατιᾶς, ὑπο-
πέσωσι φθορᾷ σωματι-
κῇ· καὶ τὸν τῆς ἀσκήσε-
ως μισθὸν ζημιωθῶ-
μεν· καὶ πάλιν· μήπως
τὰς τῶν βασάνων ἀνά-
γκας οὐχ ὑπομείνωμεν·
καὶ γενόμεθα λάτρεις
δαιμόνων καὶ ἀπολέσω-
μεν τὰς ψυχὰς ἡμῶν· εἰ
οὖν κελεύεις διασῶσαι ἡ-
μᾶς, ληψόμεθα καὶ τὴν
κυρίαν Φεβρωνίαν· καὶ
οὕτως ἐξελευσόμεθα· ἀ-
κούσασα δὲ ἡ Φεβρωνία,
λέγει πρὸς αὐτήν· ζῇ ὁ
Χριστός μου· ᾧ νυμφεύθην· ᾧ
καὶ τὴν ψυχήν μου ἀνεθέ-
μην, οὐ μὴ ἐξέλθω ἐκ τοῦ
τόπου τούτου· ἀλλ' ὧδε
ἀποθανοῦμαι, καὶ ὧδε τα-
φήσομαι· ἡ δὲ Βρυένη
λέγει πρὸς τὴν αἰθερίαν·
σὺ ὁ ψειό ἐπέρματα-
σω, ἀθῷος ἐγὼ ποδέ του-
του· εἶτα λέγει καὶ ταῖς
ἀδελφαῖς· ἑκάστη τὸ σύμ-
φερον αὐτῇ γινώσκει·
ὃ δ' ἂν θέλῃ, τοῦτο ἐπι-
λέξηται· πᾶσαι οὖν διὰ
τὸν φόβον συνταξάμε-
ναι τῇ Βρυένῃ καὶ τῇ Φε-
βρωνίᾳ, μετὰ πολλοῦ θρή-
νου καὶ ὀδυρμοῦ, τὰ ἑ-
αυτῶν στήθη τύπτουσαι.
ἐξεπορεύοντο τοῦ μονα-
στηρίου· ἡ δὲ Πρόκλα
ἡ σύντροφος τῆς Φεβρω-
νίας, ἐπιπεσοῦσα τῷ
τραχήλῳ αὐτῆς καὶ κα-
ταφιλοῦσα αὐτήν, ἐβό-
α λέγουσα· εὖξαι ὑπὲρ
ἐμοῦ κυρία ἀδελφή· ἡ
δὲ Φεβρωνία κατασχοῦ-
σα τῆς χειρὸς αὐτῆς, οὐ
συνεχώρει αὐτὴν ἐξελ-
θεῖν λέγουσα· φοβήθη-
τι τὸν θεὸν κυρία μου Πρό-
κλα· καὶ οὐ μὴ ἐγκατα-
λίπῃς ἡμᾶς· οὐχ ὁρᾷς
ὅτι ἐν τῇ ἀρρωστίᾳ ὑπάρ-
χω; μήπως συμβῇ με
τελευτῆσαι, καὶ οὐδεὶς
ὁ τὸν τάφον εἰσενεγκεῖν
με ἰσχύσει, ἡ κυρία ἡ με-
γάλη· παραμεῖνον οὖν
ἵνα συγκηδάσῃς με· εἶ-
πε δὲ ἡ Πρόκλα· ὡς κε-
λεύεις κυρία ἀδελφή,

οὐκ ἐγκαταλείπω σε. εἶπε
δὲ αὐτῇ ἡ Φεβρωνία· ἰδού
ἐνώπιον τοῦ θεοῦ συνέθου,
μὴ ἐγκαταλείπειν με. ἑσπέ
ρας δὲ γενομένης, ἐξελ
θοῦσα καὶ ἡ Πρόκλα, ἀφα
νὴς ἐγένετο. ἡ οὖν Βρυέν
νη θεασαμένη τὴν γύμνω
σιν τοῦ μοναστηρίου διὰ
τὸ ἐξελθεῖν τὰς κάτω, ἀ
πῆλθεν ἐν τῷ εὐκτηρίῳ,
καὶ ἔρριψεν ἑαυτὴν εἰς τὸ
ἔδαφος. πικρῶς ἀλαλά
ζουσα καὶ θρηνοῦσα. ἡ δὲ
Θωμαῒς ἡ διατρίβουσα
τῇ Βρυένῃ, παρεκάθε
ζε τῷ αὐτῇ παρακαλοῦσα
καὶ λέγουσα· παῦσαι κυ
ρία μῆτερ· δυνατός ἐστιν ὁ
θεὸς συνθλῖψαι καὶ τοὺς
πειρασμούς, ποιῆσαι
καὶ τὴν ἔκβασιν πρὸς τὸ
δύνασθαι ὑπενεγκεῖν. τίς
ἐπίστευσε τῷ κυρίῳ καὶ κα
τῃσχύνθη· ἢ τίς ἐνέμεινε
τῷ φόβῳ αὐτοῦ καὶ ὑπε
ρεῖδεν αὐτόν. καὶ λέγει
αὐτῇ ἡ Βρυένη· ναὶ κυ
ρία μου Θωμαΐς, ταῦτα
οὕτως ἔχει· ἀλλὰ τί ποιή
σω τὴν Φεβρωνίαν. ποῦ
δὲ αὐτὴν ἀποκρύψω καὶ
σώσω. ποίοις δὲ ὀφθαλ
μοῖς ἀτενίσω ὁρῶσα
αὐτὴν αἰχμαλωτιζομέ
νην ὑπὸ ἀθέων ἀνθρώπων.
Θωμαῒς λέγει· ἐπελά
θου τῶν παρ' ἐμοῦ σοι εἰρη
μένων; ὁ δυνάμενος ἐκ
νεκρῶν ἐγεῖραι αὐτὸς
καὶ τὴν Φεβρωνίαν ἐν τῇ
ἰσχύϊ σει καὶ περισώσηται.
ὥστε κυρία μου μὴ με
ταβληθῇτι. καὶ τῶν ὀ
δυρμῶν παυσαμένη, ἐλ
θὲ ἵνα ὑποστήσωμεν
τὴν Φεβρωνίαν διὰ τὸ
αὐτὴν ἐν ἀσθενείᾳ κα
τακεῖσθαι. παραγενόμε
ναι οὖν ἐν τῷ βάθρῳ ἔν
θα δὴ ἔκειτο ἡ Φεβρωνί
α, ἀθέως ἡ Βρυένη
ἠλάλαξε πικρῶς· καὶ
θεῖσα τὸ πρόσωπον ἐπὶ
τὰ γόνατα αὐτῆς, συνεί
χετο τοῖς δάκρυσιν. ἀ
τενίσασα δὲ εἰς αὐτὴν
ἡ Φεβρωνία, λέγει πρὸς
τὴν Θωμαΐδα. δέομαί
σου μῆτερ. τίς ὁ ἀλαλαγ
μὸς τῆς κυρίας τῆς
μεγάλης. ἤκουσα γὰρ
αὐτῆς καὶ πρὸ μικροῦ
οὔσης ἐν τῷ εὐκτη
ρίῳ, ὅτι ἀφῆκεν μεγά
λην βοήν. τότε Θωμα
ῒς δακρύουσα, λέγει τῇ
Φεβρωνίᾳ. διὰ σὲ στέ
νει καὶ θρηνεῖ ἡ μεγάλη.
διὰ τὰ μέλλοντα ἡμῖν

ἐπαγγέλλεσθαι κακὰ ὑπὸ τῶν
τυράννων· καὶ διὰ τὸ εἶ-
ναί σε μιανθῆναι καὶ προσ-
καλῆν· ἐκτρίβεται· τε-
θρηνεῖν· καὶ λέγει ἡ Φε-
βρωνία· δέομαι ὑμῶν
ἀξιοῦσθαι ὑπὲρ τῆς δού-
λης ὑμῶν· δυνατὸς γὰρ ἐ-
στὶν ὁ θεὸς ἐπιβλέψαι ἐπὶ
τὴν ταπείνωσίν μου καὶ
ἐνισχῦσαί με καὶ χαρίσα-
σθαί μοι ὑπομονήν, ὥσ-
περ καὶ πᾶσι τοῖς δούλοις αὐ-
τοῦ τοῖς ἠγαπηκόσιν αὐ-
τὸν ἐν ἀληθείᾳ· λέγει ἡ
Θωμαΐς· τέκνον μου Φε-
βρωνία· ἰδοὺ καιρὸς ἀ-
γῶνος ἐστίν, ἐὰν οὖν συλ-
ληφθῶμεν ὑπὸ τῶν στρα-
τιωτῶν· ἡμεῖς μὲν ὡς
προβεβηκυῖαι συντό-
μως ἀναιρεθησόμεθα ὑπὸ
τῶν τυράννων· σὺ δὲ
ἐπεὶ ποιήσονται ὡς νεάνι-
δα καὶ περικαλλῆ· ἐὰν
συλληφθῶμεν καὶ κολα-
κευτικοῖς λόγοις παρα-
καλέσωσί σε, μὴ πεισθῇς
αὐτοῖς· καὶ ἐάν σε διδα-
λέξωσι χρυσὸν ἢ ἄργυ-
ρον· ἢ ἱματισμόν· ἢ
ἐν δώμασι πολυτελέσιν
ὅρα μὴ πεισθῇς αὐτοῖς
τέκνον· καὶ τῶν προλα-
βουσῶν καμάτων ἀπο-
λέσῃς τὸν μισθόν· καὶ
γένῃ δαιμόνων καταγέ-
λως· καὶ εἰδώλων παι-
γνίον· οὐδὲν τιμιώτε-
ρον τῆς παρθενίας· πο-
λὺς γὰρ αὐτῆς ὁ μισθός·
καὶ ἡ ἀνταπόδοσις· ὁ
νυμφίος τῆς παρθενίας
ἀθάνατος· καὶ ἀθανα-
σίαν παρέχει τοῖς ποθοῦ-
σιν αὐτόν· σπούδασον
οὖν κυρία μου Φεβρωνί-
α, τοῦτον θεάσασθαι,
ᾧ καὶ τὴν ψυχήν σου ἀνέ-
θου· βλέπε τέκνον μου
μὴ ἀθετήσῃς τοὺς ἀρ-
ραβῶνας αὐτοῦ καὶ τὰς
πρὸς αὐτὸν συνθήκας·
φοβερὰ γὰρ ἐστὶν ἡ ἡμέρα
ἐκείνη, ὅταν καθέζηται
ἐπὶ θρόνου δόξης ὁ κρι-
τής, ὅταν ἕκαστος ἀπο-
λαμβάνῃ κατὰ τὰ ἔργα
αὐτοῦ· ταῦτα ἀκούσα-
σα ἡ Φεβρωνία, ὑποβλη-
εἴζετο· καὶ γενναίως κα-
τὰ τῶν τοῦ διαβόλου πρα-
γμάτων ἑαυτὴν παρεσκεύα-
ζεν· καὶ ἀποκριθεῖσα τῇ
Θωμαΐδι εἶπεν· καλῶς
ἐποίησας διδάξασά με· ὑπο-
μνήσασα τὴν σὴν δούλην·
γενναιοτέραν γὰρ ἀ-
πειργάσω τὴν ψυχήν μου·
πλὴν εἰ προαιρέσεως

εἶχον τοῦ φυγεῖν τὸν
ἀγῶνα. κἀγὼ σὺν ταῖς
ἀδελφαῖς ἐξελθεῖν
εἶχον· καὶ ἐμαυτὴν ἀπο
κρύψαι. ἀλλ' ἐπειδὴ ἐ
κεῖνον ποθῶ, ᾧ καὶ τὴν
ψυχήν μου ἀνεθέμην,
σπουδάζω πρὸς αὐτὸν
παραθέσθαι, εἴγε ἀξιώσει
ἄν με ἀποδείξει ὑπὲρ
τοῦ ὀνόματος αὐτοῦ ἀγω
νίσασθαι καὶ ἀποθανεῖν.

Ταῦτα ἀκούσασα ἡ Βρυ
ήνη ἤρξατο καὶ αὐτὴ λέ
γειν αὐτῇ· τέκνον μου Φε
βρωνία, μνήσθητι πῶς
παρηκολούθηκάς μου τῇ
διδασκαλίᾳ. μνήσθητι
ὅτι καὶ ἀπὸ ὧν διδάσκα
λος ἐγώ μου. μνήσθητι
ὅτι δύο ἐτῶν σὺ οὖσα ἐγὼ
δεξαμένη εἰς τὰς χεῖρας
μου παρὰ τῆς τροφοῦ σου.
Καὶ μέχρι τοῦ νῦν οὐκ ἑώ
ρακεν ἀνὴρ τὸ πρόσω
πόν σου. κοσμικαὶ γυ
ναῖ κές σωαυλὶ ἀθῆναι αὐ
οὐκ ἐποίησα. ἰδοὺ μέ
χρι τοῦ νῦν διεφύλα
ξά σε. νῦν δὲ τί ποιή
σω σε τέκνον μου. μὴ
ὅπως ἐνυβρίσῃς τὸ γῆ
ρας Βρυένης. μὴ μα
ταιώσῃς τὸν κάματον
τῆς πνικῆς σου μετ' ὀ.

μνήσθητι τῶν προλαβόν
των ἀγωνιστῶν. οἵτινες
ἐνδόξως ἐμαρτύρησαν·
καὶ τὸν στέφανον τῆς νί
κης παρὰ τοῦ ἀθανάτου
νυμφίου ἐδέξαντο. οὐ
μόνον ἄνδρες, ἀλλὰ καὶ
γυναῖκες καὶ παιδία.

Μνήσθητι Λιβύης καὶ Λε
ονίδος τῶν δύο ἀδελ
φῶν. αἵτινες ἐνδόξως
ἐμαρτύρησαν· πῶς ἡ μὲν
Λιβύη ξίφει τὴν κεφα
λὴν ἀπετμήθη· Λεονί
δα δὲ πυρὶ παρεδόθη. μνή
σθητι Εὐτροπίας τοῦ
παιδίου. ἥτις δωδεκα
ετὴς οὖσα σὺν τῇ μητρὶ αὐ
τῆς ἐμαρτύρησεν. οὐ θαυ
μάζω δὲ τῆς ἀ
θλοφόρου τὴν ἀνδρείαν
καὶ τὴν ὑπομονήν· ὅτι
τοῦ δικαστοῦ κελεύσαντος
τοξευθῆναι ἐκ τοῦ δακτύλου
ἵνα φοβηθεῖσα φύγῃ. ἀ
κούσασα παρὰ τῆς μητρὸς, τέ
κνον μου Εὐτροπία μὴ
φύγῃς. ἐδειλίασεν; οὐδα
μῶς; ἀλλὰ δείξασα τὰς
χεῖρας αὐτῆς ἔστη. καὶ πλη
γεῖσα ὑπὸ τοῦ τόξου ἔ
πεσεν εἰς τὸ ἔδαφος.
καὶ εὐθέως διεφώνησεν.
καὶ τῆς μητρὸς τὴν αὐτολήν
οὐ παρέβη; οὕτως...

τὴν ὑπομονὴν ἐθαυμάζεσ-
θε; καὶ αὐτὴ μὲν παι-
διον καὶ ἀμαθής, οὐδὲ
καὶ ἄλλων διδασκάλους
ἠγέμου· ταῦτα λεγόν-
Των αὐτῶν καὶ πλείονα του-
των, δηλαθὲν ἡμῖν ὑξ· πρω-
ΐας δὲ γενομένης, καὶ
ἀνατείλαντος τοῦ ἡλί-
ου, θόρυβος καὶ βοὴ ἐγέ-
νετο ὑπὸ τῶν τὴν πόλιν
οἰκούντων, ὡς ἤδη τοῦ
Σελήνου καὶ τοῦ Λυσι-
μάχου ἐπιβάντων τῇ
πόλει· πολλῶν τοίνυν
χριστιανῶν συναρπαχθέν-
των ὑπὸ τῶν στρατιω-
τῶν καὶ ταῖς φρουραῖς ἀπο-
τεθέντων, τινὲς τῶν
ἑλλήνων ἀνήγγειλαν τῷ
Σελήνῳ περὶ τοῦ μονα-
στηρίου· καὶ εὐθέως ἐκ-
πέμπει στρατιώτας εἰς
τὸ μοναστήριον· κυκλώσαν-
τες οὖν οἱ στρατιῶται τὸ
μοναστήριον· καὶ πελέκεσι
τὰς θύρας διαρρήξαν-
τες, ἐπεισῆλθον τῷ μο-
ναστηρίῳ· καὶ εὐθέως
κατασχόντες τὴν Βρυ-
έννην, ξίφει παρ' αὐτὸ
ἀνελεῖν αὐτὴν ἐβουλή-
θησαν· ἡ δὲ Φεβρωνία
θεασαμένη τὸν ἐπικεί-
μενον κίνδυνον, ἔρριψεν

ἑαυτὴν ἐπὶ τοῦ βάθρου
εἰς τοὺς πόδας τῶν στρα-
τιωτῶν· καὶ βοήσασα
λέγει πρὸς αὐτούς· ὁρκί-
ζω ὑμᾶς τὸν θεὸν τὸν ἐν
τοῖς οὐρανοῖς, ἐμὲ πρῶ-
τον ἀνέλετε, ἵνα μὴ ἴδω
τὸν θάνατον τῆς κυρίας
μου· φθάσαντος δὲ τοῦ
Κόμητος Πρίμου καὶ ἀγανα-
κτήσαντος κατὰ τῶν
στρατιωτῶν, ἔξω τοῦ μο-
ναστηρίου ἐκέλευσεν αὐ-
τοὺς βληθῆναι· καὶ λέγει
τῇ Βρυέννῃ· ποῦ εἰσὶν αἱ
ἐνταῦθα οἰκοῦσαι· Βρυέν-
νη λέγει· διὰ τὸν φόβον
ὑμῶν πᾶσαι ἀνεχώρη-
σαν τοῦ μοναστηρίου· Πρί-
μος λέγει· εἴθε καὶ ὑμεῖς
διεσώθητε· καὶ λέγει πρὸς
αὐτάς· ἰδοὺ ἔχετε ἄνεσιν·
ἐξελθοῦσαι διασώζεσθε
ὅπου ἐὰν βούλησθε· καὶ
λαβὼν τοὺς στρατιώτας, ἀ-
νεχώρησε τοῦ μοναστη-
ρίου· καὶ παραγενόμενος
εἰς τὸ πραιτώριον, ἔρχε-
ται πρὸς τὸν Λυσίμαχον· ὁ
λέγει αὐτῷ Λυσίμαχος·
ἀληθῶς ἐστὶ πολύχρημον
περὶ τοῦ μοναστηρίου;
Πρίμος λέγει· ἀληθῆ· καὶ
παραλαβὼν αὐτὸν κα-
τ' ἰδίαν εἶπεν αὐτῷ· πάν-

αὐ ἐν τῷ μοναστηρίῳ, φυ-
γῇ ἐχρήσαντο. καὶ οὐχ εὑ-
ρομεν εἰ μὴ δύο πρεσβύ-
τιδας. καὶ μίαν νεάνιν
ξένην δὲ κειμένην ἔχω
σοι ἀπαγγεῖλαι. ὃ εὑ-
θεασάμην ἐν τῷ μονα-
στηρίῳ. εἶδον ἐκεῖ
νεανίδα, οἵαν ἀρχῆς εὐρά-
καμεν ἐχθὲς τοῦ μηνὸς ἐν γυ-
ναιξὶν τοιοῦτον φέρου-
σαν χαρακτῆρα· ἐποίησαν-
ται οἱ θεοί. εἶδον αὐτὴν
κειμένην ἐπὶ τοῦ βάθρου,
καὶ ἐξέστη μου ἡ διάνοια.
καὶ εἰ μὴ ὅτι πενιχρὰ ἦν
καὶ πτωχή, ἀξία ἦν τῷ
κυρίῳ μου γενέσθαι εἰς
γυναῖκα. Λυσίμαχος λέ-
γει· εἰ ἐν πολλαῖς ἔχω τὰς
ἡμέρας μου μὴ ἐκχέαι αἵμα-
τα χριστιανῶν, ἀλλὰ μᾶλλον
φίλος γενέσθαι. πῶς
τοῖς τοῦ Χριστοῦ δούλοις ἐπι-
βουλεύσω· οὐχί· ἀλλὰ
παρακαλῶ σε κύριέ μου
θεῖε, λαβὼν αὐτὰς
ἔξαγε τοῦ μοναστηρί-
ου. καὶ γενοῦ αὐτῶν σω-
τήρ, ὅπως μὴ ἐμπέσω-
σιν εἰς τὰς χεῖρας Σηλή-
νου τοῦ ἀνηλεοῦς ἐμοῦ
θείου. εἷς δέ τις τῶν
κακίστων στρατιωτῶν,
δραμὼν πρὸς Σέληνον,

ἀπήγγειλεν αὐτῷ λέγων·
ὅτι νεανίδα τινὰ εὑρή-
καμεν ἐν τῷ μοναστηρίῳ,
σφόδρα περικαλλῆ· καὶ
περὶ αὐτῆς περιχαρῶς μου
ὁμιλεῖ τῷ κυρίῳ μου
Λυσιμάχῳ. πεῖ μος ὁ κό-
μης ταῦτα ἀκούσας
Σέληνος, καὶ πλησθεὶς
θυμοῦ καὶ ὀργῆς, ἀπέ-
στειλε φύλακας ἐν τῷ
μοναστηρίῳ φυλάττειν
αὐτάς, μήπως φυγοῦ-
σαι διασωθῶσι. καὶ εὐθέ-
ως προσέταξε κήρυκας
βοᾶν ἐν τῇ πόλει· αὔ-
ριον δημοσίᾳ πρόοδος
τῆς Φεβρωνίας. ἀκού-
σαντες δὲ οἱ τὴν πόλιν
οἰκοῦντες· οὐ μόνον ἀλλὰ
καὶ οἱ τὴν περίχωρον,
συνέτρεχον πλῆθος ἀν-
δρῶν τε καὶ γυναικῶν
τῆς Φεβρωνίας τὸν ἀ-
γῶνα θεάσασθαι. ὄρ-
θρου δὲ γενομένου, πα-
ραγίνονται οἱ στρατιῶ-
ται ἐν τῷ μοναστηρίῳ.
καὶ εἰσελθόντες εἵλκυ-
σαν ἀπὸ τοῦ βάθρου τὴν
Φεβρωνίαν. καὶ σιδή-
ροις ἀσφαλισάμενοι· κ-
λοιὰ περιθέντες τῷ
τραχήλῳ αὐτῆς, εἵλ-
κον ἔξω τοῦ μοναστηρίου.

ἡ δὲ βρυέννη καὶ ἡ θωμα-
ῒς, συμπλέξασαι τὰς
χεῖρας τῇ φεβρονίᾳ,
ἐβόων πικρῶς· καὶ πα-
ρεκάλουν τοὺς στρατιώτας
ἐνδοῦναι αὐτῇ μικρόν·
ὅπως διαλεχθῶσιν αὐτῇ·
Οἱ δὲ στρατιῶται πολλῆς
συμπαθείας ἀξιώσαν-
τες τὴν φεβρονίαν, ἄ-
νεσιν παρέσχον αὐτῇ· ἡ
οὖν βρυέννη καὶ ἡ θωμαΐς,
παρεκάλουν τοὺς στρατι-
ώτας ὅπως καὶ αὐταὶ
παραγένωνται εἰς τὸν
ἀγῶνα· διὰ τὸ μὴ κατα-
λειφθῆναι τὴν φεβρονί-
αν μόνην, μήπως μονω-
θεῖσα δειλιάσῃ· οἱ δὲ
στρατιῶται εἶπον· οὐ προ-
σετάχθημεν ὑμᾶς τῷ
δικαστηρίῳ παραστῆσαι·
ἀλλὰ μόνην τὴν φεβρο-
νίαν· ἤρξαντο οὖν ἥ τε
θωμαῒς καὶ ἡ βρυέννη
παρακαλεῖν καὶ ὑποστη-
ρίζειν τὴν φεβρονίαν·
λέγει οὖν ἡ βρυέννη· τέ-
κνον φεβρονία· ἰδοὺ
ἐξέρχῃ εἰς τὸν ἀγῶνα·
βλέπε ὅτι ὁ οὐράνιος νυμ-
φίος ἐφορᾷ τὸν ἀγῶνα
σου· καὶ αἱ τῶν ἀγγέλων
δυνάμεις κατέχουσι
τὸν τῆς νίκης στέφανον.

βλέπε μὴ πτοηθῇς τὰ
βασανιστήρια καὶ γένῃ χλεύη
τοῦ διαβόλου· μὴ ἐλεή-
σῃς τὸ ἑαυτῆς σῶμα τὸ
ἀλλοιούμενον ὑπὸ τῶν
αἰκισμῶν· τοῦτο γὰρ καὶ
μὴ θέλουσα μετ' ὀλίγον
τάφος διαδεξάμενος,
εἰς χοῦν τοῦτο διαλύ-
σει· ἰδοὺ ἐγὼ περιμένω
ἐν τῷ μοναστηρίῳ θρη-
νοῦσα καὶ περιμένουσα
ἀγγελίαν περὶ σοῦ· εἴτε
ἀγαθήν· εἴτε πονηράν·
δέομαι οὖν τέκνον μου,
ἀγαθὴν ἀγγελίαν ἀκοῦσαι
περὶ σοῦ· τίς δ' ἀγγελιθῇ
μοι ὅτι φεβρονία ἐτε-
λειώθη· καὶ ἐν μάρτυ-
σι κατελογίσθη· ταῦτα
ἀκούσασα ἡ φεβρονία,
λέγει τῇ βρυέννῃ· πι-
στεύω εἰς τὸν θεόν μῆτερ μου·
ὅτι ὡς οὐδέποτε παρῆλ-
θον σου ἐντολήν, οὐδὲ
νῦν παρελθῶ σου τὴν ἐν-
τολὴν ταύτην καὶ τὴν
παραίνεσιν· ἀλλ' ὄψον-
ται λαοὶ καὶ ἐκστήσονται·
καὶ μακαριοῦσι τὸ γῆρας
βρυέννης καὶ ἐροῦσιν· ἀ-
ληθῶς αὕτη ἡ φυτεία
βρυέννης τῆς μεγάλης
ἐστί· δείξω γὰρ ἐν σώμα-
τι θηλύας, φρόνημα ἀν-

δρεῖον· ἀλλ' εὔξασθέ μοι
καὶ ἀφετε ὑπάγειν· θω
μαῒς λέγει· ζῆ κ(ύριο)ς φεβρω
νία τέκνον μου· ὅτι κἂν
γνῶ σχῆμα κοσμικὸν πε
ριβαλλομένη· ἐλεύσομαι
καὶ θεάσομαι τὸν ἀγῶ
νά σου· τῶν δὲ στρατι
ωτῶν ἐπειγόντων αὐ
τήν, λέγει αὐταῖς ἡ φε
βρωνία· δέομαι ὑμῶν
μητέρες μου, δότε μοι ἀλ
λαγὴν ἐφόδιον· καὶ εὔ
ξασθέ μοι ἔτι τὸ ἅπαξ
τοῦτο, καὶ ἀφετέ με πο
ρευθῆναι· τότε ἡ βρυ
ένη ἐκτείνασα τὰς χεῖ
ρας εἰς τὸν οὐρανὸν καὶ βο
ήσασα φωνῇ μεγάλῃ
καὶ εἶπεν· ὁ φθάνης τὴν
δούλην σου θέκλην ἐν τῷ
ἀγῶνι ἐν σχήματι παύ
λου· κ(ύρι)ε ἰ(ησο)ῦ χ(ριστ)ὲ ὁ θ(εὸ)ς ἡμῶν·
φάνηθι καὶ ἐπὶ τῆς ταπει
νῆς ταύτης ἐν τῇ ὥρα
τῶν ἀγώνων· ταῦτα εἰ
πούσης τῆς βρυένης,
περιπτυξαμένη τὴν
φεβρωνίαν καὶ ἀσπασα
μένη, μετὰ πολλῶν δα
κρύων ἀπέλυσεν αὐτήν.
λαβόντες οὖν αὐτὴν οἱ
στρατιῶται ἐξῆλθον· ὑπέ
στρεψε δὲ ἡ βρυένη τῷ
μοναστηρίῳ ὀδυρομέ

νη καὶ θρηνοῦσα· καὶ ῥί
ψασα ἑαυτὴν εἰς τὸ ἔδα
φος ἐν τῷ εὐκτηρίῳ, βο
ῶσα ἱκέτευε τὸν θ(εὸ)ν πε
ρὶ τῆς φεβρωνίας· ἡ οὖν
θωμαῒς ἡ δευτερεύουσα,
τὴν βρυένην καταλιποῦ
σα ἐν τῷ εὐκτηρίῳ· πε
ριβαλλομένη σχῆμα κο
σμικόν, ἔρχεται εἰς τὴν
θεωρίαν· πᾶσαι οὖν αἱ
κοσμικαὶ γυναῖκες, αἵ
τινες συνήρχοντο πρὸς
αὐτὴν ἐν τῷ μοναστηρίῳ
τῇ ἡμέρᾳ τῆς παρασκευῆς
ἀπολαύουσαι τῆς διδα
σκαλίας, τύπτουσαι
αὐτῶν τὰ στήθη μετὰ δα
κρύων ἐτρέχομεν ἐπὶ τὸν
τόπον τῆς θεωρίας, τὴν
στέρησιν τῆς διδασκά
λου μὴ φέρουσαι· μαθοῦ
σα δὲ καὶ ἱερία ἡ συγκλη
τική· ὅτι φεβρωνία
ἡ μοναχὴ προσοδον δι
δωσι δημοσία, ἀνα
στᾶσα ἐβόησε φωνῇ με
γάλῃ, ὥστε ἐκστῆναι τοὺς
γονεῖς αὐτῆς καὶ πάν
τας τοὺς ἐν τῷ οἴκῳ· τό
που θεάσασθαι παρὰ τῆς
ἱερίας τό, τί συνέβη
αὐτῇ· ἡ δέ, ἀποκρίνα
το λέγουσα· ἡ ἀδελ
φή μου φεβρωνία, προ

ὀδυρμοὶ δὲ δρῶσι δημοσία·
ἡ δὲ διδάσκαλος ὁμοῦ δ᾽ ἦν καὶ
εἰς πραττεται σὺς χεῖρας ἀνη·
πολλὰ οὖν παραινουμέ-
νη ὑπὸ τῶν γονέων παύ-
σασθαι τοῦ θρήνου, πλεῖ-
ον ἐβόα ὀδυρομένη τε
παρακαλοῦσα τοὺς γονεῖς
αὐτῆς καὶ λέγουσα, ἄ-
φετέ με πικρῶς κλαῦσαι
ἐπὶ τῇ ἐμῇ ἀδελφῇ καὶ
διδασκάλῳ μου· ταῦτα δὲ
λεγούσης αὐτῆς, καὶ τοὺς
οἰκείους γονεῖς εἰς θρῆ-
νον διήγειρεν· ὥστε ποθῆ-
σαι δὲ αὐτοὺς τὴν φε-
βρωνίαν· ἐπεὶ δὲ τοὺς
γονεῖς αὐτῆς καὶ ἐάσαν
αὐτὴν παραγενέσθαι
ἐπὶ τὴν θεωρίαν· καὶ λα-
βοῦσα πλῆθος παίδων
καὶ παιδίσκων, ἔτρεχεν
ἐπὶ τὸν τόπον τῆς θεω-
ρίας θρηνοῦσα· καὶ φθά-
σασα πλῆθος πολὺ γυναι-
κῶν συντρεχόντων καὶ θρη-
νούντων, ἔφθασε καὶ τὴν
θωμαΐδα κατὰ τὴν ὁδόν·
καὶ ἀναγνωρισθεῖσαι ἀλλή-
λαις, θρηνοῦσαι ἀμφό-
τεραι ἐπὶ τὸν τόπον τῆς
θεωρίας παραγίνονται,
ἰδεῖν τὸ ἅγιον σῶμα· προ-
καθίσας δὲ ὁ σεληνὸς ἅμα
τῷ λυσιμάχῳ ἐπὶ τοῦ βή-

ματος, ἐκέλευσεν ἐνε-
χθῆναι τὴν φεβρωνίαν· ἐ-
νεχθείσης οὖν πεπεδημένης
τὰς χεῖρας· καὶ κλοιὸν
σιδηροῦν σφόδρα βαρὺν
κατὰ τοῦ τραχήλου φε-
ρούσης· καὶ ἦν οἰμωγὴ καὶ
κλαυθμὸς παρ᾽ ἅπασι τοῖς παρε-
στῶσι· προσαχθείσης δὲ
αὐτῆς εἰς τὸ μέσον, ἐκέ-
λευσεν ὁ σεληνὸς σιγὴν
γενέσθαι· τοῦ δὲ θορύ-
βου κατασιγασθέντος,
εἶπεν ὁ σεληνὸς τῷ λυ-
σιμάχῳ· σὺ δίδου τὰς πεύ-
σεις, καὶ δέχου τὰς ἀπο-
κρίσεις· τότε ὁ λυσίμα-
χος λέγει· εἰπέ μοι νε-
ωτέρα· τίς εἶ τῇ τύχῃ·
δούλη, ἢ ἐλευθέρα· φε-
βρωνία λέγει· δούλη·
λυσίμαχος εἶπε· τίνος
δούλη τυγχάνεις· φε-
βρωνία λέγει· τοῦ χριστοῦ· λυ-
σίμαχος εἶπε· τί ἐστί σοι
ὄνομα· φεβρωνία εἶπε·
χριστιανὴ ἡ ταπεινή· λυ-
σίμαχος εἶπε· τὸ ὄνομα
σου μαθεῖν θέλω· φεβρω-
νία εἶπεν· εἶπον σοι ὅ-
τι χριστιανὴ ἡ ταπεινή·
εἰ δὲ τὸ ἐκ τοῦ ἁγίου
βαπτίσματος ἐπίτε-
θειμαι ὄνομα ὑπὸ τῆς
κυρίας μου ζητεῖς, φε-

βρονία καλοῦμαι. τὸ πρό
σελήνος· παύσας τὸν λοι
μαχον τῶν ἐρωτήσεων, αὐ
τὸς ἤρξατο ὑβρωτὰν τὴν φε
βρονίαν. καὶ λέγει αὐτῇ.
ἐπίστανται οἱ θεοὶ φεβρω
νία, ὅτι οὐκ ἠβουλόμην
ἐρωτήσεως ἀξιῶσαί σε.
ἀλλ' ἐπειδὴ τὸ πρᾶον καὶ
ἐπιεικὲς σου τοῦ προσκαλ
λεῖ χαρακτῆρός σου, ἤ τη
σαν τὸν τῆς μανίας μου ὄ
γκον καὶ τὴν κατὰ σοῦ ἀγα
ρακτησίν, οὐκέτι ὡς κα
τάκειτον ἐρωτήσω σε.
ἀλλ' ὡς τέκνον καὶ ὡς θυ
γατέρα ἐμὴν παρακαλέσω
σε. ἄκουε τοίνυν ὦ θυ
γατερ. ἐπίστανται οἱ θεοί,
ὅτι πολλῶν χρημάτων
καὶ πολλῆς περιουσίας ἤρ
μοσάμεθα γῶν αἱ κατῶ
κυρίω μου λοιμάχω. ἀγα
τε καὶ ἄνθιμος ὁ ἐμὸς ἀδελ
φός. πλὴν ὅμως σήμε
ρον, τὸ ἐπὶ τῇ θυγατεὶ
τοῦ προσφόρου, διαλύ
σω σου ἀλλαγμα. καὶ τὰς
ἐν σοὶ θήσομαι σῶθηκας.
καὶ ἔσῃ τῷ κυρίῳ μου λυ
σιμάχῳ εἰς γυναῖκα. οὐ
εἰς τὰ δοῦλα καθίζομαι
μῶν. ὄντινα καὶ ὁρᾶς
ὅτι καὶ αὐτὸς προσκαλ
λεῖ σε ἐστὶν ὡς καὶ σύ. ἄκου

σον οὖν τῆς συμβουλίας
μου ὡς πρέπει σοι. καὶ ποιή
σω σε ἔνδοξον ἐπὶ τῆς
γῆς. καὶ μὴ ποιήσῃ σε ἡ
πενία. οὔτε γὰρ ἐμοὶ γυ
μὴ πολέστιν, οὔτε τέκνα.
πάντα οὖν τὰ ἐμὰ σοὶ δω
ρήσομαι. καὶ δὲ ποιμὴν
πάντων κατασήσω σε.
καὶ ταῦτα εἰς πεῖρα καδῶ
σω τῷ κυρίῳ μου λυσιμά
χῳ. καὶ ἔσομαι ὑμῖν εἰς
πρᾶ. καὶ δοξασθήσῃ ἐπὶ
τῆς γῆς. καὶ μακαριοῦσί
σε αἱ θηλεῖαι πᾶσαι. τὸ,
οἵας τιμῆς ἠξιώθης. χα
ρίσεται δὲ καὶ ὁ καλλίνικος
ἡμῶν βασιλεύς. καὶ δω
ρήσεται ὑμῖν καὶ αὐτὸς
πολλά. ἐπηγγείλατο γὰρ
ἐπὶ τὸν ὑπερέχοντα τῶν
ἀρχόντων θρόνον ἀναβι
βάσαι τὸν κύριόν μου λυ
σίμαχον. ἰδοὺ ἀκήκοας
πάντα. δὸς δ' ἀπόκρισιν
ἐμοὶ τῷ πείσω. τὴν καὶ
τοῖς θεοῖς θεραπεύουσαν
καὶ τὴν ψυχήν μου χαροποι
οῦσαν. ἐπεὶ ἐὰν ἀπειθὴς
ὀφθείης πρὸς τὴν παρα
μεσίν μου. ἐπίστανται
οἱ θεοί, ὅτι οὐ μὴ ζήσῃς
τρεῖς ὥρας εἰς τὰς χεῖ
ράς μου. ἀποκρίνου τοίνυν
τὰ δοκοῦντά σοι. φο

βεονία λέγει· ἐγὼ δὲ
κας δὲ παστάδα ἔχουσα ἐν
οἴκῳ οἷον ἀχειροποίητον·
νυμφῶνα ἀκατάλυτον
κεκτημένη· προῖκα ἔχω
στολὴν πᾶσαν τὴν τῶν οὐρανῶν
βασιλείαν· νυμφίον
ἔχουσα ἀθάνατον· θνητὸν
καὶ φθαρτὸν τῷ ἀνδρὶ ὡς συνοική-
σαι οὔτε ἀκοῦσαι ἀνέχο-
μαι· ὥστε δὴ καταπαύεικα-
μεν· οὔτε γὰρ κολακειῶν
ὠφελήσεις· οὔτε ἀπει-
λῶν ἐκφοβήσεις· ταῦτα
ἀκούσας ὁ δικαστής, καὶ
μεγάλως ἀγανακτήσας,
ἐκέλευσε τοῖς στρατιώ-
ταις λέγων· περιρρήξαν-
τες τὰ ἱμάτια αὐτῆς·
καὶ ῥάκιον περιζώσαντες,
ἀτίμως καὶ ἀσχημόνως ἐπὶ
πάντων στήσατε· ἵνα ἴ-
δοῦσα ἑαυτὴν ἐν τοιαύ-
τῃ ἀσχημοσύνῃ ταλανίσῃ
ἑαυτήν· ἀνθ' ὧν μεγάλης
ἐξέπεσε δόξης· καὶ ἐσχά-
της τετύχηκεν ἀτιμίας·
οἱ οὖν στρατιῶται ταχέως
περιρρήξαντες τὰ ἱμά-
τια αὐτῆς· καὶ ῥάκιον
αὐτὴν περιζώσαντες,
ἔστησαν ἐπὶ πάντων γυ-
μνήν· τότε ὁ σέληνος
λέγει· τί λέγεις φεβρω-
νία· ὁρᾷς οἵων ἐξέπεσας

ἀγαθῶν· καὶ οἵας τετύχη-
κας ἀτιμίας· φεβρω-
νία λέγει· ἄκουε δικαστά·
κἂν εἰ ὅλην τὴν ἱματί-
ων περιέλης τὴν γυμνω-
σιν, ἐγὼ ταύτην ἀσχημο-
σύνην οὐ λογίζομαι· εἷς
γὰρ ὁ δημιουργὸς τοῦ
ἄρρενος καὶ τῆς θηλείας·
οὐδὲ γὰρ μόνην τὴν τῶν
ἱματίων γύμνωσιν ὑπο-
μένω, ἀλλὰ καὶ τὴν διὰ
ξίφους καὶ πυρὸς τιμω-
ρίαν ἐκδέχομαι· εἰ γὰρ
ἀξία γενήσομαι παθεῖν
ὑπὲρ τοῦ παθόντος ὑπὲρ
ἐμοῦ· σέληνος λέγει· ἀ-
ναίσχυντε καὶ πόρνη ἀτι-
μίας ἀξία· οἶδα ὅτι σε
μύνει ἐφ' ᾧ περιβέβλη-
σαι κάλλει· καὶ διὰ τοῦτο
οὐ λογίζῃ αἰσχύνην καὶ
ἀτιμίαν τὴν τοῦ σώμα-
τος γύμνωσιν· ἀλλ' ἢ ἔ-
παινον τὴν ἀδοξίαν· τὸ οὕ-
τως ἑστάναι σε γυμνήν·
φεβρωνία λέγει· οἶδεν
ὁ χριστός μου, ὅτι οὔτε θέα-
μαι μέχρι τοῦ νῦν χαρακτῆ-
ρα ἀνδρός· καὶ ἵνα μὴ κο-
πώσεις τὰς χεῖράς σου, ἀναί-
σχυντος τίς ὡς φθονῶν σοι; ὁ-
μως μωρὲ καὶ ἀναισθητό-
τατε δικαστά· τίς τῶν ἀθλη-
τῶν ὀλυμπιακῶν ποτὲ

ἀγωνιζόμενος ἀγῶνα,
ἱματίοις ἠμφιεσμένος
συμπλέκει τὴν πάλην·
οὐχὶ γυμνὸς ἐξανύει
τὸν ἀγῶνα, ἕως οὗ τὸν
ἀντίπαλον νικήσῃ; ἐ-
γὼ δὲ βασάνων καὶ πυ-
ρὸς ἀπειλὴν περιμέ-
νουσα, πῶς ἱματίοις
ἠμφιεσμένη τούτοις
συμπλέξω; οὐχὶ γυ-
μνοῖ τὸ σῶμα τοῖς αἰκι-
σμοῖς δέξηται; ἕως
οὗ καταγωνίσομαι τὸν
πατέρα σου τὸν σατανᾶν,
τῶν βασάνων σου κατα-
φρονήσασα; Σεληνὸς
λέγει· ἐπειδὴ πε-
ξενος ἑαυτῇ καὶ πυρὸς
καὶ πολλῶν τιμωριῶν
ἐγένετο, τείναντες
αὐτὴν ἐκ τεσσάρων· τὸ
πῦρ ὑποκάτωθεν αὐτῆς
ἐξάψαντες· τέσσαρες
στρατιῶται ἐπιστάντες
ῥάβδοις τὸν νῶτον αὐ-
τῆς διαρρήξωσιν· τού-
του δὲ γενομένου, καὶ
ἐπὶ πολὺ αὐτῆς τυπτο-
μένης, ὄμβροι τῶν αἱ-
μάτων ἐξ ἀμφοτέρων
τῶν μερῶν τοῦ νώτου
αὐτῆς ἐπὶ τὴν γῆν κατε-
φέροντο· ἠργάζετο δὲ
καὶ τὸ πῦρ ὑποκάτω αὐτῆς

καῖον αὐτῆς τὰ σπλάγχνα.
ἐλαίῳ δὲ ἐρεθιζόμενον
τὸ πῦρ, πλείω καὶ σφο-
δροτέραν φλόγα ἀποτε-
λούμενον, κατανάλισκε
τὴν Φεβρωνίαν. ἐπὶ
πολλὰς δὲ τὰς ὥρας
τυπτομένης αὐτῆς
ἅπαν τὸ πλῆθος τοῦ
δήμου ἐβόα, καὶ τὸν
δικαστὴν ἱκέτευον λέ-
γοντες· φεῖσαι φεῖσαι
δικαστά. φεῖσαι τῆς νέ-
ας. τοῦ δὲ μὴ πειθο-
μένου ἀλλ' ἔτι εὐτόνως
αὐτὴν μαστίζεσθαι προσ-
τάξαντος, ὅτι δὲ τὰς
σάρκας αὐτῆς μετὰ τοῦ
αἵματος ἐπὶ τῆς γῆς κατα-
φερομένας, τότε ἠνάγκα-
σε παύσασθαι τοὺς δημί-
ους μαστίζοντας. δὲ αὐτὴν τε-
θνηκέναι, ἔρριψαν αὐτὴν
ἔξω τῆς πυρᾶς. ἡ δὲ Θω-
μαΐς θεωρήσασα τὰς
ἐπενεχθείσας βασάνους
τῇ Φεβρωνίᾳ, ὀλιγοψυ-
χήσασα κατέπεσεν εἰς
τὸ ἔδαφος παρὰ τοὺς πό-
δας τῆς ἱερείας. ἡ δὲ ἰδοῦ-
σα βοήσασα φωνῇ μεγάλῃ
ἔλεγεν· οὐαί μοι Φεβρωνί-
α ἀδελφή. οὐαί μοι κυ-
ρία μου διδάσκαλε. ὅτι
ἀπὸ τῆς σήμερον τῆς σῆς

ἀπεστέρηκαι διὰ δασοπλ-
λίας· οὐ μόνον δὲ τῆς
σῆς, ἀλλὰ καὶ τῆς κυρί-
ας θωμαΐδος· ἰδοὺ γὰρ
καὶ αὐτὴ διὰ σὲ τελευ-
τᾷ· ἀκούσασα δὲ ἡ φεβρω-
νία τὴν φωνὴν τῆς ἱερεί-
ας κειμένης ἐπὶ τοῦ ἐδά-
φους, παρεκάλεσε τοὺς
στρατιώτας ὕδωρ προσ-
ενεχθῆναι αὐτῆς τὸ πρό-
σωπον. οἱ δὲ στρατιῶται
εὐθέως τὸ ὕδωρ κομίσαν-
τες, προσήνεγκαν τῷ προ-
σώπῳ αὐτῆς. καὶ ἐλθοῦ-
σα εἰς ἑαυτήν, ἱκέτευε
τὴν ἱερίαν ἰδεῖν· τοῦ δὲ
δικαστοῦ μὴ θελήσαντος,
ἐκέλευσεν αὐτὴν ἀναστᾶ-
σαν ἀπολογεῖσθαι. καὶ λέ-
γει πρὸς αὐτήν· τί λέγεις
φεβρωνία· πῶς ἡ πρώ-
τη συμπλοκὴ τῆς πάλης·
φεβρωνία λέγει· ἔμαθες
ἐκ τῆς πρώτης πείρας ὅτι
ἀήττητός εἰμι. καὶ τῶν
βασάνων σου καταφρο-
νῶ. σέληνος λέγει· ἐπὶ
τοῦ ξύλου κρεμάσαντες
καὶ τοῖς πλήκτροις τὰς
πλευρὰς αὐτῆς ξέσαν-
τες. καὶ πῦρ προσενέ-
γκαντες μέχρι τῶν ὀστέ-
ων αὐτῆς, καταφλέξα-
τε. λαβόντες οὖν οἱ ὑπη-
ρέται πλήκτρα, ἐπὶ το-
σοῦτον ἔξεον, ὥστε καὶ τὰς
σάρκας αὐτῆς σὺν τῷ αἵ-
ματι ἐπὶ τὴν γῆν καταπί-
πτειν. καὶ προσενέγκαν-
τες τὸ πῦρ, κατέκαιον τὰ
σπλάγχνα αὐτῆς. ἡ δὲ φε-
βρωνία τοὺς ὀφθαλμοὺς
εἰς τὸν οὐρανὸν ἀνατείνα-
σα, λέγει· ἐλθὲ κύριέ μου
εἰς τὴν βοήθειάν μου. καὶ
μὴ παρίδῃς με ἐν τῇ ὥρᾳ
ταύτῃ. καὶ ταῦτα εἰποῦ-
σα ἡσύχασε. κατεφλέγετο
γὰρ σφόδρα ὑπὸ τοῦ πυρός·
πολλοὶ τοίνυν τῶν θεατῶν,
ἀπεδράσαν τῆς θεωρίας
διὰ τὴν ὠμότητα τοῦ σε-
λήνου. ἄλλοι δὲ ἐπεβόων
καὶ τὸν δικαστὴν ἱκέτευον,
ἀρθῆναι τὸ πῦρ ἀπ' αὐτῆς.
τοῦ δὲ δικαστοῦ ἐπιτρέψαν-
τος ἀρθῆναι τὸ πῦρ, κρεμα-
μένης αὐτῆς ἐπὶ τοῦ ξύ-
λου, πάλιν ἐρωτᾷ αὐτὴν
ἐπαρᾶτο· τῆς δέ, μὴ δυ-
ναμένης ἀποκριθῆναι,
ἐκέλευσεν αὐτὴν κατενε-
χθῆναι ἀπὸ τοῦ ξύλου,
πάλω προσδεθῆναι αὐτήν·
καὶ λέγει πρὸς αὐτόν· τῆς
τεῖσα κατάρατου ταύτης
καὶ μιαρᾶς ἀποκείρασθαι
τῷ δικαστηρίῳ μὴ βου-
λομένης, τεμνέσθω ἡ

λλοῶ ὄργανον καὶ ἐπὶ
τὸ πῦρ ῥιπιζέτω· ἡ δὲ
Φεβρονία παραλλάσσα
τὴν γλῶτταν, διέμενε πα
ρακαλοῦσα τὸν ὑπερασπι
στὴν καὶ λέγουσα· τέμνε·
ὁ δὲ ὑπασπιστὴς ἁψάμενος
τῆς γλώττης καὶ τέμνειν
πειρώμενος, οἱ ὄχλοι
κατὰ τῆς τῶν θεῶν συν
ηθείας ἐνορκοῦντες τὸν
Σέληνον, ἔπεισαν αὐ
τὸν τοῦτο μὴ ποιῆσαι.
πλὴν ὁ τρισκατάρατος
καὶ παμμίαρος Σέλη
νος, ἐκέλευσε τοὺς ὀδόν
τας αὐτῆς ἐκριζωθῆναι.
εὐθέως οὖν ὁ ἰατρὸς,
λαβὼν τὸ σιδήρεον ἤρ
ξατο τοὺς ὀδόντας τῆς
ἁγίας κόρης ἐκριζοῦν.
καὶ ἐπὶ τοῦ ἐδάφους ῥί
πτειν· δεκαεπτὰ τοί
νυν ὀδόντων αὐτῆς ἐκ
ριζωθέντων· καὶ σφο
δρῶς τοῦ αἵματος ἐπὶ
τῆς γῆς χεομένου, ἐκέλευ
σεν ὁ Σέληνος παύσα
σθαι τῷ ἰατρῷ· ἡ δὲ Φε
βρονία ὀλιγοψύχησεν
ἐπὶ τῇ σφοδρότητι τοῦ
αἵματος· εὐθέως οὖν ὁ
ἰατρὸς φάρμακόν τι
προσενέγκας ἔπαυσε
τὴν τοῦ αἵματος ῥύσιν.

ἤρξατο οὖν πάλιν ὁ Σέλη
νος ἐρωτᾶν αὐτήν· καὶ
λέγει αὐτῇ· Φεβρονία
κἂν νῦν πείθει τῷ δικα
στηρίῳ καὶ ὁμολογεῖς τοὺς
θεούς; ἡ δὲ Φεβρονία λέ
γει· ἀνάθεμά σοι τρισ
κατάρατε γέρων· ὅτι
ἐμὲ πειράζεις τῶν ὀδόντων μου
καὶ οὐκ ἐᾷς με λοιπὸν πρὸς
τὸν νυμφίον μου πορευ
θῆναι· ποῦ δὲ ἐκβάλλε
με ἐκ τοῦ πηλοῦ τοῦ σώμα
τος τούτου· ὅτι περι
μένει με ὁ βραβευτής μου· Σέ
ληνος λέγει· ὄντως κατ' ὀ
λίγον διὰ ξίφους καὶ πυ
ρὸς ἀφανίσω τὸ σῶμα
σου· οἶδα καὶ νῦν ὅτι ἐπὶ
τὸ τῆς ματαιότητός σου θρά
σος ἀναισχυντεῖν σε πα
ρασκευάζει· ἀλλ' οὐδὲ
μίαν ἕξεις ἐκ τούτου ὠ
φέλειαν· αὐτὴ γὰρ ἡ ἀλα
ζονία ταῦτά σοι τὰ κα
κὰ ἐπελθεῖν παρεσκεύα
σεν· ἡ δὲ Φεβρονία
ἀποκρίνασθαι μὴ δυνα
μένη διὰ τὸν ὄγκον τῶν
βασάνων, εἰς πλείονα
ἀγανάκτησιν ἤγαγε τὸν
δικαστήν· τότε ὁ Σέλη
νος κελεύει τῷ ἰατρῷ
λέγων· τὰ γαλακτεῖα
τῆς ἀναισχύντου ταύ

μηνύθω. ὁ δὲ ἰατρὸς λαβὼν
τὸ ξίφος καὶ περισελθὼν τὴν
Φεβρονίαν, ἐπειρᾶτο τέμνειν·
οἱ δὲ ὄχλοι ἐβόων παρακα-
λοῦντες τὸν δικαστὴν καὶ
λέγοντες· δεόμεθά σου
κύριε δικαστά, συγχωρη-
θῶ τῇ νέᾳ ἡ τιμωρία αὕ-
τη. ἐπὶ πολλὰς δὲ ταῖς ὥ-
ρας ἐκβοώντων, ἀγανα-
κτήσας ὁ σεληνὸς κατὰ
τοῦ ἰατροῦ, λέγει πρὸς
αὐτόν· τέμνε τέρας κατάρα-
τε καὶ τῶν θεῶν ἀλλότρι-
ε. ὁ δὲ ἰατρὸς λαβὼν τὴν
σμίλην καὶ ἁψάμενος
τοῦ δεξιοῦ μαστοῦ τῆς παι-
δὸς, ἤρξατο τέμνειν. ἡ
δὲ, ἀνεβόησε φωνῇ μεγά-
λῃ· καὶ ἀνατείνασα τοὺς
ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν
εἶπε· κύριε ὁ θεός μου ἴδε τὴν
βίαν μου, καὶ ἐλθέτω ἡ ψυ-
χή μου εἰς τὰς χεῖράς σου.
καὶ οὐκέτι ἐφθέγξατο.
ἀποτμηθέντων τοίνυν
αὐτῆς τῶν δύο μαζῶν· καὶ
ἐπὶ τοῦ ἐδάφους ῥιφθέν-
των, πῦρ κατὰ τῶν δύο
τόπων προσενεχθῆναι
αὐτῇ προσέταξεν. ἐπὶ
πολλὰς δὲ τὰς ὥρας κατα-
φλεγομένης αὐτῆς, τότε
καίοντο γὰρ τὰ σπλάγχνα
αὐτῆς. ὁρῶντες οἱ ὄχλοι

οἱ μὲν πλεῖστοι ἀνεχώρουν τῆς
θέας βοῶντες καὶ λέγον-
τες· ἀνάθεμα Διοκλητι-
ανῷ καὶ τοῖς θεοῖς αὐτοῦ.
ἡ δὲ Θωμαῒς καὶ ἡ Ἱερία,
ἀποστείλαντες τῷ μοναστη-
ρίῳ πρὸς τὴν Βρυένην
ἀπαγγέλλουσαι τὸ γενόμε-
να· παραγενομένη οὖν ἡ
παιδίσκη ἐν τῷ μοναστη-
ρίῳ πρὸς τὴν Βρυένην,
ἐβόησε φωνῇ μεγάλῃ καὶ
εἶπεν· οὕτως λέγει ἡ
κυρία Θωμαῒς καὶ Ἱερία·
μὴ σκυλοθῶσιν αἱ χεῖράς
σου διαπεπτασμέναι πρὸς
τὸν θεόν. μὴ ἀτονήσῃ ἡ καρ-
δία σου βοῶν πρὸς αὐτὸν
ἐκτενῶς καὶ εὔχεσθαι. με-
γάλοις γὰρ ἄθλοις περιέ-
πεσεν ἡ Φεβρονία. δεξα-
μένη οὖν τὴν ἀγγελίαν ἡ Βρυ-
ένη ἐβόα πρὸς τὸν θεὸν
λέγουσα· κύριε Ἰησοῦ Χριστέ· ἐλθὲ
εἰς τὴν βοήθειαν τῆς δού-
λης σου Φεβρονίας. καὶ
ἐπὶ πολλὰς τὰς ὥρας
προσευχομένη, ἔρριψεν
ἑαυτὴν εἰς τὸ ἔδαφος,
ὀδυρομένη καὶ βοῶσα· βρα-
βεῦ. βεῦ. Φεβρονία ποῦ
εἶ. πολλὴν οὖν ἡ παιδίσκη
ἔδραμεν ἐπὶ τὴν θεωρί-
αν. ἡ δὲ Βρυένη διαπε-
πτασμένας ἔχουσα τὰς χεῖρας

εἰς τὸν οὐρανὸν ἐβόα λέγου-
σα· κύριε ὁ θεὸς ἐπίβλεψον ἐπὶ τὴν τα-
πείνωσιν τῆς δούλης σου
Φεβρωνίας· καὶ ἐλθὲ εἰς
βοήθειαν αὐτῆς. ἴδω-
σιν οἱ ὀφθαλμοί μου ὅτι
Φεβρωνία ἐτελειώθη
καὶ ἐν μαρτυρίῳ κατελογί-
σθη. πολλὴν οὖν ὁ δικαστὴς
ἐκέλευσε λυθῆναι τὴν
Φεβρωνίαν ἀπὸ τοῦ ξύ-
λου. λυθεῖσα δὲ αὐτὴ,
ἔπεσεν ἐπὶ τὸ ἔδαφος·
οὐδὲ γὰρ ἴσχυσεν ἐστῆ-
ναι. τότε ὁ ἔπαρχος λέ-
γει τῷ Λυσιμάχῳ· εἰς τί
ἡ ἀπώλεια τῆς νεωτέ-
ρας ταύτης. Λυσίμαχος
λέγει· ἄφες κύριέ μου
πεῖμε. εἰς πολλῶν σω-
τηρίαν καὶ μένει αὕτη. τά-
χα δὲ, καὶ ἐμοῦ αὐτοῦ. πολ-
λὰ γὰρ τοιαῦτα ἀκήκοα
παρὰ τῆς μητρός μου. ἐχ-
ει τῇ ἐμῇ ἐξουσίᾳ ὑπάρ-
χει τοῦ ἀπολυθῆναι αὐ-
τὴν καὶ σωθῆναι; ἀλλὰ
ἄφες αὐτὴν ἀγωνίσασθαι.
ὅτι εἰς πολλῶν σωτηρίαν
ἠγωνίσατο. ταῦτα δὲ
ἡ Ἱερία κατεβόα τοῦ
δικαστοῦ λέγουσα. ὦ ἀλ-
λότριε τῆς ἀνθρωπίνης φύσε-
ως. οὐκ ἤρκεσαν σοι τόσα
περιλαβοῦσι κακοῖς, οἷς ἐ-

πήγαγες τῇ ἀθλίᾳ κόρῃ
ταύτῃ; οὐκ ἐμνημόνευ-
σας τῆς μητρός σου. ὅτι καὶ
αὐτὴ τοῦ τοιούτου σῶμα καὶ
σχῆμα περιέκειτο; οὐ-
κ ἐμνημόνευσας ὅτι τεχθεὶς
εἶναι κοινὸς πρὸς τὸν ἐκ τῶν
γάλακτος τροφῶν τοῦ τῶν
ἐρ' ὀφῆς μαζῶν· καὶ το-
τε ἐπὶ τὸ τέλειον κατὰ θεο-
τῶν κακῶν σου πράξεων;
ἐγὼ θαυμάζω πῶς οὐδὲν
τούτων κατέπληξεν αὐ-
τὴν ἀνηλεῆ καὶ ἀπάνθρωπον
γνώμην. μὴ φείσεται
σου ὁ οὐράνιος βασιλεύς, ὡς
οὐκ ἐφείσω τῆς ταπει-
νῆς ταύτης. ταῦτα
εἰπούσης τῆς Ἱερίας,
μεγάλως ἀγανακτήσας
ὁ δικαστὴς, ἐκέλευσεν
αὐτὴν κατενεχθῆναι ἐν-
δίκας δοῦσα δημοσίᾳ.
γνοῦσα δὲ ἡ Ἱερία, με-
τὰ πολλῶν πόνων. διὸς καὶ
χαρᾶς καταθελγομένη
ὑπὸ τῆς Φεβρωνίας, δέξαι
καμὲ τὴν ὑπηρετίδα καὶ τα-
πεινὴν μετὰ τῆς κυρίας
Φεβρωνίας. ταύτης
δὲ καταρχομένης, οἱ φί-
λοι τοῦ Σεληνοῦ συνε-
βουλεύσαντο αὐτῷ λέγον-
τες. μὴ καταλέγης τὴν
Ἱερίαν δημοσίᾳ, ἐπεὶ ὄχλος

ὅλα τὰ πλήθη σὺν αὐτῇ μαρ-
τύρουσι, καὶ ἀποπλῦται πᾶ-
σα ἡ πόλις. ταύτην τὴν
συμβουλίαν δεξάμενος
ὁ σέληνος, οὐκέτι κατή-
γαγε τὴν ἱερίαν εἰς τὴν
περόοδον. θυμομαχῶν δὲ
καὶ μαινόμενος κατ' αὐτῆς,
ἔκραζε φωνῇ μεγάλῃ λέγων·
ἄκουε ἱέρεια· ζήτωσαν
οἱ θεοί. ὅτι πολλὰ κακὰ
προεξένησας τῇ Φεβρο-
νίᾳ. καὶ εὐθέως κελεύει
τὰς δύο χεῖρας ἀποτμη-
θῆναι τῆς Φεβρωνίας. καὶ
τὸν δεξιὸν πόδα. καὶ ὑπο-
θέντες οἱ ὑπασπισταὶ τὸ
ξύλον ὑπὸ τὴν χεῖρα αὐτῆς
τὴν δεξιάν. κρούσαντες
τῇ πελέκει ἀπέτεμον. ὁ-
μοίως δὲ καὶ τὴν ἀριστερὰν
οὕτως ποιήσαντες, ἀπέ-
τεμον. ὑποθέντες δὲ τὸ
ξύλον ὑπὸ τὸν δεξιὸν αὐ-
τῆς πόδα, λαβὼν ὁ ὑπα-
σπιστὴς τὴν πέλυκαν καὶ
μεγάλῃ δυνάμει καταρρή-
ξας κατὰ τοῦ ἀστραγάλου
τῆς Φεβρωνίας, οὐκ ἴσχυ-
σεν ἆραι τὸν πόδα αὐτῆς.
ὁμοίως καὶ δευτέραν ἐπε-
νέγκας πληγήν, οὐκ ἴσχυσε.
πολλὴ δὲ ἦν ἡ βοὴ ἡ ὑπὸ
τῶν ὄχλων γινομένη. τρί-
την δὲ πληγὴν ἐπενέγκας,

μόλις ἴσχυσε διᾶραι τὸν πό-
δα αὐτῆς. ἡ οὖν Φεβρω-
νία ὅλω τῷ σώματι σω-
τερμος γενομένη καὶ μέλ-
λουσα λοιπὸν ἐκλιμπά-
νειν, ἐβιάζετο καὶ τὸν
ἕτερον πόδα ἐπὶ τοῦ ξύ-
λου ἐπιθῆναι, ἀξιοῦσα
καὶ τοῦτον ἐκκοπῆναι·
θεασάμενος οὖν ὁ δημι-
στὴς λέγει· βλέπετε
τὸν τόνον τῆς ἀναισχύν-
του; καὶ μετὰ πολλοῦ θυ-
μοῦ λέγει τῷ ὑπασπιστῇ·
τέμε. ἐκκόψαι δὲ καὶ τὸν
ἕτερον πόδα. ἀναστὰς ὁ
Λυσίμαχος, λέγει τῷ Σε-
λήνῳ· τί λοιπὸν ἔχεις
ποιῆσαι τῇ ταλαιπώρῳ ταύ-
τῃ. πορευθῶμεν. ὅτι και-
ρὸς ἀρίστου ἐστίν. ὁ δὲ ἀνό-
μωτατος σέληνος λέγει·
ζήτωσαν οἱ θεοὶ ὅτι οὐκ ἐ-
άσω αὐτὴν ζῶσαν. ἀλλ' ὧ-
δε ἔσομαι ἕως οὗ παραδῷ
τὸ πνεῦμα. ἐπὶ πολλὰς δὲ
τὰς ὥρας ψυχορραγούσης
αὐτῆς, λέγει ὁ σέληνος
τοῖς ὑπασπισταῖς· ἔτι ζῇ
ἡ τρισκατάρατος αὐτή;
οἱ δέ, ναὶ δεόμεθά σου
ἀκμὴν ἡ ψυχὴ αὐτῆς ἐν
αὐτῇ ἐστίν. τότε κελεύει
ὁ σέληνος ἀποτμηθῆναι
τὴν κεφαλὴν αὐτῆς. καὶ

λαβὼν ὁ στρατιώτης τὸ
ξίφος, κρατήσας τὴν
κόμην τῆς κεφαλῆς αὐτῆς
καὶ ἀνακρούσας, ὑποθεὶς
τὸ ξίφος ὡς ἄν τις θυσι-
άζει πρόβατον. οὕτω
σφαγιάσας αὐτήν. τὴν
ἁγίαν αὐτῆς ἀπέτεμε
κεφαλήν. καὶ εὐθέως οἱ
δικασταὶ ἐπορεύοντο ἐπὶ
τὸ ἄριστον. ὁ δὲ λυσίμα-
χος δακρύων ἐπορεύετο·
τὰ δὲ πλήθη συνδρα-
μόντα ἤθελον ἁρπάσαι
τὸ σῶμα τῆς Φεβρωνί-
ας. ὁ δὲ λυσίμαχος ἐκέ-
λευσε στρατιώτας παρα-
μένειν καὶ φυλάττειν
τὸ σῶμα. ἐν πολλῇ οὖν
συνοχῇ καὶ λύπῃ δακρύ-
ων ὑπάρχων ὁ λυσίμαχος
οὐκ ἔφαγεν οὐδὲ ἔπιεν·
ἀλλ᾽ ἑαυτὸν ἀπέκλεισεν
ἐν τῷ κοιτῶνι. καὶ τὴν
ἀναίρεσιν τῆς Φεβρωνί-
ας ἐθρήνει. σέληνος δὲ
ὁ τούτου θεῖος μαθὼν
ἀδημονοῦντα τὸν λυσί-
μαχον, οὐκ ἔφαγεν οὐδὲ
αὐτός. ἐγερθεὶς δὲ ἀνε-
πάτει ἐν τῇ αὐλῇ τοῦ πραι-
τωρίου. ἐν πολλῇ δὲ ὢν
αὐτὸς λύπῃ καὶ ἀδημο-
νίᾳ ὑπάρχων. ἐξαίφνης
ἀναπατοῦντος αὐτοῦ, ἀ-

τενίσας εἰς τὸν οὐρανὸν
ἐπὶ πολλὰς τὰς ὥρας
ἐν μέσῳ γενόμενος
μέγα τε μυκησάμενος
καὶ ὥσπερ ταῦρος ἀπο-
σκιρτήσας. προσέρρη-
ξε τὴν κεφαλὴν αὐτοῦ
εἰς ξύλα τῶν κιόνων. καὶ
πεσὼν διεφώνησεν. θο-
ρύβου δὲ καὶ βοῆς γενο-
μένης, δραμὼν ὁ λυσίμα-
χος καὶ ἐπιστὰς τῷ πτώ-
ματι, ἠρώτα τὸ γεγονώς.
οἱ δὲ, ἀπήγγειλαν αὐτῷ τὸ
γενόμενον. ὁ δὲ λυσίμα-
χος ἐπὶ πολλὰς τὰς ὥρας
κινήσας τὴν κεφαλὴν, τὸ
αὐτοῦ εἶπεν. μέγας ὁ θεὸς
τῶν χριστιανῶν. εὐλογη-
τὸς ὁ θεὸς τῆς Φεβρωνίας.
ἐξεδίκησεν ὁ θεὸς τὸ αἷμα
τὸ μάρτυρ ἐκχυθέν. καὶ ταῦ-
τα εἰπὼν, ἐκέλευσεν ἐκ-
κομισθῆναι τὸν σέληνον.
καὶ ἐκκομισθέντος αὐτοῦ.
περισκελλάμενος ὁ λυ-
σίμαχος τὸν κάμεν τὰ πει-
μον, εἶπεν αὐτῷ. ὁρκίζω
σε τὸν θεὸν τῶν χριστια-
νῶν. μὴ παρέλθῃς τὴν
ἐντολήν μου. ἀλλὰ τα-
χίον ἐπὶ τὸ ξένον γενέσθαι
τῇ Φεβρωνίᾳ γλωσσό-
κομον ἐκ ξύλων ἀσήπτων.
καὶ ἀπόστειλον πάντα τὰ οὖ

κήρυκας· ὅπως οἱ βουλό-
μενοι χριστιανοὶ παραγί-
νεσθαι ἐπὶ τὴν κηδείαν τῆς
Φεβρωνίας, ἀφόβως
παραγίνονται· μάλιστα
καὶ τοῦ ἐμοῦ θείου ἐπιτρέ-
ψαντος· οἱ δ' ἀσκηύειεμ-
πείμε τὸν ἐμὸν πόθον·
λάβε τῶν στρατιωτῶν· καὶ
ὅσα ἐὰν βουλῇ, τούτους
ποίησον βαστάσαι τὸ σῶ-
μα τῆς Φεβρωνίας· καὶ
οὕτως ἀποκομίζεσθαι ἐν
τῷ μοναστηρίῳ αὐτῆς πρὸς
τὴν Βρυαίνην· μηδεὶς τῶν
τοῦ ὄχλου ἀφαρπάσῃ τι
τῶν μελῶν αὐτῆς· ἢ τι
τῶν ἀποκοπέντων ἐκ
τοῦ σώματος αὐτῆς· μη-
δὲ ἐκλείξῃ κύων ἢ τι τῶν
ἀκαθάρτων τοῦ ἐκχυθέν-
τος αἵματος αὐτῆς· ἀλλὰ
καὶ τὴν γῆν κατορύξας
ἔνθα τὸ αἷμα τῆς Φεβρω-
νίας ἐξεχύθη· καὶ αὐτὸ ἀ-
ποκόμισον ἐν τῷ μοναστη-
ρίῳ· ταῦτα ἀκούσας Πρῖ-
μος ὁ κόμης, ἐποίησε
πάντα καθὼς προσέταξεν
ὁ Λυσίμαχος· καὶ τὸ μὲν
σῶμα τῆς Φεβρωνίας,
στρατιώτας ἐκέλευσε βα-
στάζειν· αὐτὸς δὲ ὁ Πρῖ-
μος· λαβὼν τὴν κεφαλὴν
τῆς Φεβρωνίας· τοὺς δὲ

πόδας καὶ τὰς χεῖρας
καὶ ἅπαντα τὰ ἀφαιρεθέν-
τα μέλη ἐξ αὐτῆς· καὶ ταῦ-
τα ἐν τῇ χλανίδι ἐμβα-
λὼν τῇ ἑαυτοῦ, οὕτως
ἐπορεύετο εἰς τὸ μονα-
στήριον· συνδραμόντα
δὲ τὰ πλήθη, ἀρπάζειν
ἐπεχείρουν τι τῶν ἀπο-
κοπέντων μελῶν τῆς
Φεβρωνίας· ὥστε ἐκ
τούτου μέγα κίνδυνον
ὑπομεῖναι τὸν κόμητα
Πρῖμον ἐκ τῆς βίας τῶν
ὄχλων· οἱ δὲ στρατιῶται
ξιφήρεις ἐπερχόμενοι
τοῖς ὄχλοις, μόλις ἴσχυ-
ον ἀποσοβεῖν τὰ πλήθη·
φθάσαντας οὖν τὸ μονα-
στήριον, μετὰ πολλῆς βίας
ἴσχυσαν εἰσκομίσαι τὸ
λείψανον τῆς ἁγίας
Φεβρωνίας εἰς τὸ μονα-
στήριον· καὶ συγχωρήσαν-
τα τινὰ εἰσελθεῖν πλὴν
τῆς Θωμαΐδος καὶ Ἱερί-
ας· τὰ δὲ πλήθη διεκώ-
λυον οἱ στρατιῶται· ἡ
δὲ Βρυένη θεασαμένη
τὸ σῶμα τῆς Φεβρωνί(ας)
οὕτω κατακοπέν, ἔπε-
σεν εἰς τὸ ἔδαφος ὀλί-
γου ψυχήσασα· ὁ δὲ
Πρῖμος φύλακας παρα-
καταστήσας τῷ μοναστη-

είσω, ἐπορεύθη ἐν τῷ
πραιτωρίῳ πρὸς λυσί-
μαχον. ἡ δὲ βρυένη με-
τὰ πολλὰς τὰς ὥρας ἀνα-
στᾶσα ἐκ τοῦ ἐδάφους,
περιπτυξαμένη τὸ σῶ-
μα τῆς φεβρωνίας, ἐ-
βόα λέγουσα· οὐαί τέ-
κνον μου φεβρωνία, ὅτι
σήμερον αἴρῃ ἐξ ὀφθαλ-
μῶν τῆς μρς σου βρυέ-
νης· τίς ταῖς ἀδελφαῖς
ταῖς θεοπνεύστους γρα-
φὰς ἀναγνώσεται· ποῖ-
αι δὲ χεῖρες τὰς κινήσουσι
σι βίβλους. ταῦτα τῆς
βρυένης βοώσης, ἔφθα-
σαν πᾶσαι αἱ ἀδελφαὶ αἱ
τὸ μοναστήριον οἰκοῦσαι
ἅμα τῇ αἰθερίᾳ· καὶ ἐπι-
πεσοῦσαι τῷ σώματι περι-
σεκώνησαν. ὁμοίως δὲ
καὶ ἡ ἱερία ἐβόα λέγουσα·
προσκυνήσω τοὺς ἁγί-
ους πόδας τοὺς κατα-
πατήσαντας τὴν τοῦ ὄ-
φεως κεφαλήν· καταφι-
λήσω τὸ στόμα τὸ τῶν
ἁγίων σωμάτων διδόν
ἰατρόν μου ἡ ψυχή· σὲ τὴν
ἄνθεσιν ἀγώνων τὴν
κορυφὴν τὴν στέψασαν
τὸ γένος ἡμῶν τῶν ταλαι-
πώρων γυναικῶν. ταῦτα τῆς
ἱερίας βοώσης· ὁμοίως

δὲ καὶ πασῶν τῶν ἀδελ-
φῶν, ἔφθασεν ὁ τῆς
ἐννάτης καιρός· καὶ βο-
ήσασα μεγάλη ἡ βρυένη
λέγει· φεβρωνία ἰδοὺ
καιρὸς τῆς προσευχῆς·
δεῦρο στῆθι τέκνον μου
εἰς τὴν προσευχήν. καὶ
ἤρξατο τῇ σύρῳ διαλέ-
κτῳ προστεταγμένα τῇ
φεβρωνίᾳ καὶ λέγειν·
βεά· βεά· εἰθαλί· ταλ-
ωθώ· κουμη· ταλιθά·
κουμηθά. ὅ ἐστι τέκνον
μου φεβρωνία ποῦ εἶ. λέ-
γει δὲ καὶ ἡ θωμαΐς· τέ-
κνον μου φεβρωνία· οὐ-
δέποτε ἐν τῇ λήψει παρῆλ-
θες τῆς κυρίας τῆς με-
γάλης. καὶ διατί νῦν
οὐχ ὑπακούεις· ταῦτα
λεγόντων αὐτῶν· καὶ
πολλῆς συγχύσεως οὔσης
καὶ βοῆς. ἤδη δὲ καὶ τῆς
ἑσπέρας καταλαβούσης,
λούσαντες τὸ ἅγιον σῶ-
μα, ἔθηκαν ἐν τῷ σκαμνί-
ου. ἀρωματίσαντες ἕκα-
στον μέλος πρὸς τὸ σῶμα·
καὶ ἐκέλευσεν ἡ βρυέ-
νη ἀνοίγεσθαι τοὺς ὄ-
χλους. εἰσελθόντα δὲ
τὰ πλήθη, ἐδόξαζον τὸν
θεόν. ἐθρήνουν δὲ καὶ
αἱ κοσμικαὶ καὶ γυναῖκες

τὴν στέρησιν τῆς διδα-
σκάλου αὐτῶν Φεβρω-
νίας. ἔφθασαν δὲ τι-
νὲς καὶ τῶν ἁγίων πατέρων.
καὶ πλήθη πολλὰ μονα-
χῶν. καὶ ἄϋπνοι διετέ-
λουν πᾶσαν τὴν νύκτα.
ὁ δὲ Λυσίμαχος προσκα-
λεσάμενος Πρίμον τὸν
κόμητα λέγει αὐτῷ·
ἐγὼ κύρι ἐμοῦ Πρίμε· πᾶ-
σι τοῖς πατρῴοις ἔθε-
σι καὶ πάσῃ τῇ πατρῴᾳ οὐ-
σίᾳ ἀποταξάμενος, προ-
σέρχομαι τῷ Χριστῷ. Πρί-
μος λέγει· καὶ ἐγὼ κύρι-
ε ἐμοῦ· καὶ ἀνάθεμα Διο-
κλητιανῷ καὶ τῇ βασι-
λείᾳ αὐτοῦ· ἀποτάσσο-
μαι πᾶσι τοῖς πατρῴοις
καὶ προσέρχομαι τῷ Χριστῷ.
καὶ καταλιπόντες τὸ πραι-
τώριον, παραγίνονται εἰς
τὸ μοναστήριον καὶ αὐτοὶ
μετὰ παντὸς τοῦ πλήθους.
πρωΐας δὲ γενομένης,
παραγίνονται οἱ τὸ γλω-
σσόκομον κομίζοντες
καὶ μετὰ πολλῆς εὐχῆς καὶ
δακρύων, συνεκόμιζον
τὸ λείψανον τῆς ἁγίας
Φεβρωνίας. καὶ τοῦτο ἀπο-
θέμενοι ἐν τῷ γλωσσο-
κόμῳ, ἕκαστον τῶν ἀποκο-
πέντων μελῶν τῆς ἁγίας

παρετίθουν εἰς τὸν ἴδιον
τόπον· τήν τε κεφαλὴν
καὶ τοὺς πόδας καὶ τὰς
χεῖρας καὶ τὰ λοιπὰ μέ-
λη. τοὺς δὲ ὀδόντας τῆς
ἁγίας ἔθηκαν ἐπὶ τοῦ στή-
θους αὐτῆς. οἱ δὲ ὄχλοι
τοῦ μύρου καὶ τοῦ μόσχου
καὶ τοῦ θυμιάματος ἐπλή-
ρωσαν τὸ γλωσσόκομον·
ὥστε μὴ φαίνεσθαι τὸ σῶμα
τῆς ἁγίας. πολλῆς δὲ στά-
σεως γενομένης· καὶ τῶν
ὄχλων βοώντων καὶ μὴ
συγχωρούντων ἀσφαλι-
σθῆναι τὸ γλωσσόκομον.
καί τοι τοῦ ἐπισκόπου
πολλὰ παρακαλοῦντος
καὶ τοῦ κλήρου τῆς πόλε-
ως καὶ τῶν μοναχῶν κα-
τατεθῆναι τὸ λείψανον,
οὐκ ἐπείθοντο οἱ ὄχλοι·
τότε ἀπελθοῦσα ἡ Βρυέ-
νη ἐπί τινος ὑψηλοῦ
τόπου, παρεκάλει τὰ
πλήθη λέγουσα· δέομαι
ὑμῶν κύριοί μου ἀδελ-
φοί. ἄφετε αὐτὴν πορευ-
θῆναι εἰς τὸν ἴδιον τό-
πον. καὶ οὕτως ἅπαν τὸ
πλῆθος ἐπείσθη τῇ Βρυ-
ένῃ· καὶ μετὰ πολλῶν εὐ-
χῶν καὶ δακρύων συνε-
κόμισαν τὸ ἅγιον λεί-
ψανον. καὶ ἀπέθεντο αὐτὸ

ἐν τῷ μοναστηρίῳ ἐν τῷ τό-
πῳ ἐπισήμῳ. καὶ πάντες
ἐδόξαζον τὸν θεόν. πολλὰ
οὖν πλήθη τῶν ἑλλήνων ἐβα-
πτίσθησαν καὶ ἐπίστευσαν
τῷ κυρίῳ. ἐβαπτίσθη δὲ
ὁ λυσίμαχος καὶ ὁ πρίμος.
καὶ ἀποταξάμενοι ἐπο-
ρεύθησαν μετὰ τοῦ κυρίου
μαρκέλλου τοῦ ἀρχιμαν-
δρίτου. καὶ τὴν ἀσκητι-
κὴν πολιτείαν μέχρι τέ-
λους καλῶς καλῶς δια-
τελέσαντες, τὸν αἰώνιον
ἐν Χριστῷ κατέλυσαν βίον.
πολλοὶ δὲ καὶ τῶν στρατι-
ωτῶν βαπτισθέντες
ἐπίστευσαν τῷ κυρίῳ. ἱερεία
δὲ καὶ οἱ γονεῖς αὐτῆς
βαπτισθέντες καὶ αὐτοὶ
ἐπίστευσαν τῷ κυρίῳ. καὶ κα-
ταλιποῦσα ἱερεία τοὺς
γονεῖς καὶ ἀποταξαμέ-
νη, εἰσῆλθεν ἐν τῷ μονα-
στηρίῳ. καὶ πάντα τὰ ἑαυ-
τῆς προσεκύρωσε τῷ
μοναστηρίῳ. καὶ ἐδεήθη
τῆς Βρυένης λέγουσα. δέ-
ομαί σου μῆτερ μου. ἐμὲ δέξαι
τὴν δούλην σου εἰς τὸν τό-
πον τῆς Φεβρωνίας. ὅπως
δουλεύσω σοι ὡς καὶ αὐτή.
ἀντὶ πάντων οὖν τὸν κόσμον αὐ-
τῆς λύσασα ἡ ἱερεία, ἐ-
λάσμασι χρυσοῖς καὶ μαρ-

γαρίταις, πανταχόθεν τὸ
γλωσσόκομον ἠσφαλίσα-
το τῆς ἁγίας Φεβρωνί-
ας. κατὰ δὲ τὴν ἡμέραν
τῆς ἀθλήσεως αὐτῆς. τῆς
μνήμης αὐτῆς ἐπιτελου-
μένης, συνέρχονται τὰ
μοναστήρια τῶν γυναι-
κῶν. καὶ πλήθη πολλὰ
μάλιστα διὰ τὸ γινόμενον
σημεῖον. ἐν γὰρ τῷ και-
ρῷ τοῦ μεσονυκτίου ὅ-
ταν τὰς προσευχὰς ἐπι-
τελοῦσιν, ἐπιφαίνεται
ἡ ἁγία Φεβρωνία ἱσταμένη
εἰς τὸν ἴδιον τόπον ἕως
τελείας τῆς εὐχῆς, ὥς μέγαν
φόβον γίνεσθαι ἐν τῇ ὥ-
ρᾳ ἐκείνῃ. οὐδεὶς μέντοι
τολμᾷ ἅψασθαι αὐτῆς
ἢ ἐπερωτῆσαί τι. ἐν γὰρ
τῷ πρώτῳ ἐνιαυτῷ ἐπι-
φανείσης αὐτῆς. πᾶ-
σαι μὲν αἱ ἀδελφαὶ ἐφοβή-
θησαν. ἡ δὲ Βρυένη ἀνε-
βόησε λέγουσα. ἰδοὺ τὸ
τέκνον μου Φεβρονία.
καὶ προσδραμοῦσα περι-
πτύξασθαι αὐτήν. ἄφν-
ως ἀφανὴς ἐγένετο. οὐ-
κέτι οὖν τίς τολμᾷ ἢ προσ-
ελθεῖν αὐτῇ, ἢ ἅψασθαι
αὐτῆς. ἀλλ᾿ ἢ μόνον ὅταν
φανῇ. δακρύων γίνεται
πλημμύρα. ἅμα δὲ καί

χαρὰ μεγάλη ἐπὶ πάντας
διὰ τὴν γενομένην ὀπτα-
σίαν. ὁ οὖν ἐπίσκοπος
τῆς πόλεως μαθὼν τὴν φε-
βρονίαν ἀναστήσασαν περι-
καλλῆ. ἐν ὅλοις ἓξ ἔτεσι συν-
τέλεσε τὸ ἔργον. καὶ πλη-
ρωθέντος τοῦ ἔργου, συγκα-
λεσάμενος τοὺς πέριξ
ἐπισκόπους καὶ δοχὴν
μεγάλην ποιησάμενος, ἐπι-
τελεῖ τὴν παννυχίδα. μη-
νὶ ἰουνίῳ εἰκάδι πέμπτῃ.
καὶ συνῆλθον πλήθη πολ-
λά. ὥστε μὴ χωρεῖν τὸν
ναὸν μήτε τὸ μοναστή-
ριον. κατὰ πάντα γὰρ τόπον
ἡ ψαλμῳδία ἐπετελεῖτο.
περὶ ὥραν δὲ γενομένης
πληρωσάντων τὰς ἑωθι-
νὰς εὐχὰς περαίνονται
οἱ ἐπίσκοποι ἐν τῷ μονα-
στηρίῳ, ἵνα τὴν μετάθε-
σιν τῆς ἁγίας φεβρονί-
ας ποιήσονται. ἠκολού-
θησε δὲ καὶ τὰ πλήθη μετὰ
λαμπάδων καὶ θυμια-
μάτων. εἰσελθόντες δὲ
οἱ ἐπίσκοποι ἐν τῷ μονα-
στηρίῳ καὶ εὐξάμενοι ἐ-
καθέσθησαν. καὶ προσκα-
λεσάμενοι τὴν βρυέννην,
ἤρξαντο λέγειν αὐτῇ. τῆς
μὲν ἐπὶ γῆς πολιτείας
σου καὶ τῶν ἀρετῶν σου

πόνων τὸν ἔπαινον ἐκομί-
σω. καὶ οὐδεὶς ἀξίως σε ἐ-
παινέσαι δυνήσεται. τοιαύ-
τας γὰρ τὰς πρωτευούσας
τῶν μοναστηρίων χρὴ ὑπάρ-
χειν. καὶ τοιούτους καρποὺς
προσφέρειν θεῷ. ἐπειδὴ
οὖν τῆς ἀθληφόρου ἐγκώ-
μια δὲ εἰπεῖν ἀδύνατον,
ταῦτα σιωπᾶν δεῖ. οὐδὲ
γὰρ οἷά τε πλαθοῦσα ἱκανὴν
ὑπάρχει ἀξίως ἐπαινέ-
σαι τὴν μάρτυρα. ἐπειδὴ
οὖν ἄξιόν ἐστι τῆς ἀθλοφό-
ρου, οὔτε λόγοις οὔτε
ἔργοις ἀπηντήκαμεν,
ὡς πρὸς ἀδελφὴν παρόν-
τες περὶ τοῦ προκειμένου
παρακαλοῦμεν. τοίνυν
τίμησον καὶ αὐτὴ σὺ ἡ-
μῖν τὴν μάρτυρα. καὶ χα-
ρίσαι ἡμῖν αὐτὴν ἵνα οἰ-
κήσῃ ἐν τῷ ναῷ τῷ οἰ-
κοδομηθέντι ἐπὶ τῷ
ὀνόματι αὐτῆς. ἀκού-
σασαι δὲ αἱ ἀδελφαὶ
πᾶσαι, ἀνεβόησαν ὡς
ὑπὸ ἑνὸς στόματος. καὶ
πεσοῦσαι ὑφ᾽ ἓν ὑπὸ τοὺς
πόδας τῶν ἐπισκόπων,
εἶπον. δεόμεθα τῶν ἁ-
γίων ἰχνῶν ὑμῶν. ἐλε-
ήσατε ἡμᾶς τὰς ταπει-
νάς. καὶ μὴ στερήσητε ἡ-
μᾶς τοῦ μαρτυρίου ἡμῶν.

ἐπεὶ πολλὰς δὲ τὰς ὥ-
ρας παρέστη ὀδυρομένη
καὶ ἱκετεύουσα αὐτῶν, λέγει
ὁ ἐπίσκοπος τῇ Βρυένῃ·
ἄκουε ἀδελφή· σὺ γι-
νώσκεις τὸ σημεῖον ποῦ
δὲ ὑπάρχειν· εἰς δόξαν
καὶ τιμὴν τῆς ἀθλοφό-
ρου ἀνάστησαι τὸν να-
όν· καὶ ἰδοὺ σήμερον δέ-
ἐπεὶ σοί· μὴ οὖν ἄπορ-
ον καὶ ἀνόνητον τὸν
κόπον μου γενέσθαι θε-
λήσῃς· ταῦτα ἀκούσα-
σα ἡ Βρυένη λέγει· δέ-
ομαι ὑμῶν· εἰ ἀρεστὸν
τοῦτο ἐν ὀφθαλμοῖς ὑ-
μῶν· καὶ εἰ ἀρεστὸν τῇ μάρ-
τυρι, τίς εἰμι ἐγώ· ἵνα
τοῦτο διακωλύσω· τοί-
νυν εἰσελθόντες λάβε-
τε αὐτὴν καὶ πορεύεσθε·
ἀναστάντες δὲ οἱ ἐπί-
σκοποι καὶ εἰσελθόν-
τες, εὐχὴν ἐπετέλουν·
ἡ δὲ Ἱερία ἐβόα λέγου-
σα· οὐαὶ ἡμῖν ὅτι με-
γάλης εὐλογίας ἀπο-
στερεῖται τὸ μοναστήρι-
ον σήμερον· οὐαὶ ἡμῖν
ὅτι σήμερον θλῖψις
καὶ ὀρφανία τῷ μονα-
στηρίῳ ἐπῆλθεν· οὐαὶ
ἡμῖν ὅτι ἡμεῖς προδί-
δομεν τὴν μάρτυρα τὴν

ἡμῶν· καὶ ἐβόα πρὸς τὴν
Βρυένην λέγουσα· τί ποι-
εῖς μῆτερ· τί ἀποστερεῖς
με τῆς ἀδελφῆς μου· ἣν
τὴν πάντα καταλιποῦ-
καὶ ὑπὸ τὰς χεῖρας ὑμῶν
κατέφυγον· ἡ δὲ Βρυέ-
νη θεασαμένη τὴν Ἱερί-
αν· οὕτως ὀδυρομένην,
στραφεῖσα πρὸς αὐτὴν
εἶπεν· τί ὀδύρασαι
τέκνον μου Ἱερία· εἰ
ἀρεστὸν ἐνώπιον αὐτῆς
πορευθῆναι, πορεύεται·
εἰ δὲ μὴ ἀρεστὸν αὐτῇ, οὐ
μὴ πορεύσηται· πληρω-
σάντων δὲ τὴν εὐχὴν οἱ
ἐπίσκοποι· καὶ πάντων
εἰπόντων τὸ ἀμήν, ἁ-
ψάμενοι τοῦ γλωσσοκό-
μου, γίνεται βροντὴ εἰς
τὸν ἀέρα· ὡς ἅπαν τὸ
πλῆθος καταπεσεῖν ἐκ
τοῦ φόβου· πάλιν μετ'
ὀλίγον ἐπιχειρησάντων,
σεισμὸς ἐγένετο μέγας·
ὥς δοκεῖν καταφέρε-
σθαι πᾶσαν τὴν πόλιν·
ἔγνωσαν δὲ οἱ ἐπίσκο-
ποι καὶ ἅπαν τὸ πλῆθος,
ὅτι οὐ πείθεται ἡ μάρ-
τυς ἐξελθεῖν τοῦ μονα-
στηρίου· καὶ περίλυποι
γενόμενοι, λέγουσι τῇ
Βρυένῃ· εἰ οὐ πείθεται

ἡμάρτηκας καταλιπεῖν τὸ
μοναστήριον, ἓν τῶν ἀ-
φαιρεθέντων μελῶν
λήψῃ καὶ δώσῃς ἡμῖν. καὶ
τοῦτο λαβόντες πο-
ρευσόμεθα. ἡ δὲ βρυέ-
νη λαβοῦσα τὴν κλεῖδα,
ἀνέῳξε τὸ γλωσσόκο-
μον. καὶ ἰδοὺ ὥσπερ ἀ-
κτῖνες ἡλίου, οὕτως ὡρᾶ-
το τὸ σῶμα. καὶ ὥσπερ
ἀστραπὴ πυρὸς, οὕτως
ἐπεπόλαζε τῷ σώμα-
τι. μετὰ πολλοῦ οὖν φό-
βου ἐκτείνασα τὰς χεῖ-
ρας αὐτῆς, καὶ ἁψαμένη
τῆς ἁγίας χειρὸς αὐτῆς
ταύτην τῷ ἐπισκόπῳ
παραδοῦναι βουλομένη,
ἐκρατήθη ἡ χεὶρ αὐτῆς
κάτω καὶ ἀπενεκρώθη.
ἡ δὲ βρυένη δακρύου-
σα εἶπε. δέομαί σου τέ-
κνον μου φεβρωνία,
μὴ ὀργισθῇς τῇ μείωσει.
μὴ ἀθετήσῃς τῶν μόχθων
μου. καὶ μὴ παραδειγμα-
τίσῃς τὸ γῆράς μου. ἀφε-
θείσης δὲ τῆς χειρὸς
αὐτῆς, πάλιν ἐκτείνα-
σα αὐτὴν, παρεκάλει
μετὰ δακρύων λέγουσα·
παράσχου ἡμῖν ἄλλο, ἵνα
μὴ λυπηθῶμεν ἀπιόντες, κυρία.
καὶ λαβοῦσα ἕνα τῶν ὀδόν-

των αὐτῆς τῶν ὄντων ἐπὶ
τοῦ στόματος αὐτῆς, ἐπέ-
δωκε τῷ ἐπισκόπῳ. τοῦ-
το δὲ θέως ἠσφαλίσατο τὸ
γλωσσόκομον. οἱ δὲ ἐπί-
σκοποι λαβόντες τὸ ἅγι-
ον λείψανον μετὰ ὕμνων καὶ μετ' εὐ-
χαριστίας, ἐπορεύοντο
χαίροντες. προῆγον
δὲ τὰ πλήθη ψάλλοντες,
μετὰ κηρῶν καὶ θυμια-
μάτων. φθάσαντες δὲ
τὸν ναὸν, ἀνελθόντες
οἱ ἐπίσκοποι ἐπὶ τοῦ ὑψη-
λοῦ τόπου, ἐσήμαινον
τῷ λαῷ τὸ μυστήριον.
ὅσοι οὖν ὑπῆρχον τυφλοὶ
ἢ δαιμονιζόμενοι, ἰάθη-
σαν. τοῦτο δὲ πᾶσι κατά-
δηλον γενόμενον, ἔτρε-
χον οἱ μὲν ἀνίσχοντες πάντα-
χοῦ καὶ ἔφερον ἐπ' ὤμων
τοὺς ἀσθενοῦντας. καὶ
ἄλλους ἐπὶ κραββάτων.
ἑτέρους δὲ ἐπὶ κτηνῶν
ἐπιβιβάζοντες ἔφερον
καὶ πάντες ἐθεραπεύον-
το. καὶ ὅπου ἄν τις
κατείχετο νοσήματι,
ὑγιὴς ἐγίνετο. καὶ μέχρις
οὗ ἐπαύσαντο φέρειν
τοὺς ἀσθενοῦντας, οὐ
συνεχώρησαν οἱ ὄχλοι
κατατεθῆναι τὸ λείψα-
νον τῆς ἁγίας φεβρωνίας.

+ μηνὶ Ἰουλίῳ ιθ'

πάντων δὲ τῶν κακῶς σχόντων ὑγιασθέντων καὶ τὸν θεὸν ἀνυμνούντων κατετέθη τὸ λείψανον τῆς ἁγίας μάρτυρος, μηνὶ Ἰουνίῳ εἰκάδι πέμπτῃ· καὶ πάντες μετ' ἀλλήλων ἀπολαύσαντες δωρεῶν, τοὺς ἰδίους οἴκους κατέλαβον χαίροντες καὶ δοξάζοντες τὸν θεὸν καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν σὺν τῷ ἁγίῳ πνεύματι· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. ἡ δὲ Βρυαίνη δέκα ἔτη ἐπιζήσασα μετὰ τὸν ἐγκαινισμὸν τοῦ ναοῦ τῆς ἁγίας Φεβρωνίας καὶ πάντα καλῶς διαταξαμένη ἐν εἰρήνῃ ἐκοιμήθη. ἐγὼ δὲ Θωμαῒς μετὰ τὴν κοίμησιν Βρυαίνης διεδεξάμην αὐτῆς τὴν διακονίαν. τὰ πάντα δὲ ἐξ ἀρχῆς ἐπισταμένη τὰ συμβεβηκότα τῇ Φεβρωνίᾳ· ἔπειτα δὲ καὶ τὰ λοιπὰ διδαχθεῖσα παρὰ τοῦ κυροῦ Λυσιμάχου, ἅπαντα τὸν βίον καὶ τὰ ὑπομνήματα αὐτῆς συνεγραψάμην, εἰς ἔπαινον καὶ δόξαν τῆς ἀθληφόρου μάρτυρος Φεβρωνίας· καὶ πρὸς μίμησιν τῶν ἀκουόντων τὰ αὐτῆς κατορθώματα· εἰς προσκύνησιν καὶ δόξαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:—

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Νύσσης· λόγος εἰς τὸν βίον τῆς ὁσίας μητρὸς ἡμῶν Μακρίνας· ἀδ πάτερ:—

Τὸ μὲν εἶδος τοῦ βιβλίου ὅσον ἐν τῷ τῆς ἐπιγραφῆς τύπῳ, ἐπιστολὴ εἶναι δοκεῖ· τὸ δὲ πλῆθος οὐχ ὑπὸ τὸν ἐπιστολιμαῖον ὅρον ἐστίν· εἰς συγγραφικὴν μακρηγορίαν παρατεινόμενον. ἀλλ' ἀπολογεῖται ὑπὲρ ἡμῶν ἡ ὑπόθεσις, ἧς ἐμὲ κελευ γράψαι διεκελεύσω, πλεῖον οὖσαν ἢ κατὰ τὸ ἐπιστολῆς συμμετρίαν. πάντως δὲ οὐκ ἀμνημονεῖς τῆς συντυχίας, ὅτε κατὰ τὴν εὐχὴν ἐν Ἱεροσολύμοις φθάσαι μέλλων, ἐφ' ᾧ τε τὰ σημεῖα τῆς τοῦ κυρίου διὰ σαρκὸς ἐπιδημίας ἐν τοῖς τόποις

ἴδοιμι, ὅπως ἔδραμον ὅσοι κα
τὰ τὴν Ἀντιόχου πόλιν
καὶ πολλῶν τοιῶνδε ἀνακινου
μένων ἡμῖν λόγων. οὐ
δὲ γὰρ εἰκὸς ἦν σιωπηλὴν
τὴν συντυχίαν εἶναι.
πολλὰς τῷ λόγῳ τὰς
ἀφορμὰς τῆς συνε
σεως ὑποβαλλούσης,
οἷα δὴ φιλεῖ πολλάκις
ἐν τούτοις γίνεσθαι· εἰς
μνήμην τινὸς εὐδοκί
μου περιῆλθεν ῥέων ὁ λό
γος. γυνὴ δὲ ἦν ἡ τοῦ δι
ηγήματος ἀφορμή. εἴ
περ γυνή· οὐκ οἶδα γὰρ
εἰ πρέπον ἐστὶν ἐκ τῆς
φύσεως αὐτὴν ὀνομάζειν,
τὴν ἄνω γενομένην τῆς
φύσεως. τὸ δὲ διήγη
Μα ἡμῖν οὐκ ἐξ ἀκοῆς ἑτέ
ρων διηγημάτων τὸ πι
στὸν εἶχεν. ἀλλ' ὧν ἠπί
ραδίαις ἄλλος ἦν, ταῦ
τα δι' ἀκριβείας ἐπεξή
ει ὁ λόγος. εἰς οὐδὲν ἀ
κοὴν ἀλλοτρίαν ἐπι
μαρτυρούμενος. οὐ
δὲ γὰρ ξένη τοῦ γένους
ἡμῶν ἡ περιμνημονευθεῖ
σα παρθένος, ὡς ἀνα
γκαῖον εἶναι δι' ἑτέρων γνω
σκειν τὰ κατ' ἐκείνην
θαύματα. ἀλλ' ἐκ τῶν
αὐτῶν ἡμῖν γονέων.

ὥσπερ τις ἀπαρχὴ καρ
πῶν πρώτη τῆς μητρῴας
νηδύος ἀναβλαστήσασα.
Ἐπεὶ οὖν ἐδόκει μάλιστα φέ
ρειν τι κέρδος τὴν τῶν
ἀγαθῶν ἱστορίαν, ὡς ἂν
μὴ λάθοι τὸν μετὰ ταῦ
τα χρόνον τοιοῦτος βίος·
μηδὲ ἀνωφελὴς παρα
δράμῃ διὰ σιωπῆς
συμπαρακαλυφθεῖσα
πρὸς τὸν ἀκρότατον
τῆς ἀνθρωπίνης ἀρε
τῆς ὅρον ἑαυτὴν διὰ
φιλοσοφίας ἀπάρα
σα, καλῶς ἔχειν ᾠήθην
σοί τε πεισθῆναι. καὶ δι'
ὀλίγων ὥσπερ οἷός τε ὦ,
τὰ κατ' αὐτὴν ἱστορῆσαι,
ἐν ἀκατασκευάστῳ τε καὶ
ἁπλοῦ διηγήματι. Μα
κρίνα ἦν ὄνομα τῇ παρθέ
νῳ. εὐδόκιμος δέ τις
πάλαι κατὰ τὸ γένος ἦν
ἡ Μακρίνα. μήτηρ τοῦ πατρὸς
ἡμῶν γεγενημένη. ταῖς
ὑπὲρ Χριστοῦ ὁμολογίαις, τῷ
καιρῷ τῶν διωγμῶν ἀθλή
σασα. ἧς ἐπωνομάσθη
παρὰ τῶν γονέων ἡ παῖς.
ἀλλὰ τοῦτο μὲν ἦν ἀνφα
νερῶς τὸ ὄνομα τὸ παρὰ
τῶν γινωσκόντων ὀνο
μαζόμενον. ἕτερον δὲ
κατὰ τὸ λεληθὸς αὐτῇ

ἐπεκέκλητο ὃ προελθὸν
διὰ τῶν ὠδίνων εἰς φῶς.
ἐκ τίμιος ἐπιφανείας ἐ-
πωνομάσθη. ἦν γὰρ δὴ
τοι αὐτὴ κατ' ἀρετὴν καὶ
ἡ μήτηρ· ὡς παρ' αὐτοῦ τῶν
θείων βουλημάτων χειρα-
γωγεῖσθαι. διαφερόντως
δὲ τὴν καθαρότητα καὶ ἀκη-
λίδωτον τοῦ βίου δια-
γωγὴν ἀγωνισαμένη. ὥσ-
περ δὲ τὸν γάμον ἐκποδὼν
ὡς ἑλέσθαι. ἀλλ' ἐπεὶ ὀρ-
φανὴ μὲν ἐξ ἀμφοτέρων
ἦν, ὑπερήνθει δὲ τῇ
ὥρᾳ τοῦ σώματος, καὶ
πολλοὺς ἡ φήμη τῆς εὐ-
μορφίας πρὸς τὴν μνη-
στείαν συνήγειρε, κἂν
δίκαιος δὲ ἦν εἰ καὶ κατὰ
τὸ ἑκούσιον τινὶ συναρ-
μοσθείη, παθεῖν τι τῶν ἀ-
βουλήτων ἐξ ἐπηρείας
πρὸς ἁρπαγὰς παρε-
σκευασμένων τῶν ἐπι-
μεμηνότων τῷ κάλλει·
διὰ τοῦτο ἑλομένη τὸν
ἐπὶ σεμνότητι βίον
γνωριζομένου τε καὶ μαρ-
τυρουμένου ὁμῶς τε φυ-
λακὴν ποιήσασθαι τῆς ἰδί-
ας ζωῆς. εὐθὺς ἐνταῦθα
πρωτοτόκοις ὠδῖσι ταύτης
γίνεται μήτηρ. καὶ ἐπειδὴ
παρῆν ὁ καιρὸς καθ' ὃν ἐ-
λυθῆναι τῶν ὠδίνων τῶν
τόκων, εἰς ὕπνον τραπεῖ-
σα, ἐδόκει φέρειν διὰ
χειρὸς τὸ ἔτι ὑπὸ τῶν
σπλάγχνων περιεχόμενον.
Καὶ τὸ γὰρ εἴδει καὶ σχήματι
μεγαλοπρεπεστέρῳ ἦν κα-
τὰ λόγον ἐπιφανέντα, προ-
σειπεῖν τὴν βασταζομένην
ἐκ τοῦ ὀνόματος Θέκλης·
ἐκείνης Θέκλης, ἧς πολ-
λοὶ ἐν ταῖς παρθένοις ὁ λό-
γος. ποιήσασθαι δὲ τοῦτο
καὶ μαρτυρούμενον εἰσ-
τρεῖς, μεταλαμβάνειν τῶν
ὄψεων. καὶ δοκοῦσαι τὴν ὠ-
δῖνα τὴν εὐκολίαν, ὥσ-
ὁμοῦ τε τοῦ ὕπνου αὐτὴν
διακλασθῆναι, καὶ τὸ βρέφος
προϊὸν ὑπὲρ ἰδεῖν. τὸ μὲν
οὖν ὄνομα τὸ κεκρυμμέ-
νον, ἐκεῖνο ἦν. δοκεῖ δέ μοι
οὐ τοσοῦτον πρὸς τὴν ὀνο-
ματικὴν κλῆσιν ὁ δηλῶν
τὴν γενομένην ὄψιν ἐπι-
φανῆς τοῦτο προσφθέγ-
γεσθαι. ἀλλὰ τὸν βίον
προειπεῖν τῆς νέας
καὶ τὴν τῆς προαιρέσε-
ως ὁμοιότητα, διὰ τῆς
ὁμωνυμίας ἐπιδείξα-
σθαι. τρέφεται τοίνυν τὸ
παιδίον. οὐσίας μὲν αὐτῇ
καὶ τιθηνήσει ἰδίας· τὰ
δὲ πολλά, τῆς μητρὸς ἐνταῖς

χερσὶ ταῖς ἰδίαις τιθηνου-
μένης· ὑπερβὰς δὲ τὴν
τῶν νηπίων ἡλικίαν,
εὐφυὴς ἦν τῶν παιδικῶν
μαθημάτων· καὶ πρὸς ὅπερ
ἂν ἡ τῶν γονέων κρίσις
ἦγε μάθημα κατὰ τὲ ἐκείνου
φύσις τῆς μεγάλης διέλαμ-
πεν· ἦν δὲ τῇ μητρὶ σπουδή,
Παιδεῦσαι μὲν τὴν παῖδα·
μὴ μέντοι τὴν ἔξωθεν ταύ-
την καὶ ἐγκύκλιον παιδεύ-
σιν· ἣν ὡς τὰ πολλὰ διὰ
τῶν ποιημάτων αἱ πρῶ-
ται τῶν παιδευομένων ἡ-
λικίαι διδάσκονται· αἰ-
σχρὸν γὰρ ᾤετο καὶ παντά-
πασιν ἀπρεπὲς ἢ τὰ τρα-
γικὰ πάθη ὅσα ἐκ γυναι-
κῶν ταῖς ἀρχὰς καὶ τὰς ὑπο-
θέσεις τοῖς ποιηταῖς ἔδω-
καν· ἢ τὰς κωμικὰς ἀσχη-
μοσύνας· ἢ τῶν κατὰ τὸ
Ἴλιον κακῶν τὰς αἰτί-
ας ἁπαλὴν καὶ εὔπλαστον
φύσιν διδάσκεσθαι· κα-
ταμολυνομένην τρόπον
τινὰ τοῖς ἀσεμνοτέ-
ροις περὶ τῶν γυναικῶν
διηγήμασιν· ἀλλ’ ὅσα
τῆς θεοπνεύστου γραφῆς
εὔληπτότερα ταῖς πρώ-
ταις ἡλικίαις δοκεῖ, ταῦ-
τα ἦν τῇ παιδὶ τὰ μαθήμα-
τα· καὶ μάλιστα ἡ τοῦ σολο-
μῶντος σοφία· καὶ ταύ-
της πλέον, ὅσα πρὸς τὸν
ἠθικὸν ἡμῶν ἔφερε
βίον· ἀλλὰ καὶ τῆς ψαλ-
μῳδουμένης γραφῆς
οὐδ’ ὁτιοῦν ἠγνόει· και-
ροῖς ἰδίοις ἕκαστον μέ-
ρος τῆς ψαλμῳδίας διε-
ξιοῦσα· τῆς τε κοίτης
διανισταμένη, καὶ τῶν
σπουδαίων ἀπτομένη
τε καὶ ἀναπαυομένη·
καὶ προσιεμένη τροφήν·
καὶ ἀναχωροῦσα τρα-
πέζης· καὶ ἐπὶ κοίτην
ἰοῦσα· καὶ εἰς προσευ-
χὰς διανισταμένη, παν-
ταχοῦ τὴν ψαλμῳδίαν
εἶχεν οἷόν τινα σύνοδον
ἀγαθὴν μηδενὸς ἀπολι-
μπανομένην χρόνου·
Τούτοις συναυξανομένη·
καὶ τοῖς τοιούτοις ἐπιτη-
δεύμασι· καὶ τὴν χεῖ-
ρα πρὸς τὴν ἱερουργί-
αν διαφερόντως ἀ-
σκήσασα, πρόεισιν·
εἰς δωδέκατον ἔτος·
ἐν ᾧ μάλιστα τὸ τῆς νε-
ότητος ἄνθος ἐκλάμ-
πειν ἄρχεται· ἐνθάδε
καὶ θαυμάζειν ἄξιον·
ὅπως οὐδὲ κεκρυμμέ-
νον τὸ κάλλος τῆς νέας
ἐλάνθανεν· οὐδέ τινα

τὰ τὴν παῖδα πᾶσαν
ἐκείνην τοσοῦτον θαῦμα
ἐδόκει οἷον ἐν συγκρίσει
τοῦ κάλλους ἐκείνου τὸ
τῆς εὐμορφίας εἶναι·
ὥστε μηδὲ ζωγράφων
χεῖρας ~~εἶναι~~ ἐφικέσθαι
δυνηθῆναι τῆς ὥρας.
ἀλλὰ τὴν πάντα μηχανω-
μένην τέχνην καὶ τοῖς
μεγίστοις ἐπιτολμῶσαν,
ὥστε καὶ αὐτῶν τῶν στοιχεί-
ων τὰς εἰκόνας διὰ
τῆς μιμήσεως ἀνατυ-
ποῦσθαι, τὴν τῆς μορφῆς
ἐκείνης εὐκλήρειαν, μὴ
ἰσχῦσαι δι᾽ ἀκριβείας
ἀπομιμήσασθαι· τούτου χά-
ριν πολὺς ἀγὼν τῶν μνη-
στευόντων τὸν γάμον
αὐτῆς, τοῖς γονεῦσι
προσέκειτο· ὁ δὲ πατὴρ
ἅτε δὴ σώφρων καὶ
κρίνειν τὸ καλὸν ἐπιστάμε-
νος, εὐδοκίμων τι-
νὰ τῶν ἐκ τοῦ γένους
γνωρίμων ἐπὶ σωφρο-
σύνῃ ἀρετῇ τε τῶν παιδευ-
τικῶν ἐπαινούμενον, τὸν
τῶν λοιπῶν ἀποκρίνας,
ἐκεῖνον κατηγγυᾶσθαι
ἐδόκει τὴν παῖδα. ἐπεὶ
εἰς ἡλικίαν ἔλθοι· ὁ μὲν
τοσοῦτον, ὧδε, ὁ μὲν ἐν
ἐλπίσιν ἦν ταῖς χειρο-

τέρας· καὶ καθάπερ τι
τῶν κεχαρισμένων θεῶν
ἢ δαιμόνων τὴν διὰ πολλῶν
εὐδοκίμησιν, προσῆ-
γε τῷ περὶ τῆς μίας· τὴν
τοῖς ὑπὲρ τῶν ἀδικου-
μένων ἀγῶσι, τὴν τῶν
λόγων ἐπιδεικνύμενος
δύναμιν. ὁ δὲ φθόνος
Ἐπικόπτει τὰς χρηστο-
τέρας ἐλπίδας ἀναρ-
πάσας αὐτὸν ἐκ τῆς
ζωῆς ἐν ἐλεεινότητι·
οὐκ ἠγνόει δὲ τὰ τὴν
παῖδα δεδομένα ἡ κόρη·
ἀλλ᾽ ἐπειδὴ τῷ θανάτῳ
τοῦ νεανίου τὸ κεκρυμ-
μένον ἐπ᾽ αὐτῇ διεκό-
πη, γάμον ὀνομάσα-
σα τὴν τοῦ προκεῖσθαι
ὥς γε γεγενημένου τοῦ
κεκριμένου, μένειν
ἐφ᾽ ἑαυτῆς τὸ λοιπὸν ἠ-
ξίου. καὶ ἦν ἡ κρίσις τῆς
ἡλικίας πολιωτέρα·
πολλάκις γὰρ αὐτῇ τοῖς
περὶ τῶν γάμων προσα-
γαγόντων λόγοις τῶν
γεννησαμένων διὰ τὸ
πολλοὺς εἶναι τοὺς κα-
τὰ φήμην τοῦ κάλλους
μνηστεύειν ἐθέλοντας,
ἄτοπον ἔλεγε καὶ παρά-
νομον εἶναι μὴ στέργειν
τὸν ἅπαξ ἐκ τοῦ πρὸς

αὐτῇ κυρωθέντα γάμον·
ἀλλὰ καὶ πρὸς ἑτέρων ἀ-
ναγκάζεται ἀποβλέπειν.
ἔμμονος οὗτος ἐν τῇ φύσει
τοῦ γάμου· ὥσπερ γὰρ μία γέ-
νεσις, καὶ γάμος εἷς. τὸν
δὲ συναρμοσθέντα κατὰ
τὴν τῶν γονέων κρίσιν,
μὴ τεθνάναι διισχυρίζε-
το. ἀλλὰ τὸν τῷ θεῷ ζῶντα
διὰ τὴν ἐλπίδα τῆς ἀνα-
στάσεως, ἀπόδημον εἶ-
ναι καὶ οὐ νεκρόν. ἄτο-
πον δὲ εἶναι τῷ ἐκδημοῦν-
τι νυμφίῳ μὴ φυλάσ-
σειν τὴν πίστιν. τοῖς τοιού-
τοις λόγοις ἀπωθουμέ-
νη τοὺς παραπείθειν ἐπι-
χειροῦντας, ἓν ἐδοκί-
μασεν ἐν ἑαυτῇ τῆς ἀγα-
θῆς φύσεως φυλακτήρι-
ον. τὸ μηδέποτε τῆς
ἰδίας μητρὸς μηδὲ ἐν ἀκαρεῖ
τοῦ χρόνου διαζευχθῆναι.
ὡς πολλάκις τὴν μητέρα πρὸς
αὐτὴν εἰπεῖν. ὅτι τὰ λοι-
πὰ τῶν τέκνων τεταγμέ-
νῳ τινὶ χρόνῳ ἐκυοφό-
ρησεν. ἐκείνην δὲ διὰ παν-
τὸς φέρειν, πάντοτε
τερόπων τῖνα τοῖς σπλά-
γχνοις ἑαυτῆς περιέχου-
σα. ἀλλ' οὐκ ἦν ἐπίπονος
οὐδὲ ἀκερδὴς τῇ μητρὶ
τῆς θυγατρὸς ἡ ζωὴ διὰ

γωγῇ ἀντὶ γὰρ πολλῶν αὐ-
τῇ θεραπαινίδων ἦν
ἡ παρὰ τῆς θυγατρὸς
θεραπεία. καί τις ἦν ἀντί-
δοσις τῆς ἀγαθῆς παρ' ἀμφο-
τέρων ἀλλήλαις ἀντι-
πληρουμένη. ἡ μὲν γὰρ τὴν
ψυχὴν τῆς νέας. ἡ δὲ
τὸ σῶμα τῆς μητρὸς ἐθερά-
πευεν. ἔν τε τοῖς ἄλλοις
πᾶσι τὴν ζητουμένην ὑπη-
ρεσίαν ἀποπληροῦσα·
καὶ ἐν τῷ ταῖς ἰδίαις χερσὶ
πολλάκις τῇ μητρὶ παρα-
σκευάζειν τὸν ἄρτον· ὅπερ
οὐ κατὰ τὸ προηγούμενον
αὐτῇ διεσπουδάσθη· ἀλλ'
ἐπειδὴ ταῖς μυστικαῖς ὑπη-
ρεσίαις τὰς χεῖρας ἑαυτῆς
ἐχρήσατο πρέπειν ἡγησα-
μένη τῷ ἐπιτηδεύματι
τοῦ βίου τὴν περὶ τοῦτο
σπουδήν, ἐκ τοῦ περιόντος
τῇ μητρὶ παρεχορήγει τὴν
ἐκ τῶν οἰκείων πόνων
τροφήν. καὶ οὐ τοῦτο
μόνον, ἀλλὰ καὶ πολλὴν
αὐτῇ συνδιοικονομουμένη
τὴν ἐπικειμένην φρον-
τίδα· τεσσάρων γὰρ υἱῶν
Ἦν μήτηρ. καὶ πέντε θυγα-
τέρων· καὶ τρισὶν ἄρχου-
σιν ὑποτελεῖ. διὰ τὸ ἐν
τοσούτοις ἔθνεσιν αὐτῆς
κατεσπάρθαι τὴν κτῆσιν

ποικίλως τοῖν ὠτοῖν τῆς
μερὶς διὰ τοῦ τομεριζομέ-
νης. ἤδη γὰρ ὁ πατὴρ ἐξε-
λελύθει τὸν βίον, ἐν
πᾶσι τούτοις κοινωνὸς
ἦν τῇ μητρὶ τῶν πόνων,
συνδιαιρουμένη τὰς
φροντίδας καὶ τὸ βαρὺ
τῶν ἀλγηδόνων ἐπι-
κουφίζουσα. καὶ ὁ μὲν μη-
τρὶ παιδαγωγία τῆς μητρὸς,
ἄμωμον διεφύλαττεν
ἑαυτῇ τὸν βίον. ἐν μετρί-
οις ὀφθαλμοῖς διὰ παν-
τὸς αὐ θεωρούμενόν τε καὶ
μαρτυρούμενον. ὁμοῦ
τε παρέσχε πρὸς ἴσον
σκοπὸν τὸν κατὰ φι-
λοσοφίαν λέγω. μεγά-
λην τῇ μητρὶ διὰ τοῦ βί-
ου ἑαυτῆς τὴν ὑφήγη-
σιν. κατ' ὀλίγον αὐτὴν
πρὸς τὴν ἄϋλον τε καὶ
τελειοτέραν ζωὴν ἐφελ-
κομένη. καὶ ἐπειδὴ
τὰ κατὰ τὰς ἀδελφὰς
πρὸς τὸ δοκοῦν ἑκάστῃ
μετ' εὐσχημοσύνης ἡ μήτηρ
ᾠκονομήσατο. ἐπάνει-
σιν ἐν τούτω τῶν παι-
δευτηρίων πολλῷ χρό-
νω προασκηθεὶς τοῖς
λόγοις ὁ πολὺς Βασίλει-
ος ὁ ἀδελφὸς τῆς προ-
ειρημένης. λαβοῦσα

Τοίνυν αὐτὸν ὑπερφυ-
ῶς ἐπηρμένον τῷ περὶ
τοὺς λόγους φρονήματι,
καὶ πάντα περιφρονοῦν-
τα τὰ ἀξιώματα. καὶ
ὑπὲρ τοὺς ἐν δυναστείαις λαμ-
προὺς ἐπηρμένον τῷ
ὄγκω, τοσούτω τάχει κα-
κεῖνον πρὸς τὸν τῆς φι-
λοσοφίας σκοπὸν ἐπεσπά-
σατο, ὥστε ἀποστάντα
τῆς κοσμικῆς περιφανεί-
ας καὶ ὑπεριδόντα τοῦ
διὰ τὸν λόγον θαυμάζε-
σθαι, πρὸς τὸν ἐργατι-
κὸν τοῦτον καὶ αὐτόχει-
ρα βίον αὐτομολῆσαι,
διὰ τῆς τελείας ἀκτημο-
σύνης, ἀνεμπόδιστον
αὐτῷ τὸν εἰς ἀρετὴν βίον
παρασκευάζοντα. ἀλλ'
ὁ μὲν ἐκείνου βίος καὶ
τὰ ἐφεξῆς ἐπιτηδεύ-
ματα, δι' ὧν ὀνομαστὸς
ἐν πάσῃ τῇ ὑφ' ἡλίου
γενόμενος ἀπέκρυψε
τῇ δόξῃ πάντας τοὺς
ἐν ἀρετῇ διαλάμψαντας,
μακροῦ ἂν εἴη συγγρα-
φῆς καὶ χρόνου πολλοῦ.
ἐμοὶ δὲ πρὸς τὸ προκεί-
μενον πάλιν ὁ λόγος
τετράφθω. ἐπειδὴ γὰρ
πᾶς ὁ σκοπὸς ὅλως δευτέρας ζω-
ῆς ὑπόθεσις ἤδη αὐτῆς

περικέκοπτο· πείθει τὴν μητέρα καταλιποῦσαν τὸν ἐν ἔθει βίον καὶ τὴν κομπωδεστέραν διαγωγὴν καὶ τὰς ἐκ τῶν ὑποχειρίων θεραπείας αἷς προσείθιστο κατὰ τὸν ἔμπροσθεν χρόνον, ὁμότιμον γενέσθαι τῷ φρονήματι· καὶ καταμῖξαι τὴν ἰδίαν ζωήν, τῇ μετὰ τῶν παρθένων διαγωγῇ· ὅσας εἶχε μεθ᾽ ἑαυτῆς ἐκ δουλίδων καὶ ὑποχειρίων ἀδελφὰς καὶ ὁμοτίμους ποιησαμένη. μᾶλλον δὲ μικρόν τι βούλομαι παρενθεῖναι τῷ διηγήματι· καὶ μὴ παραδραμεῖν ἀνιστόρητον πρᾶγμα τοιοῦτον, δι᾽ οὗ μᾶλλον τὸ ὑψηλὸν τῆς παρθένου καταμηνύεται. ἦν τῶν

Τεσσάρων ἀδελφῶν, ὁ δεύτερος μετὰ τὸν μέγαν βασίλειον, ναυκράτιος ὄνομα· φύσεως δ᾽ εὐκληρίᾳ καὶ σώματος· ἐν κάλλει καὶ ῥώμῃ καὶ τάχει καὶ τῇ πρὸς πάντα ἐπιτηδειότητι, διαφέρων τῶν ἄλλων· προελθὼν εἰς δεύτερον ἔτος καὶ εἰκοστόν· καὶ ἀπόδειξιν τῶν οἰκείων πόνων ἐπὶ δημοσίας ἀκοῆς τὰ ἀποδείξεις ὥστε ἅπαν ἐπ᾽ αὐτῷ σεισθῆναι τὸ θέατρον τῶν ἀκουόντων, θείᾳ τινὶ προνοίᾳ τῶν ἐν χερσὶν ἁπάντων ὑπεριδών, πρὸς τὸν μονήρη καὶ ἀκτήμονα βίον ἀπῆλθεν, ἐν μεγάλῃ τινὶ τῆς διανοίας ὁρμῇ· οὐδὲν ἐπαγόμενος μεθ᾽ ἑαυτοῦ, πλὴν ἑαυτόν· εἵπετο δέ τις αὐτῷ καὶ τῶν οἰκετῶν Χρυσάφιος τοὔνομα· τό τε πρὸς αὐτὸν ἔχειν ἐκεῖνον ἐπιτηδείως, καὶ τῷ τὴν αὐτὴν προαίρεσιν περὶ τὸν βίον ἐνστήσασθαι. διῆγε τοίνυν καθ᾽ ἑαυτόν· ἐσχατιάν τινα καταλαβὼν πρὸς τῷ Ἴριδι· ποταμὸς δὲ ὁ Ἶρις·

Ἐστὶ μέσον διαρρέων τὸν πόντον· ὃς ἀπ᾽ αὐτῆς τῆς Ἀρμενίας τὰς ἀρχὰς ἔχων, διὰ τῶν ἡμετέρων τόπων ἐπὶ τὸν Εὔξεινον πόντον τὸ ῥεῖθρον ἐκδίδωσι· περὶ τοῦτον εὑρών τινα τόπον ὁ νεανίας ὕλῃ βαθείᾳ κομῶντα· καὶ λόφον τινὰ τῆς ὑπερτεταμένης τοῦ ὄρους ἐσχατιᾶς ἐγκρυμμένον, ἐν αὐτῷ διῆγε τῶν ἀστι

κῶν θορύβων καὶ τῶν
ἀποστασίας τε καὶ τῶν
ἐν δικαστηρίοις ῥητορικῶν
ἀσχολημάτων, πόρρω
γενόμενος. καὶ πάντων
τῶν κατὰ τὸν βίον πολυ-
κχούντων τὴν ἀνθρωπίνην ζω-
ὴν ἑαυτὸν ἐλευθερώσας,
πρεσβύτας τιμᾷς καὶ
ἀρρωστίᾳ συζῶντας, αὐτοὺς
ἰδίαις χερσὶν ἐθεράπευε.
πρέπειν δοκιμάσας
τῷ ἰδίῳ βίῳ τὴν τοιαύ-
την ἀσχολίαν διαφερόν-
τίδος ἔχειν. θηράζων
τοίνυν διὰ τὸ πρὸς παν-
επιδος θηρατικὸς ἐπι-
μοίας ἐπιτηδείως ἔχειν,
ἐπορίζε διὰ τῆς θήρας
τοῖς γέρουσι τὴν τροφήν,
καὶ τὴν νεότητα τοῖς οὐ-
τοις ἅμα κατεδάμα-
ζε πόνοις. ἀλλὰ καὶ τοῖς
μρώοις θελήμασιν ἐπι-
ποτέτι πρὸς αὐτῆς περι-
τχθείη, προθύμως ὑπη-
ρετῶν, δι' ἀμφοτέρων κα-
τώρθου τὸν βίον. τοῖς
τε πόνοις κατακρατῶν
τῆς νεότητος. τῇ τε
περὶ τὴν μητέρα σπουδῇ.
διὰ τῶν θείων ἐντολῶν
πρὸς θεὸν ἀνωδούμενος.
περὶ τούτων διήγαγεν ἔτος
τοῦτον τὸν τρόπον φι-
λοσοφῶν. καὶ μακαριστὴν
ἕλκων ζωήν. οἷς τε παρεῖ-
χε πᾶσαν τὴν δύναμιν
ἑαυτοῦ τῷ θελήματι
τῆς γεννησαμένης. ἐπεὶ τὸ
βραχύ τι καὶ τραγικὸν πά-
θος ἐξ ἐπιβουλῆς οἶμαι
τοῦ ἀντικειμένου τῇ μετ-
σιωπῇ μέχθη. ὃ πάντη τῷ
γένει, πρὸς συμφορὰν
τε καὶ πένθος ἐπήρκεσεν.
ἀφνιδίως γὰρ ἐκ τῆς
ζωῆς ἀναρπάζεται. οὐ
νοσήματος προσελκύσαν-
ναι τὸ πάθος προσκα-
σαντος. οὐ κἀλλου τινὸς
τοιούτου τὸν σωπήθη
καὶ γνώριμον ἐπάγοντος
τὸν μέσω θάνατον. ἀλλ' ἐπὶ
θύραν ὁρμήσας δι' ἧς
παρεῖχε τοῖς γηροκομου-
μένοις τὰ ἐπιτήδεια,
μικρὸς τῷ οἴκῳ αὐτοῦ
ἐπανάγεται. αὐτός
τε ἐκεῖνος, καὶ ὁ κοινὸς
αὐτῷ τοῦ βίου χερσόφι-
ος. πόρρω δὲ ἦν τῶν
γινομένων ἡ μήτηρ, τῶν
ὢν ἡ μήτρων ὁ δ' ἀδελφι-
στὸς τῆς συμφορᾶς
καὶ τῆς ἀδελφικῆς πρὸς αὐ-
τὴν μηνύων τὸ πάθος.
ἡ δέ, τελεία μέν, τοῖς
κατορθώμασιν οὖσαν ἤδη.
πλὴν ἐκράτει κἀκείνης

κατὰ τὸ ἴσον ἡ φύσις. ὁ
κλασθεῖσα περὶ τὴν ψυχὴν
ἄπνοός τε καὶ ἄφωνος
παραχρῆμα ἐγένετο· τοῦ
λογισμοῦ τῷ πάθει παρα-
χωρήσαντος. καὶ ἔκειτο
ὁμοῦ τῇ προσβολῇ τῆς
πονηρᾶς ἀκοῆς, καθά-
περ τις ἀθλητὴς γενναῖ-
ος ἀπροσδοκήτως κα-
τασεισθεῖσα πληγῇ. ἐν-
τοῦθεν ἐφάνη τῆς
μεγάλης Μακρίνης ἡ
ἀρετή. ὅπως τῷ πάθει
τὸν λογισμὸν ἀντιστήσασα,
ἑαυτήν τε ἄπτωτον διε-
φύλαξε, καὶ τῆς μητρὸς
ἀσθενείας ἔρεισμα γε-
νομένη, πάλιν ἐκ τοῦ
βυθοῦ τῆς λύπης αὐ-
τὴν ἀνεστήσατο. τῷ
καθ' ἑαυτὴν στερρῷ τε
καὶ ἀνενδότῳ καὶ τὴν
τῆς μητρὸς ψυχὴν πρὸς ἀν-
δρείαν παιδοτριβήσα-
σα. οὐκοῦν οὐ παρετράπη
πρὸς τὸ πάθος ἡ μήτηρ· οὐ-
δὲ ἔπαθέ τι ἀγεννὲς
τε καὶ γυναικεῖον, ὥς
τε βοῆσαι πρὸς τὸ κα-
κόν, ἢ περιρρήξασθαι
τὸ ἱμάτιον· ἢ ἐπικω-
κῦσαι τῷ πάθει. ἢ ταῖς
γοεραῖς μελῳδίαις ἀ-
νακινῆσαι τοὺς θρήνους·

ἀλλ' ἡσυχῇ διεκαρτέρει,
τὰς τῆς φύσεως προσ-
βολὰς διωθουμένη· λο-
γισμοῖς τε τοῖς ἰδίοις,
καὶ τοῖς παρὰ τῆς θυγα-
τρὸς αὐτῇ πρὸς τὴν τοῦ
κακοῦ θεραπείαν προσ-
αγομένοις. τότε γὰρ
δὴ μάλιστα ἡ ὑψηλή τε
καὶ ἐπηρμένη τῆς
παρθένου ψυχὴ διε-
φάνη. ὅτι καὶ ἐν ἐκεί-
νῃ μὲν ἡ φύσις τὸ ἴδι-
ον ἔπασχεν. ἀδελφὸς
γὰρ ἦν. καὶ ἀδελφῶν ὁ
κεχαρισμένος. ὁ τῷ τοι-
ούτῳ τρόπῳ, τῷ θανά-
τῳ ἀναρπασθείς. ὅμως
ὑψηλοτέρα γενομέ-
νη τῆς φύσεως, συνε-
πῆρε τοῖς ἰδίοις λογι-
σμοῖς τὴν μητέρα, καὶ ὑπερά-
νω τοῦ πάθους ἔστησε·
τῷ καθ' ἑαυτὴν ὑποδεί-
γματι, πρὸς ὑπομονήν
τε καὶ ἀνδρείαν παιδα-
γωγήσασα. ἀλλ' ὡς δὲ καὶ
ὁ βίος αὐτῆς ἀεὶ δι' ἀ-
ρετῆς ὑψούμενος,
οὐ παρεῖχε τῇ μητρὶ καιρὸν
ἐπὶ τῷ λείποντι σκυ-
θρωπάζειν μᾶλλον ἢ τῷ
ὁρωμένῳ ἀγαθῷ ἐπα-
γάλλεσθαι. ἐπεὶ οὖν
ἐπαύσατο τῇ μητρὶ ἡ τῶν

τῆς παιδοτροφίας φροντίς· καὶ ἡ τῆς παιδεύσεως τε καὶ κατασκευάσεως τῶν παίδων μελήματα· καὶ αἱ πλείους τῆς ὑλωδεστέρας ζωῆς ἀφορμαὶ εἰς τὰ τέκνα κατεμερίσθησαν, τότε καθὼς προείρηται, γίνεται σύμβουλος τῇ μητρὶ ἡ τῆς παρθένου ζωή, πρὸς τὴν ἐμφιλόσοφον ταύτην καὶ ἄϋλον τοῦ βίου διαγωγήν. καὶ ἀποστήσασα τῶν μὲν συνηθείᾳ πάντων, πρὸς τὸ ἴδιον τῆς ταπεινοφροσύνης μέτρον κατήγαγεν· ὁμότιμον αὐτὴν γενέσθαι τῷ πληρώματι τῶν παρθένων παρασκευάσασα· ὡς ἐκ τραπέζης μιᾶς καὶ κοίτης καὶ πάντων τῶν πρὸς τὴν ζωὴν κατὰ τὸ ἴσον συμμετέχειν αὐταῖς πάσης τῆς κατὰ τὴν ἀξίαν διαφορᾶς, ὑφαιρεθείσης αὐτῶν τῆς ζωῆς. καὶ τοιαύτη τις ἦν ἡ τοῦ βίου τάξις. καὶ τοσοῦτον τὸ ὕψος τῆς φιλοσοφίας ἡ σεμνὴ τῆς ζωῆς πολιτεία ἐν τῇ καθημέραν τε καὶ νύκτα διαγωγῇ, ὥσ-

τε ὑπερβαίνειν τὴν ἐκ τῶν λόγων ὑπογραφήν. καθάπερ γὰρ αἱ διὰ τοῦ θανάτου τῶν σωμάτων ἐκλυθεῖσαι ψυχαὶ καὶ τῶν κατὰ τὸν βίον τοῦτον μεριμνῶν συνεκλύονται, οὕτω κεχώριστο αὐτῶν ἡ ζωὴ καὶ ἀπῴκιστο πάσης βιοτικῆς ματαιότητος, καὶ πρὸς μίμησιν τῆς τῶν ἀγγέλων διαγωγῆς ἐρυθμίζετο. ἐν οἷς γὰρ οὐ θυμός, οὐ φθόνος· οὐ μῖσος· οὐχ ὑπερηφανία. οὐκ ἄλλο τι τῶν τοιούτων ἐνεωρᾶτο, ἥ τε τῶν ματαίων ἐπιθυμία τιμῆς τε καὶ δόξης καὶ τύφου καὶ ὑπερηφανείας· καὶ πάντων τῶν τοιούτων ἐκβέβλητο· τρυφὴ δὲ ἦν ἡ ἐγκράτεια· καὶ δόξα, τὸ μὴ γινώσκεσθαι· ὁ πλοῦτος δὲ ἡ ἀκτημοσύνη· καὶ τὸ πᾶσαν τὴν ὑλικὴν περιουσίαν οἷόν τινα κόνιν τῶν σωμάτων ἀποτινάξασθαι· ἔργον δὲ τῶν κατὰ τὴν ζωὴν ταύτην σπουδαζομένων οὐδέν· ὅτι μὴ πάρεργον. μόνη δὲ τῶν θείων μελέτη·

καὶ τὸ τῆς προσευχῆς ἀδιάλειπτον. καὶ ἡ ἀδιάπαυστος ὑμνῳδία, κατὰ τὸ ἴσον παντὶ συμπαρατεινομένη τῷ χρόνῳ διά τε νυκτὸς καὶ ἡμέρας παντός, ὥστε αὐταῖς καὶ ἔργον εἶναι τοῦτο, καὶ ἔργου ἀνάπαυσιν.

Τὴν τοίνυν τοιαύτην διαγωγήν, τίς ἂν ὑπὸ τὴν ἀγάγοι λόγον ἀνθρώπινον, παρ' οἷς μεθόριος ἦν ἡ ζωὴ τῆς τε ἀνθρωπίνης καὶ ἀσωμάτου φύσεως. τὸ μὲν γὰρ ἐλευθερωθῆναι τῶν ἀνθρωπίνων παθημάτων τὴν φύσιν, κρεῖττον ἢ κατὰ ἄνθρωπον. τὸ δὲ ἐν σώματι φαίνεσθαι καὶ σχήματι περιειλῆφθαι καὶ τοῖς αἰσθητικοῖς ὀργάνοις συζῆν, ἐν τούτῳ τῆς ἀγγελικῆς τε καὶ ἀσωμάτου φύσεως, τὸ ἔλαττον εἶχε. τάχα δὲ ἄν τις τολμήσας εἴποι, μηδὲ κατὰ τὸ δεῖ ὑπὲρ ἀντὴν παραλλαγὴν εἶναι, ὅτι σαρκὶ συζῶντες, καθ' ὁμοιότητα τῶν ἀσωμάτων δυνάμεων. οὐ κατεβαροῦντο τῷ ἐφολκίῳ τοῦ σώματος. ἀλλ' ἀναφερής τε καὶ μετέωρος ἦν αὐτῶν ἡ ζωή. ταῖς οὐρανίαις συμμετεωροποροῦσα δυνάμεσι.

Χρόνος ἦν Τῆς τοιαύτης διαγωγῆς οὐκ ὀλίγος. καὶ συνηύξετο τῷ χρόνῳ τὰ κατορθώματα. ἀεὶ πρὸς τὸ καθαρώτερον ταῖς τῶν ἐφευρισκομένων ἀγαθῶν προσθήκαις, τῆς φιλοσοφίας ἐπιδιδούσης. ἦν δὲ αὐτῇ ὁ μάλιστα πρὸς τὸν μέγαν τοῦτον τοῦ βίου σκοπὸν συνεργῶν, ἀδελφὸς Πέτρος ὄνομα αὐτῷ. ἐφ' ᾧ ἔληξαν τῆς μητρὸς αἱ ὠδῖνες. ἔσχατος γὰρ ἦν οὗτος τῶν γονέων βλαστός. ὁμοῦ τε υἱὸς καὶ ὀρφανὸς ὀνομασθείς. ἅμα γὰρ τῷ παρελθεῖν τοῦτον εἰς φῶς, καταλείπει ὁ πατὴρ τὸν βίον. ἀλλ' ἡ πρεσβυτάτη

Τῶν ἀδελφῶν περὶ ἧς ὁ λόγος. μικρὰ τῆς θηλῆς αὐτὸν παραλαβοῦσα μετὰ τὸν τοκετὸν, εὐθὺς ἀποσπασθέντα τῆς τιθηνουμένης, δι' ἑαυτῆς ἀνεθρέψατο. πρός τε καὶ ἐπὶ πᾶσαν τὴν ὑψηλοτέραν ἤγαγε τὸ παίδευσιν. τοῖς ἱεροῖς τῶν μαθημάτων ἐκ νηπίων αὐτὸν ἐνασκήσασα. ὡς μὴ

σπουδάσαι τῇ ψυχῇ σχολὴν
πρός τι τῶν ματαίων
ἐπιπληχθῆναι· ἀλλὰ πάν-
τα γενομένη τῷ νέῳ· πατὴρ·
διδάσκαλος· παιδαγω-
γός· μήτηρ· ἀγαθοῦ παν-
τὸς σύμβουλος· τοιοῦ-
τον αὐτὸν ἀπειργάσατο
ὥσπερ ἐξελθεῖν τὴν
ἡλικίαν τῶν παίδων· ἔτι
ἐν μειρακίῳ τῇ ἁπαλό-
τητι τῆς ὥρας ἀνθοῦν-
τα, πρὸς τὸ ὑψηλὸν
τῆς φιλοσοφίας σπεύ-
δων ἐπαρθῆναι· καὶ τῇ
φύσεως εὐκληρίᾳ
περὶ πᾶσαν τέχνης
ἰδέαν τῆς διὰ χειρὸς ὑφη-
γουμένης, ἐπιτηδεί-
ως εἶχεν ὡς μηδενὸς
καθηγουμένου, διὰ πά-
σης ἀκριβείας ἑκάστου
τὴν ἐπιστήμην κατορ-
θωκέναι, ὧν χρόνῳ καὶ
πόνῳ τοῖς πολλοῖς ἡ
μάθησις γίνεται, οὗτος
τοίνυν τῆς περὶ τὸ ἔ-
ξωθεν ἀσχολίας τῶν
λόγων ὑπεριδὼν ἱκανὴν
δὲ διδάσκαλον παντὸς
ἀγαθοῦ μαθήματος τὴν
φύσιν ἔχων· ἀεί τε πρὸς
τὴν ἀδελφὴν βλέπων.
καὶ σκοπὸν ἀγαθοῦ παν-
τὸς ἐκείνην ποιούμενος,

εἰς τοσοῦτον ἐπέδωκεν
ἀρετῆς, ὡς μηδὲν ἧττ-
ον τοῦ μεγάλου βασι-
λείου δοκεῖν ἔχειν, ὑπ-
τοῖς κατ' ἀρετὴν προτερή-
μασιν· ἐν δὲ τῷ μετὰ
ταῦτα βίῳ, τότε δὴ
πάντων ἦν τῇ ἀδελ-
φῇ καὶ τῇ μητρὶ συνεργῶν
αὐταῖς πρὸς τὴν ἀγγελικὴν
ἐκείνην ζωήν· ὅς ποτε
καὶ σιτοδείας χαλεπῆς
γεγενημένης· καὶ πολ-
λῶν πανταχόθεν κατὰ
φήμην τῆς εὐποιίας πρὸς
τὴν ἐσχατιὰν ἐν ᾗ κατῴ-
κουν ἐπιρρεόντων· το-
σοῦτον δὲ ἐπινοῶν τὰς
τροφὰς ἐπλεόνασεν,
ὡς τῷ πλήθει τῶν ἐπιφοι-
τώντων, πολὺ μεῖναι τὸ
ὁρώμενον δοκεῖν ὑπὸ τοῦ-
του εἰς γῆρας λιπαρὸν
προελθοῦσα ἡ μήτηρ, πρὸς
τὸν θεὸν μετανίσταται· ὑπὸ
ταῖς ἀμφοτέρων τῶν
τέκνων χερσί, τὸν βί-
ον ἑαυτῆς ἀναπαύσασα.
Ἄξιον τὴν τῆς εὐλο-
γίας ἱστορῆσαι φωνήν·
ἣν ἐπὶ τῶν τέκνων ἐχρή-
σατο· τῶν τε μὴ παρόν-
των, ἑκατέρου κατὰ τὸ
προσφορον ἐπιμνησθεῖ-
σα, ὡς μηδὲ ἕνα γενέ-

σθαι τῆς ἀλογίας ἀπὸ
κλήρου· καὶ διαφερόν
τως τοὺς προϊόντας αὐτῇ
τῷ θεῷ προσαγομένη,
διὰ προσευχῆς. παρα
Καθημένων γὰρ αὐτῇ κα
τὰ τὸ πλάγιον ἐφ' ἑκά
τερα τῆς κλίνης τῶν
δύο τούτων, ἑκατέρω
θεν εἰς ἐφαπτομένη τῶν
τέκνων, ταῦτα πρὸς
τὸν θεὸν ἐπεβόησε τελευ
ταίαις φωναῖς· σοί κε
καὶ ἀπάρχομαι καὶ ἀπο
δεκατῶ τὸν καρπὸν τῶν
ὠδίνων· ἀπαρχή μοι,
ἡ πρωτότοκος αὕτη.
καὶ ἐπιδέκατος οὗτος.
ἡ τελευταία ὠδίς.
σοὶ δὲ ἀφιέρωται παρὰ
τοῦ νόμου ἑκάτερα.
καὶ σὰ εἶναι ἀναθήματα.
οὐκοῦν ἔλθοι ὁ ἁγιασμὸς
ἐπὶ τὴν ἀρχήν μου ταύτην
καὶ ἐπὶ τὸ ἐπιδέκατον
τοῦτο. δείξασα ταῖς ἐπι
δεικτικαῖς φωναῖς, τὴν
θυγατέρα καὶ τὸν παῖδα.
ἡ μὲν, οὖν τοῦ εὐλογεῖν
παυσαμένη, καὶ τοῦ ζῆν
ἐπαύσατο. τοῖς παισὶν
ἐπισκήψασα, τὸ τῇ
πατρῴᾳ σορῷ, καὶ τὸ ἐκεί
νης ἀποτεθεῖσθαι σῶμα.
Οἱ δὲ, πληρώσαντες τὸ

διατεταγμένον, ὡς φι
λότερον εἶχον τὸ τῆς φι
λοσοφίας· ἀεὶ πρὸς
τὸν ἴδιον διαμιλλώμε
νοι βίον· καὶ τὰ φθάσαν
τα τῶν κατορθωμάτων,
ὑπὸ τοῖς ἐφεξῆς ἀποκρύ
πτοντες. ἐν τούτῳ ὁ π
Λὺς ἐν ἁγίοις βασίλειος,
τῆς μεγάλης καισαρεί
ων ἐκκλησίας, ἀνεδεί
χθη πρόεδρος. ὃς
ἐπὶ τὸν κλῆρον τῆς ἐν
τῷ πρεσβυτερίῳ ἱε
ρωσύνης, τὸν ἀδελ
φὸν ἄγει· ταῖς μυστι
καῖς αὐτοῦ ἱερουργί
αις ἀφιερώσας. καὶ
ἐν τούτῳ πάλιν αὐτῷ
ἐπὶ τὸ σεμνότερόν τε
καὶ ἁγιώτερον προῄει
ὁ βίος. τῇ ἱερωσύνῃ
τῆς φιλοσοφίας ἐπαυ
ξωθείσης. ὀκτὼ δὲ
μετὰ τοῦτο διαγενομέ
νων ἐτῶν, τῷ ἐννάτῳ
ἐνιαυτῷ. ὁ κατὰ πᾶ
σαν ὀνομαστὸς τὴν οἰ
κουμένην βασίλειος,
ἐξ ἀνθρώπων πρὸς τὸν θεὸν με
τοικίζεται. κοινὴ πέν
θους ἀφορμὴ τῇ πα
τρίδι καὶ τῇ οἰκουμένῃ
γενόμενος. ἡ δὲ, πόρ
ρωθεν ἐκ φήμης ἀκούσα

σα τὴν συμφορὰν, ἔσπα
σε μὲν τὴν ψυχὴν ἐπιτο
σαύτη ζημία. πῶς γὰρ
οὐκ ἔμελλεν ἅπτεσθαι
κἀκείνης τὸ πάθος· οὗ
καὶ οἱ ἐχθροὶ τῆς ἀλη
θείας ἐπάθοντο· κα
θάπερ δὲ τὴν τοῦ χρυσοῦ
φασὶ δοκιμασίαν ἐν
διαφόροις γίνεσθαι χω
νευτηρίοις· ὡσεί τις τὴν
περιττὴν διαφύγοι χω
νείαν, ἐν τῇ δευτέρᾳ δια
κειθῆναι, καὶ πάλιν ἐν
τῇ τελευταίᾳ πάντα
τὸν ἰὸν καὶ μεμιγμένον ῥύ
πον τῆς ὕλης ἀποκα
θαίρεσθαι. ἡ δὲ ἀκρι
βεστέραν εἶναι βάσανον
τοῦ δοκίμου χρυσοῦ, ἢ
διαπαντὸς ἐξελθὼν χω
νείας, μηδένα ῥύπον
ἀποποιήσει, τοιοῦτον
τι καὶ ὑπομείνης σοῦ
γέγονε. ταῖς διαφόροις
τῶν λυπηρῶν περιβο
λαῖς, τῆς ὑψηλῆς
διανοίας βασανισθεί
σης, πάντα τὰ ὄθεν ἀνα
σεισθῆναι τὸ τῆς ψυχῆς
ἀνεκδιήλατόν τε καὶ
ἀνεπανόρθωτον. περὶ
τούτων μὲν ἐν τῇ τοῦ ἀδελ
φοῦ τοῦ ἄλλου μετὰ σοῦ
μετὰ δὲ ταῦτα, ἐν τῷ χω

ρισμῷ τῆς ἡμετέρας. ἐκ τού
δε, ὅτε τὸ κοινὸν τῆς
γενεᾶς καλὸν βασίλει
ος, τῆς ἀξίνης ζωῆς
ἐχωρίζετο. ἔμεινε
Τοίνυν καθάπερ τὶς ἀθλη
τὴς ἀκαταγώνιστος· οὐ
δαμοῦ τῇ συμβουλῇ τῶν
ἀλγεινῶν ἐπὶ πολλὰ σα
σα. ἵνα τοίνυν μετὰ τὸ
πάθος τοῦτο μικρὸν. κἂν
μικρὸν ὑπὲρ τοῦτον
καὶ σιωπῶ ὁδὸς ὑπεισιο
πασαν καὶ τὴν ἀντίο
χου πάλιν ἠθροίζετο·
ἧς καὶ ἡμεῖς μετέχο
μεν. καὶ ἐπεὶ πάλιν περὶ
τὴν ἑαυτοῦ ἐκκλησίαν
ἀπελύθη μὲν περιέντος
ἐν ἰσὸν τὸν περιελθεῖν, ἐν
θυμούμενοι τῷ γρη
γορείῳ ἤμεναι πρὸς αὐ
τὴν διαβῆναι. πολὺς
γὰρ ἦν ὁ διάμεσον χρό
νος. ἐν ᾧ ταῖς ἐπισκέ
ψεις αἱ τῶν πειρασμῶν
περιστάσεις ἐκάλυπτον
αἱ ὑπομένον πάντα χροῦ.
τῆς πείρας ὑπὸ τῶν
τῆς αἱρέσεως ὑπηρέ
των τῶν ἐξελαυνόμε
νος. καὶ ἀριθμοῦμαι
τὸν διάμεσον χρόνον·
ἐν ᾧ τὴν κατὰ τὸν ὀφθαλμὸν
σου τυχίαν οἱ πειρασμοί

στι ἐκωλύοντο, οὐκ ὀλίγον
φαίνεται τὸ διάστημα
ὀκτὼ μικροῦ δεῖν παρα-
μετρούμενον ἔτεσιν. ἐπεὶ
Δὴ τοίνυν τὸ πολὺ τῆς ὁ-
δοῦ διανύσας μιᾶς ἡ-
μέρας δ' ἀπεῖχον ὁδόν,
ὄψις τις ἡμῖν ἐξ ἐναντί-
ας φανεῖσα, φοβερὰς
ἐποίει τὰς ἐλπίδας τοῦ
μέλλοντος. ἐδόκουν
γὰρ λείψανα μαρτύρων
διὰ χειρὸς φέρειν. εἶ-
ναι δὲ ταῦτα τῶν ἁγίων,
οἷα ἐκ καθαροῦ γίνεται
κατόπτρου, ὅταν πρὸς
τὸν ἥλιον τεθῇ ἀντιπρό-
σωπον. ὥστε μοι τὰς
ὄψεις πρὸς τὴν μαρμα-
ρυγὴν τῆς λαμπηδόνος
ἀμβλυώττεσθαι. καὶ τῆς
μὲν νυκτὸς ἐκείνης τρεῖς
γενομένης τῆς τοιαύ-
της ὄψεως, συμβάλ-
λειν μὲν οὐκ εἶχον καθα-
ρῶς τοῦ ἐνυπνίου τὸ
αἴνιγμα. λύπην δέ τι-
να τῇ ψυχῇ προεώρων.
Καὶ ἐπετήρουν τὴν ἔκβα-
σιν κρῖναι τὴν φαντασί-
αν. καὶ δὴ γενόμενος
πλησίον τῆς ἐσχατιᾶς
ἐν ᾗ διῆγεν τὴν ἀγγελικήν
τε καὶ ἐπουράνιον κατορθοῦ-
σα ζωήν, ἠρώτων τῶν

ἐπιτηδείων τινὰ περὶ
τοῦ ἀδελφοῦ πρότερον
εἰ περιὼν εἴη. φήσαντος
δὲ πρὸς ἡμᾶς αὐτὸν ἐξορ-
μηκέναι καὶ τετάρτην
ἡμέραν ἄγειν, συνεὶς
ὅπερ ἦν. ὅτι δι' ἑτέρας
ὁδοῦ γέγονεν αὐτῷ πρὸς
ἡμᾶς ἡ ὁρμή, τότε καὶ
περὶ τῆς μεγάλης ἐπυ-
θανόμην. τοῦ δὲ φήσαν-
τος ἐν ἀρρωστίᾳ γεγενῆ-
σθαι τινί, σπουδαιότε-
ρον εἰχόμην ἐν ἐπείξει
τὸ λειπόμενον τῆς ὁ-
δοῦ διανύων. καὶ γάρ με
λύπη τις καὶ φόβος
μὴν ὑπὸ τῆς τοῦ μέλλοντος
ὑποδειγμάτων, ἐδιετάρα-
ττεν. ὡς δὲ κατ' αὐτὸν
ἐγενόμην τὸν τόπον. καὶ
προκατήγγειλε τῇ ἀδελ-
φότητι τὴν παρουσίαν
ἡμῶν ἡ φήμη. τό τε σύνταγμα
τῶν ἀνδρῶν ἅπαν,
ἐκ τοῦ ἀνδρῶνος πρὸς
ἡμᾶς προεχέθη. συνή-
θης γὰρ αὐτοῖς, τιμᾶν τῇ
ὑπαντήσει τοὺς κατα-
θυμίους. ὁ δὲ ἐν γυ-
Ναιξὶ τῆς παρθενίας χορὸς,
ἐν κόσμῳ κατὰ τὴν ἐκ-
κλησίαν τὴν εἴσοδον
ἡμῶν ἀνέμενεν. ἐπεὶ δὲ
τέλος εἶχεν ἡ εὐχή τε καὶ

ἡ εὐλογία· καὶ αἱ μὲν,
μετὰ τὸ ὑποσχεῖν εὐλο
γίαν τὴν κεφαλὴν εὐσχη
μόνως ἀναπαύσονται πρὸς
ἑαυτὰς ἀνεχώρουν· ὑπε
Λ λείπετο δὲ πρὸς ἡμᾶς
οὐδεμία, εἰ καὶ ὅσας ὅτι
ἦν μὴ ἐμὲ ἐκείνας εἶναι
τὴν καθηγουμένην, προ
ηγησαμένου τινὸς ἐπὶ
τὸν οἶκον ἐμοῦ ~~ἦν~~ ἦν ἡ
μεγάλη· καὶ τὴν θύ
ραν διὰ παντὸς σὺν πρὸς
ἐν τοῖς τῆς ἱερᾶς ἐκεί
νης ἐγενόμην μόνης.
ἡ δὲ, σφοδρῶς ἤδη τῇ
ἀρρωστίᾳ κατείχετο· ἀ
νεπαύετο δὲ, οὐκ ἐπὶ
κλίνης τινὸς ἢ στρωμνῆς·
ἀλλ' ἐπὶ τοῦ ἐδάφους σα
νίδος ὑποτεταμένης
τῷ σάκκῳ· καὶ τὴν κεφα
λὴν ἑτέρας σανίδος πά
λιν ὑπερειδούσης.
ἧς ἡ ἐργασία, τοιαύτη
τις ἦν. ὡς ἂν τι πρὸς
κεφαλαίου τῇ κεφαλῇ
γίνεσθαι· ἐν λοξῷ τῷ σχή
ματι τοὺς τένοντας ὑπο
βαίνουσα· καὶ καταθυ
μίως ἀνέχουσα ἐφ' ἑαυ
τῆς τὸν αὐχένα. ἐπεὶ
οὖν ἐπιδὲ ἐν δρίῳ τῶν θυ
ρῶν με γενομένην, ὁρῶ
σασα ἑαυτὴν ἐπαρκοῦσαν

προσδραμεῖν οὐχ οἵα τε
ἦν ἤδη τῷ πυρετῷ τῆς
ἰσχύος ὑπολυθείσης· προ
ξασα δὲ ἐπὶ τοῦ ἐδά
φους τὰς χεῖρας. καὶ ἐμ
φόβου ὅσον οἷά τε ἦν, ἔξω
ἑαυτὴν τοῦ χαμαινίου
προτείνασα, τὴν τῆς
ὑπαντήσεως ἐπλήρου
τιμήν. κἀγὼ προσδρα
μὼν καὶ ταῖς χερσὶν ὑπο
λαβών. χαμαὶ τὸ πρόσω
πον κεκλιμένον, ἀνορ
θώσατε αὐτὴν πάλιν·
καὶ ἀπέδωκα τῷ συνήθει
τῆς κατακλίσεως σχήμα
τι· ἡ δὲ προτείνασα τὴν
Θ ὦ τὴν χεῖρα, καὶ ταύτην
ἐπληρώσασα μοι φησί· τί
χάριν ὁ θεός· καὶ οὐκ ἐστέ
ρησάς με τῆς ἐπιθυμί
ας μου. ὅτι ἐκίνησας
τὸν σὸν οἰκέτην, εἰς ἐπί
σκεψιν τῆς παιδίσκης
σου· καὶ ὡς ἂν μὴ δεῖ με
αν ἐπαλγοίη τῇ ἐμῇ
ψυχῇ δυσθυμίαν, τὸν
γενναῖον κατεπράϋνε·
καὶ τὴν συνοχὴν τοῦ ἄσθμα
τος, κρύπτειν πῶς ἐ
βιάζετο· διὰ πάντων τε
πρὸς τὸ ἀθυμότερον
μεθηρμόζετο· τῶν κα
ταθυμίων λόγων αὐτῇ
μεταφέρουσα, καὶ ἡ μὲν

ἀφορμὰς διδοῦν ἠρασ-
τὰ παρασκευάζουσα. ἕτερον

Δι περὶ τοῦ μεγάλου Βα-
σιλείου μνήμης τῇ ἀ-
κολουθίᾳ τοῦ λόγου πα-
ρεμπεσούσης, ἐμοὶ μὲν
ἐπὶ χαλεπὴν ψυχὴν καὶ
σωματικῶς περιέπεσε κατηφεί-
α τὸ πρόσωπον. καὶ ἐξε-
χεῖτο τῶν βλεφάρων τὰ
δάκρυα. ἡ δέ, τοσοῦ-
τον ἀπέσχε τῶν μετέ-
ρων σῶ τὸ πεινωθῆναι,
πάθει, ὥστε ἀφορ-
μήν, ποιησαμένη τῶν
ὑψηλοτέρας φιλο-
σοφίας τὴν περὶ τοῦ ἀ-
γίου μνήμην, τοιούτοις
διεξῆλθε λόγοις. φυ-
σιολογοῦσα τὸ ἀνθρώπινον·
καὶ τὴν θείαν οἰκονομί-
αν τὴν διὰ τῶν σκυθρω-
πῶν κεκρυμμένην, τῷ
λόγῳ διαμακαλύπτου-
σα. τά τε περὶ τῆς μελ-
λούσης ζωῆς καθάπερ
κινουμένη τῷ ἁγίῳ
πνεύματι διεξιοῦσα. ὥστε
μου τὴν ψυχὴν ἔξω μι-
κροῦ δεῖν τῆς ἀνθρωπίνης φύ-
σεως εἶναι δοκεῖν, συ-
μπαρθεῖσαν τοῖς λεγο-
μένοις. καὶ ἐν τοῖς τῶν
ὀπτιῶν ἀδύτων τὴν χει-
ραγωγίαν καθισταμένην. ἕτ

ὥσπερ ἐπὶ τῆς τοῦ Ἰὼβ
ἱστορίας ἀκούομεν. ὅ-
τι πάντοθεν τῇ σηπε-
δόνι τῶν τραυμάτων
ὅλον τὸ σῶμα διαϊχω-
ρων ὁ ἀνὴρ συντηκόμενος
οὐ πρὸς τὸ ἀλγεινὸν τὴν
αἴσθησιν τοῖς λογισμοῖς
ἐπεκλίνετο. ἀλλ᾽ ἐν μὲν
τῷ σώματι τὸ ἄλγος
εἶχεν. ὁ δέ, πρὸς τὴν
ἰδίαν ἐνέργειαν οὐκ ἐμ-
βλώσκων. οὐδὲ διέκο-
πτε τὸν λόγον τοῖς ὑψη-
λοτέροις ἐμβατεύοντα,
τοιοῦτόν τι καὶ ἐπὶ τῆς
μεγάλης ἑώρων ἐκείνης.
τοῦ πυρετοῦ πᾶσαν τὴν
δύναμιν αὐτῆς κατα-
φρύγοντος. καὶ πρὸς
τὸν θάνατον συνελαύνον-
τος καθάπερ δρόσῳ
τινὶ τὸ σῶμα ἑαυτῆς
ἀναψύχουσα, οὕτως
ἀπαραπόδιστον εἶχεν
ἐν τῇ περὶ τῶν ὑψηλῶν
θεωρίᾳ τὸν νοῦν. οὐ-
δὲν ὑπὸ τῆς τοιαύτης ἀσθε-
νείας παραβλαπτό-
μενον. καὶ εἰ μὴ πρὸς

Ἄπειρον δ᾽ ἐξέτεινε τὸ μῆκος
ἡ συγγραφή, πάντα ἂν
καθεξῆς διηγησάμην. ὅ-
πως ἐπήρθη τῷ λόγῳ
περί τε ψυχῆς ἡ μὲν φι-

λοσοφοῦσα, καὶ τῆς δια-
στηκὸς ζωῆς τὴν αἰτί-
αν ἀποδεικνῦσα· καὶ ὅτου
χάριν ὁ θάνατος· καὶ ὅπως
θνητός· καὶ ὅθεν ὁ θά-
νατος· καὶ τίς ἡ ἀπὸ
τούτου πρὸς τὴν ζωὴν
πάλιν ἀνάλυσις· ἐν οἷς
ἅπασιν ὥσπερ ἐμπνευ-
σθεῖσα τῇ δυνάμει
τοῦ πνεύματος, πάντα διέξει-
σι σαφῶς τε καὶ ἀκολού-
θως· ἵνα κάλλιστα πά-
σῃ τοῦ λόγου ῥέοιτο·
καθάπερ ἐκ πηγῆς τινος
καὶ ἀπαραποδίστως πρὸς
τὸ πέρας ἐκφερομένου
τοῦ ὕδατος. ἐπειδὴ δὲ σὺν-
Νεπεραίνη ὁ λόγος, ὥσ-
περ σοι φησὶν ἀδελφὲ
πολλῶν τῶν κόπων τῆς ὁ-
δοιπορείας τῆς πονη-
τῆς, βραχύ τι διαναπαῦ-
σαι τὸ σῶμα· καὶ μέν μοι με-
γάλη τε καὶ ἀληθὴς
ἀνέσεις ἦν, τὸ περισσο-
ρῆν τε αὐτήν, καὶ τῶν με-
γάλων ἐπακροᾶσθαι
λόγων· ἐπεὶ δὲ τοῦτο
κεχαρισμένον αὐτῇ, ὥ-
σπερ διαπάντων πεῖθε-
σθαι τῇ διδασκάλῳ δο-
κοίην, ἐν τινι τῶν παρα-
κειμένων κηπίων· χα-
ρίεσσαν τινὰ κατὰ τὴν γῆν

παρασκευασμένην εὑρών
ὑπὸ τὴν τῶν ἀναδενδρά-
δων σκιὰν ἀναπαυόμην·
ἀλλ' οὐκ ἦν δυνατὸν τῶν
εὐφραινόντων τὴν αἰ-
σθησιν ἔχειν· τῆς ψυχῆς
Ἔνδοθεν τῇ τῶν σκυθρω-
πῶν ἐλπίδι συνεχομέ-
νης. τῶν γὰρ ἐν ὑποτυ-
πώσει ὄψις, ἐκκαλύπτει-
μοι διὰ τῶν φαινομένων
ἐδόκει τὸ αἴνιγμα· ἦν γὰρ
ὡς ἀληθῶς τὸ προκεί-
μενον θέαμα, μάρτυ-
ρος ἁγίου λείψανα. ὅ-
τι μὲν ἀμαρτία, μεμυ-
κρωται· τῇ δὲ ἐνοικού-
σῃ προσχάριτι, κατὰ τὸ
λάμπεται· καὶ ταῦτα πρὸς
τὴν ἀνάδειξιν τῶν πε-
ανηκόντων μοι τὸ ἐνύ-
πνιον· κατὰ τὴν φάσιν ἐθ-
δὲ κατὰ τὸ εἰκὸς ἡμῶν
ἐν τῇ προσδοκίᾳ τῶν
λυπούντων διακειμέ-
νων, οὐκ οἶδα πῶς σχο-
λασαμένη τίς ἐν ἡμῖν δια-
νοίας, ἀγγελίαν τινὰ τῆς
δοῦ μετέρων πρὸς ἡ-
μᾶς διαπεμψαμένη,
θαρρεῖν ἐκέλευε· καὶ
τὸ ἄμεινον ὑπὲρ αὐτῆς
ἔχειν ἐλπίδας· ἡ ἐπι-
αἴτιον γὰρ τῆς πρὸς τὸ κρεῖτ-
τον ῥοπῆς. ταῦτα δὲ τῶ,

Οὐ πρὸς ὃ ἀπάτην ἐλέγετο,
ἀλλ' ὃ ἐξ αὐτῆς τῆς ἀληθεί-
ας ὁ λόγος ἦν. καὶ ἡμεῖς
πρὸς τὸ παρὸν ἠγνοήσα-
μεν. πῶς οὖν; τί γὰρ καθά-
περ τις δρομεὺς παρα-
δραμὼν τὸν ἀντίπαλον.
καὶ ἤδη πρὸς τὸ τέρμα-
τι τοῦ σταδίου γενόμενος.
προσεγγίζων τῷ βραβεί-
ῳ, καὶ τὸν ἐπινίκιον
στέφανον βλέπων. ὥσ-
περ ἤδη τετυχηκὼς τῶν
προκειμένων, ἐπαγάλ-
λεται αὐτὸς ἑαυτῷ. καὶ
τοῖς ἐνμου στέροις τῶν
θεατῶν τὴν νίκην εὐα-
γγελίζεται. ἀπὸ τοιαύ-
της ἡμῖν διαθέσεως κα-
κείνη τάχα πρὸ τῆς πε-
εἰ αὐτῆς ἐλπίζειν ἐδί-
δου. ἤδη πρὸς τὸ βραβεῖ-
ον τῆς ἀνακλήσεως βλέ-
πουσα. καὶ μονονουχὶ
τὸ τοῦ ἀποστόλου καὶ ἐ-
φεῖ αὐτῇ φθεγγομένη, ὅ-
τι ἀπόκειταί μοι λοιπὸν,
ὁ τῆς δικαιοσύνης στέφα-
νος. ὃν ἀποδώσει μοι
ὁ δίκαιος κριτής. ἐπει-
δὴ τὸν καλὸν ἀγῶνα ἠγώ-
νισμαι. καὶ τὸν δρόμον
τετέλεκα. καὶ τὴν πίστιν
τετήρηκα. ἡμεῖς μὲν
οὖν πρὸς τὴν τῶν ἀγαθῶν

ἀγγελίαν, ἀθυμοῦμεν κατα-
στάντος, τῆς τῶν προκει-
μένων ἀπολαύσεως
ἡμῶν. ποικίλα δὲ ἦν
αὐτὰ καὶ πάσης πεπλη-
ρωτο θυμηδίας, ἡ πα-
ρασκευή. οὕτω τῆς μεγά-
λης καὶ μέχρι τοῦ τῶν τῆ
σπουδῆς κατιούσης. ἐ-
πειδὴ, πάλιν ἐν ὀφθαλ-
μοῖς ἡμῶν αὐτῆς. οὐ
γὰρ εἶτα τὴν εὔχολον κώ-
ραν ἐφίεται τῶν διαλγεῖν,
ἀναλαβοῦσα τῶν ἐκ νεό-
τητος αὐτῆς βεβιωμέ-
νων τὴν μνήμην, καθά-
περ ἐπὶ συγγραφῆς
πάντα καθεξῆς διεξήρ-
χετο. καὶ ὅσα τῆς τῶν
Πατέρων ζωῆς διαμνη-
μης, ~~καθάπερ ἐπὶ συγ-~~
~~γραφῆς~~ εἶχε, καὶ τὰ
πρὸ τῆς ἐμῆς γεννή-
σεως, καὶ τὸν μετὰ ταῦ-
τα βίον. ὅλως πῶς διὰ αὐ-
τῆ τοῦ διηγήματος ἦν,
ἡ πρὸς τὸν θεὸν εὐχαριστί-
α. τῶν γὰρ γονέων, ἀ-
πεδείκνυ τὸν βίον, τό-
τοσοῦτον ἐκ παιδὸς ἀνα-
λαμπρὸν τοῖς πᾶσι
καὶ περίβλεπτον ὄντα,
ὅσον ἐκ θείας φιλανθρωπίας
ἐπαυξηθέντα, τῶν μετὰ
τοῦ πρὸς γονέων δίαιταν

εἰς χεῖρ ὁμολογίαν δεδη-
μένων μελῶν. τοῦ δὲ κα-
τὰ μερᾶ προπάτορος,
ἐκ βασιλικῆς ἀγανακτή-
σεως ἀναιρουμένου.
καὶ πάντων τῶν προ-
σόντων εἰς ἑτέρους
μετακεχωρηκότων δε-
σπότας. καὶ ὅμως εἰς το-
σοῦτον διὰ πίστεως τὴν
ζωὴν αὐξηθῆναι. ὥστε
μὴ εἶναι τὸν ὑπὲρ αὐτὸν,
ἐν τοῖς τότε χρόνοις ὀ-
νομαζόμενον. πάλιν
δὲ τῆς περιουσίας αὐτῶν
κατὰ τὸν ἀριθμὸν τῶν
τέκνων ἐννεαχῆ διατ-
μηθείσης, οὕτως ἑκά-
στῳ διὰ εὐλογίας πληθυν-
θῆναι τὴν μοῖραν, ὡς ὑπὲρ
τὴν τῶν γονέων εὐκλη-
ρίαν, τὴν ἑκάστου τῶν
τέκνων γενέσθαι ζωήν. αὐ-
τῆς δὲ ἐκείνης τῶν μὲν
ἐπονομασθέντων αὐτῇ,
κατὰ τὴν τῶν ἀδελφῶν
ἰσομοιρίαν, ὑπολειφθῆ-
ναι μηδέν. ἀλλὰ πάντα
ταῖς χερσὶ τοῦ ἱερέως κα-
τὰ τὴν θείαν ἐντολήν,
οἰκονομηθῆναι. τὸν δὲ
βίον αὐτῆς τοιοῦτον ἐκ
τῆς τοῦ θείου χορηγίας
γενέσθαι, ὥστε μὴ δὲ πο-
τε λῆξαι τὰς χεῖρας
εἰς ἐντολὴν ὑπουργούσας.
Ἠκ δὲ πρὸς ἄνθρωπον ἀποβλέ-
ψαι ποτέ. μὴ δὲ διά τι-
μος ἀνθρωπίνης εὐεργε-
σίας γενέσθαι αὐτῇ τὰς
πρὸς τὴν ἀναγκαίαν δια-
γωγὴν ἀφορμάς. ἀλλὰ
μή τε τοὺς αἰτοῦντας ἀ-
ποστραφῆναι, μή τε τοῦ
ἐπιδοῦναι ἐπιζητῆσαι.
λεληθότος τοῦ Θεοῦ καθά-
περ τινὰ σπέρματα, τὰς
βραχείας ἐκ τῶν ἔργων
ἀφορμάς, εἰς πολυ-
χοῦν καρπὸν ταῖς ἀλλοι-
αις ἐπαύξοντος. ἐμοῦ
δὲ τοῦ ἰδίου πόνου ἐν τοῖς
ἡμῖν διαβιοῦντος. πρό-
τερον μὲν, τοῦ βασιλέ-
ως Οὐάλεντος διὰ τὴν
πίστιν ἐλαύνοντος. με-
τὰ ταῦτα δὲ τῆς ἐνταῦθα
ἐκκλησίας συγχύσεως
πρὸς ἄθλους ἡμᾶς καὶ
καμάτους συγκαλουμέ-
νης, οὐ παύσῃ φησὶν
ἡ μεγάλη, ἀγνωμόνως
ἐπὶ τοῖς θείοις ἀγαθοῖς
διακείμενος; οὐ θερα-
πεύσεις τῆς ψυχῆς
τὸ ἀχάριστον; οὐκ ἄν τι
παραθείσεις τοῖς τῶν
προσόντων τὰ σά; καίτοι γε
κατὰ τὸν κόσμον τοῦτον
ὄντος τούτῳ δὴ μάλιστα μεγα

λαχοῦ μέν, ἐν τῷ αὐτῷ γὰρ
μένειν καὶ ἀπὸ τῶν ἀγενῶν φυ
γεῖν δοκεῖν· πολύς φησι
κατὰ τὴν παιδείαν τοῖς το
σούτοις χρόνοις ὁ πατὴρ γινόμε
ζετο; ἀλλὰ μέχρι τῶν
ἀρχαιείων δικαστηρίων,
ἡ κατ' αὐτῶν ἐπὶ δόξα
μετὰ ταῦτα δὲ τῶν λόγων
διὰ σοφιστικῆς αὐτοῦ κα
θηγουμένου. οὐκ ἐξῆλ
θε τὸν ποιοῦντον ἡ φήμη·
ἀλλ' ἀγαπητὸν ἦν ἐκεί
νῳ. τὸ εὖ τι περιὰ παρα
βλέπειν· οὐδὲ φησὶν,
πολῖται καὶ δήμοις καὶ
ἔθνεσιν, ὀνομαστὸς ἦν·
καὶ σὲ πρὸς συμμαχίαν
τε καὶ διορθώσειν, ἐκκλη
σίαι πέμπουσι, καὶ ἐκκλη
σίαι καλοῦσι· καὶ ἡ χώρα
τὴν χάριν; οὐδὲ ἐπιτή
μοῦ σκηνῆς τῶν τηλικού
των ἀγαθῶν τὴν αἰτίαν;
ὅτι σοὶ τῶν γονέων αἰεὶ εὐ
χαὶ πρὸς ὕψος αἴρουσιν,
οὐδὲ μίαν ἢ ὀλίγην οἴκο
θεν ἔχοντα πρὸς τοῦτο
παρασκευήν; ταῦτα δὲ
δεξιοῦσθαι, ἐγὼ μὲν παρα
τείνεσθαι πλέον, τὸ ἡμε
ρήσιον ὑπὲρ θοῦ μέτρον·
ὥσπερ ὑμῖν λήξειε κατα
πλεῖ καὶ μονὰς ἡμῶν τὴν
ἀκοήν· ἀλλ' ἡ φωνὴ τῶν

ψαλλόντων, πρὸς ταῖς ἐ
πιλυχνίοις εὐχαριστίαις
ἐξεκαλεῖτο· καί με πρὸς
τὴν ἐκκλησίαν ἐκπέμ
ψασα, πάλιν ἡ μεγά
λη διὰ τῶν ἀρχῶν πρὸς
τὸν χριστὸν ἐχώρει· καὶ ἡ μὲν
νύξ, ἐν τούτοις ἦν· ὡς
δὲ ἡμέρα ἐγένετο, ἐμοὶ
μέν, πρόδηλον ἐκ τῶν
ὁρωμένων ἦν. ὅτι ὁ
ἔσχατος αὐτῇ τῆς κα
τὰ σάρκα ζωῆς ὅρος, ἡ
ἐνεστῶσα ἡμέρα ἦν· πᾶ
σαν τὴν ἐγκειμένην τῇ
φύσει δύναμιν, τοῦ
πυρετοῦ δαπανήσαντος·
ἤδη, πρὸς τὸ ἀσθμαῖνον ἡμῶν
τῆς διανοίας βλέπου
σα, παραγγέλλειν ἡμᾶς ἐκ
τῆς κατηφείας ἐλπί
δος ἐμοὶ χαρίζεσθαι· πάλιν
τοῖς καλλοῖς ἐκείνοις λό
γοις διαχέουσα τῆς ψυ
χῆς τὸ λυπούμενον, ἐν
λεπτῷ τὸ λοιπὸν καὶ συ
νεχομένῳ τῷ ἄσθματι
ἐνθάδε καὶ μάλιστα ποι
κίλως διατίθεταί μοι
πρὸς τὸ φαινόμενον
ἡ ψυχή· τῆς μὲν φύσε
ὡς, εἰς σκυθρωπὸν τὰ
τὸ εἰκὸς βαρουμένης,
διὰ τὸ μηκέτι πρὸς δὲ
καὶ τῆς τοιαύτης φω

μῆς, καὶ αὖθις ἀκούσε
σθαι. ἀλλ' ὅσον οὐδέπω
τὸ κοινὸν καὶ χαμαὶ τῆς
γῆς ἀπελπίζειν ἐκ
τοῦ ἀνθρωπίνου βίου μετα
στήσεσθαι. τῆς δὲ ψυ
χῆς οἷον ἐνθουσιώσης
ἐκ τῶν φαινομένων· καὶ
οἷον ἐκβεβηκέναι τὴν
κοινὴν φύσιν ὑπονοούσης·
τὸ γὰρ μὴ δὲ ἐν ταῖς ἐσχάταις
ἀναπνοαῖς οὐδὲν πα
θεῖν τινα ξενισμὸν ἐπὶ
τῇ ἐλπίδι τῆς μεταστάσε
ως μὴ δὲ δειλιάσαι

Πρὸς τὸν χωρισμὸν τῆς
ζωῆς, ἀλλ' ὑψηλῇ
τῇ διανοίᾳ τῆς ἐξ ἀρ
χῆς αὐτῇ περὶ τοῦ τῇ
δε βίου κεκριμένης,
μέχρι τῆς ἐσχάτης ἐμ
φιλοσοφεῖν ἀναπνο
ῆς, οὐκέτι μοι ἐδόκει
τῶν ἀνθρωπίνων εἶναι· ἀλλ'
οἷον ἀγγέλου τινὸς οἰ
κονομικῶς ἀνθρωπίνην ὑπελ
θόντος μορφήν. ᾧ μη
δεμιᾶς οὔσης πρὸς
τὸν ἐν σαρκὶ βίον συγγε
νείας ἢ οἰκειώσεως, οὐ
δὲν ἀπεικὸς ἦν ἀπαθεί
ᾳ τὴν διάνοιαν μένειν·
μὴ καθελκούσης τῆς σαρ
κὸς τὸν νοῦν πρὸς τὰ
ἴδια πάθη. διὰ τοῦτό

μοι δοκεῖ, τὸν θεῖον ἐκεῖ
νον καὶ καθαρὸν ἔρωτα
τοῦ ἀοράτου νυμφίου
ὃν ἐγκεκρυμμένον εἶ
χεν ἐν τοῖς τῆς ψυχῆς
ἀπορρήτοις τρεφόμε
νον, ἔκδηλον ποιεῖν
τότε τοῖς παροῦσι καὶ
δημοσιεύειν τὴν ἐν καρ
δίᾳ διάθεσιν, τῷ ἐπεί
γεσθαι πρὸς τὸν ποθού
μενον· ὡς ἂν διὰ ταχέ
ων αὐτῷ γένοιτο, τῶν
δεσμῶν ἐκλυθεῖσα τοῦ
σώματος. τῷ ὄντι γὰρ,
ὡς πρὸς ἐραστὴν ὁ δρό
μος ἐγίνετο· οὐδενὸς
ἄλλου τῶν κατὰ τὸν
βίον ἡδέων πρὸς ἑαυ
τὸν ἐπιστρέφοντος
καὶ τῆς μὲν ἡμέρας
ἤδη, παρῳχήκει τὸ πλέ
ον· καὶ ὁ ἥλιος πρὸς
δυσμὰς ἐπέκλινεν· αὐ
τῇ δὲ, οὐκ ἐνεδίδου ἡ
προθυμία. ἀλλ' ὅσον
τῇ ἐξόδῳ προσήγγιζεν,
ὥσπερ πλέον θεωροῦσα
τοῦ νυμφίου τὸ κάλλος,
ἐν σφοδροτέρᾳ τῇ ὀρέ
ξει, πρὸς τὸν ποθούμε
νον ἵετο· τοιαῦτα φθεγ
γομένη. οὐκέτι πρὸς
ἡμᾶς τοὺς παρόντας· ἀλ
λὰ πρὸς αὐτὸν ἐκεῖνον

πρὸς ὃν ἀτενῶς ἐφεώρα
τοῖς ὄμμασι· πρὸς γὰρ
ἀνατολὴν τέτραπτο
αὐτῆς τὸ χαμαίμιον·
καὶ ἀποστᾶσα τοῦ πρὸς
ἡμᾶς διαλέγεσθαι, δι' εὐ-
χῆς ὡμίλει τολοιπὸν τῷ
θεῷ· χερσί τε ἱκετεύουσα,
καὶ ὑποφθεγγομένη λεπτῇ
φωνῇ· ὥστε ἡμᾶς ἐπαΐ-
ειν τῶν λεγομένων μετρί-
ως· τοιαύτη δὲ ἦν ἡ εὐ-
χή, ὡς μηδὲ ἀμφιβάλ-
λειν ὅτι καὶ πρὸς τὸν
θεὸν ἀνέβαινε καὶ παρ' ἐκεί-
νου ἠκούετο· σὺ φησὶν
ἔλυσας ἡμῖν κ(ύρι)ε τοῦ
θανάτου τὸν φόβον· σὺ
ζωῆς ἀληθινῆς, ἀρχὴν
ἡμῖν ἐποίησας, τὸ τέ-
λος τῆς ἐνταῦθα ζωῆς·
σὺ πρὸς καιρὸν, ἡμῶν ὕ-
πνῳ διαναπαύεις τὰ
σώματα· καὶ πάλιν ἀ-
φυπνίζεις ἐν τῇ ἐσχάτῃ
σάλπιγγι· σὺ δίδως πα-
ρακαταθήκην τῇ γῇ, τὴν
ἡμετέραν γῆν, ἣν ταῖς
σαῖς χερσὶν ἐμόρφωσας
καὶ πάλιν ἀνακομίζῃ ὃ δέ-
δωκας· ἀφθαρσίᾳ
χάριτι μεταμορφώσας, τὸ
θνητὸν ἡμῶν καὶ ἄσχημον·
σὺ ἐρρύσω ἡμᾶς, ἐκ τῆς
κατάρας καὶ τῆς ἁμαρτί-
ας· ἀμφότερα ὑπὲρ ἡ-
μῶν γενόμενος· σὺ συνε-
θλάσας τὰς κεφαλὰς τοῦ
δράκοντος· τοῦ διὰ τοῦ
χάσματος τῆς παρακοῆς,
τῷ λαιμῷ διαλαβόντος
τὸν ἄνθρωπον· σὺ ὡδοποίησας
ἡμῖν τὴν ἀνάστασιν· συν-
τρίψας τὰς πύλας τοῦ ᾅ-
δου καὶ καταργήσας τὸν
τὸ κράτος ἔχοντα τοῦ
θανάτου διάβολον· σὺ
δὲ ἔδωκας τοῖς φοβουμέ-
νοις σε, σημείωσιν, τὸν
τύπον τοῦ ἁγίου σταυροῦ,
εἰς καθαίρεσιν τοῦ ἀντι-
κειμένου καὶ ἀσφάλει-
αν τῆς ἡμετέρας ζωῆς.
ὁ θεὸς ὁ αἰώνιος· ᾧ ἐπερ-
ρίφην ἐκ κοιλίας μητρός
μου· ὃν ἠγάπησεν ἡ ψυ-
χή μου, ἐξ ὅλης δυνάμε-
ως· ᾧ ἀνέθηκα καὶ τὴν
σάρκα καὶ τὴν ψυχὴν ἀπὸ
νεότητός μου καὶ μέχρι
τοῦ νῦν, σύ μοι παράστη-
σον φωτεινὸν ἄγγε-
λον τὸν χειραγωγοῦντά
με πρὸς τὸν τόπον τῆς
ἀναψύξεως· ὅπου τὸ
ὕδωρ τῆς ἀναπαύσεως,
παρὰ τοὺς κόλπους τῶν
ἁγίων πατέρων, ὁ διακό-
ψας τὴν φλογίνην ῥομ-
φαίαν καὶ ἀποδοὺς

τῷ παραδείσῳ τὸν ἄνθρωπον τὸν σοὶ σταυρωθέντα σοι· καὶ ἀποπεσόντα τοῖς οἰκτιρμοῖς σου· κἀμοῦ μνήσθητι ἐν τῇ βασιλείᾳ σου· ὅτι κἀγὼ σοὶ συνεσταυρώθην· καθηλώσα

Ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· καὶ ἀπὸ τῶν κριμάτων σου φοβηθεῖσα, μὴ διαχωρισάτω με τὸ χάσμα τὸ φοβερὸν ἀπὸ τῶν ἐκλεκτῶν σου· μὴ δὲ ἀντιστήτω ὁ βάσκανος τῇ ὁδῷ μου· εἴ τι σφαλεῖσα διὰ τὴν ἀσθένειαν τῆς φύσεως ἡμῶν· ἐν λόγῳ· ἢ ἔργῳ· ἢ κατὰ διάνοιαν ἥμαρτον, ὁ ἔχων ἐπὶ γῆς ἐξουσίαν ἀφιέναι ἁμαρτίας, ἄφες μοι ἵνα ἀναψύξω· καὶ εὑρεθῶ ἐνώπιόν σου ἐν τῇ ἀπεκδύσει τοῦ σώματός μου· μὴ ἔχουσα σπῖλον ἐν τῇ μορφῇ τῆς ψυχῆς μου· ἀλλὰ ἄμωμος καὶ ἀκηλίδωτος προσδεχθείη ἡ ψυχή μου ἐν ταῖς χερσί σου, ὡς θυμίαμα ἐνώπιόν σου· καὶ ταῦτα λέγουσα, ἐπετίθει τὴν σφραγῖδα τοῖς ὀφθαλμοῖς· καὶ τῷ στόματι καὶ τῇ καρδίᾳ· καὶ κατ' ὀλίγον ἤτε γλῶσσα τῷ πυρετῷ καταφρυγεῖσα, οὐκέτι διήρθρου τὸν λόγον· καὶ ἡ φωνὴ ὑπεδίδου· καὶ ἐν μόνῃ τῇ τῶν χειλέων διαστολῇ· καὶ τῇ τῶν χειρῶν κινήσει, τὸ ἐν προσευχῇ εἶναι αὐτὴν ἐγνώσθημεν· καὶ ἐν τούτοις τῆς ἑσπέρας καταλαβούσης, καὶ φωτὸς εἰσκομισθέντος, ἀθρόον τὸν τῶν ὀμμάτων διαστείλασα κύκλον· καὶ πρὸς τὴν αὐγὴν ἀποβλέψασα, εὔδηλος μὲν ἦν καὶ φθέγξασθαι τὴν ἐπιλυχνίαν ἀναχεῖσαν προθυμουμένη· τῆς δὲ φωνῆς ἐπιλει

Πούσης, διὰ τῆς καρδίας καὶ διὰ τῆς τῶν χειρῶν κινήσεως, ἐπλήρου τὴν πρόθεσιν· καὶ τὰ χείλη πρὸς τὴν ἔνδοθεν ὁρμὴν συνεκίνει· ὡς δὲ ἐπλήρωσε τὴν εὐχαριστίαν καὶ ἡ χεὶρ ἐπαχθεῖσα διὰ τῆς σφραγῖδος τῷ προσώπῳ τὸ πέρας τῆς εὐχῆς διεσήμανεν, μέγα τι καὶ βύθιον ἀναπνεύσασα, τῇ προσευχῇ τὴν ζωὴν συγκατέληξεν· ὡς δὲ ἤδη τὸ λοιπὸν ἄπνοος τε καὶ ἀκίνητος, μνηαθεὶς τῶν

ἐν τολμῶν ἀσ εὐθετὸ παρὰ
τὴν πρώτην σῶν τυχὶ ἀν
των ποίητο, εἰ ποῦσ ἀβ
λεσθαι τὰς ἐμὰς τοῖς
ὀφθαλμοῖς αὐτῆς ἐπι
βληθῆναι χεῖρας· καὶ
διαμουτωμένου μόσχον
μὴν θεραπείαν ἐπαχθῆ
ναι τῷ σώματι, ἐπάγα
γον τῷ ἀνίσῳ προσώπω
μεν ἀρκοῦσαν ἐκ τοῦ πα
θους τὴν χεῖρα· ὅσον μὲν
διέξαι τῆς ἐν τολμῆς ἀμε
λεῖν· οὐ δεῖν γὰρ τῶν ἔμπρο
σθεν ὄντων οἱ ὀφθαλμοὶ προ
σεδέοντο, καθάπερ ἐπὶ
τοῦ κατὰ φύσιν γίνεται
ὑπὸ τοῖς βλεφάροις
εὐκόσμως ἐπιλεγμένοι·
τά τε χείλη προσφυῶς
μεμυκότα· καὶ αἱ χεῖρες
δ' ἐπὶ πλευρᾶς ἐπανακληθεῖ
σαι τῷ στήθει· πᾶσά τε
ἡ τοῦ σώματος θέσις, αὐ
τομάτως κατὰ τὸ ἄσχη
μον ἁρμοσθεῖσα, οὐ δεῖν
τῆς τῶν κοσμούντων χει
ρὸς ἐπεδέετο· ἐμοὶ δὲ
διχόθεν ἐκλυομένη ἦν
ἡ ψυχή· καὶ εἰς τὸ φαινόμε
νον ἀβλέπον· καὶ τὴν ἀ
κοὴν διὰ τῆς γοερᾶς τῶν
παρθένων οἰμωγῆς πολε
μουμένην. τέως μὲν γὰρ
ἐν ἡσυχίᾳ διεκαρτέρουν

αἱ κεῖναι δὲ τὴν ψυχήν, τὴν
ὀδύνην ἐγκατακλείου
σαι, τὴν τῆς οἰμωγῆς
ὁρμὴν τῷ πρὸς αὐτὴν
φόβῳ, δεδοικυῖαι καὶ
σιωπῶντος ἤδη τοῦ προ
σώπου, τὴν ἐπιτίμη
σιν. μήπου παρὰ τὸ
διατεταγμένον αὐταῖς
φωνῆς τινος παρ' αὐ
τῶν ἐκραγείσης, λυ
πηθείη πρὸς τὸ γινόμε
νον ἡ διδάσκαλος.
τοῦ πένθους οἱονεί πυ
ρὸς τινὸς ἔνδοθεν αὐ
τῶν τὰς ψυχὰς δια
σμύχοντος· ἐπειδὴ
οὐκέτι καταλκρατεῖσθαι
διῆν σιγῇ ἅμα τὸ πάθος
ἠδύνατο, ἀθρόον μὲν
γὰρ τις ἀναρρήγνυται
ἦχος. ὥστε μοι μηκέτι
μένειν ἐν τῷ καθεστηκό
τι τὸν λογισμόν· ἀλλ' αἱ
καθάπερ χειμάρρου τινὸς
ἐπικλύζοντος, ὑποβρύ
χιον παρενεχθῆναι τῷ
πάθει. καὶ τὸν ἐν χερσὶν
ἀμελήσαντα, ὅλον τῶν
θρήνων εἶναι· καί μοι δι
καία πως ἐδόκει καὶ εὔ
λογος ἡ τῶν θρηνῶν διὰ
φορά, μὲν ταῖς παρθένοις
εἶναι· οὐ γὰρ συνηθείας
τινὸς τῆς κατὰ σάρκα

κηδεμονίας, τὴν στέρη
σιν ἀποδυρόμενος· οὐδὲ
ἄλλο τι τοιοῦτον οὐδὲν
ἐφ᾽ ὧ πρὸς τὰς συμφο
ρὰς δυσανασχετοῦσιν
οἱ ἄνθρωποι· ἀλλ᾽ ὡς τῆς κατὰ
θεὸν ἐλπίδος αὐταῖς· ἐκ
τῆς τῶν ψυχῶν σωτηρί
ας ἀποσχισθείσαι, ταύ
τας ἐβόων· καὶ ταῦτα ἐν
τοῖς θρήνοις ἀπολοφυ
ρόμενος· ὅς βεβαίως ἐλέγου
σαι τῶν ὀφθαλμῶν ὁ λύ
χνος· ἀπηρέθη τὸ φῶς
τῆς τῶν ψυχῶν ὁδηγίας·
διελύθη τῆς ζωῆς ἡμῶν
ἡ ἀσφάλεια· ἤρθη ἡ σφρα
γὶς τῆς ἀφθαρσίας· δι
εσπάσθη ὁ σύνδεσμος τῆς
ὁμοφροσύνης· συνετρί
βη τὸ στήριγμα τῶν ἀτο
νούντων· ἀφηρέθη ἡ θε
ραπεία τῶν ἀσθενούν
των· ἐπισκοτεῖ νῦν καὶ
ἡ νὺξ αὐτὴ ἡμέρα ἦν,
ἐν καθαρᾷ ζωῇ φωτιζο
μένη· νῦν δὲ καὶ ἡ ἡμέρα
πρὸς ζόφον μεταστραφή
σεται· χαλεπὸν τὸ ἐνδεὲς
πρὸς τὰς ἄλλας τὸ πάθος
δεξάμεναι, αἱ μετ᾽ αὐτὴν
καὶ τεσ φὸν ἀνακαλοῦσαι.
ἦσαν δὲ αὗται, αἱ ἐν τῷ
τῆς σιτοδείας καιρῷ
κατὰ τὸ τάσσονσος, ἐρρίμ

μέναις ἀνελομένη, ἐτιθη
νήσατό τε καὶ ἀνεθρέψα
το· καὶ πρὸς τὸν καθαρὸν
τε καὶ ἄφθορον βίον ἐχει
ραγώγησεν· ἐπεὶ δὲ πᾶσαι
καθάπερ ἐκ βυθοῦ τινος
τὴν ἐμὴν τοῦ ψυχὴν ἀνε
λέξαμεν· πρὸς τὴν ἀνί
αν ἐκείνην κεφαλὴν ἀτε
νίσασαι· ὥσπερ ὑπό τι
νος ἐπὶ τῇ αἰτία τοῦ
ὑπὸ θορύβου βοῶν διά
τοῦ θρήνου, πρὸς ταύ
την βλέψατε εἶπον
μεγάλῃ φωνῇ πρὸς τὰς
παρθένους βοήσας,
καὶ τῶν παραγγελμάτων
αὐτῆς ἀναμνήσθητε· δι᾽
ὧν τὸ ἐμπόθητον τεταγ
μένον καὶ ἀρχῆ μόνη πρὸς
αὐτῆς ἐπαιδεύθητε· ἐ
να καιρὸν δακρύων
μὲν ἡ θεία ψυχὴ αὐτῇ
ἐνομοθέτησεν, ἐν τῷ
τῆς προσευχῆς καιρῷ
τοῦτο πράττειν· παρε
γγυήσασα· ὃ καὶ νῦν ποι
εῖν, δέξεσθαι τῆς τῶν θρη
νῳδιῶν ἀγωνίας, εἰς συμ
πάθειαν ψαλμῳδίαν μετα
τεθεῖσθαι· ταῦτα τελείαν
μείζονι τῇ φωνῇ· ὥστε
τὸν ἦχον τῶν θρήνων,
ὑπορηχῆσαι μοι. εἶτα
μετὰ στῆναι περικάλλους

μικρὸν ἐπὶ τὸν ζυγὸν τοῦ
δίκου· κατὰ τὴν φθῆναι δὲ
Τιμασιάδες αὐτῶν· ὧν ἡ δέ ὡς
ἐν τῇ ζωῇ τὴν θεραπείαν
ἂν προσίετο· ἐν ταύταις
ἡ γνώμη τις τῶν ἀρχημα-
γων· πλούτῳ καὶ γένει καὶ
τῇ τοῦ σώματος ὥρᾳ· καὶ
τῇ λοιπῇ περιφανείᾳ
περίβλεπτος ἐν μέσῳ τυγχά-
γενομένη· καὶ σωφρονεστά-
τη τινὶ τῶν ἐπὶ μείζο-
νος ἀξίας· καὶ βραχὺ ὡσοῦ
μοίρης σα χρόνον· καὶ ὑμμέ-
σῳ τῷ σώματι τῆς συζυ-
γίας διαζευχθεῖσα, τὴν
μεταλήμματα κείνων ποι-
ησαμένη φύλακα καὶ παι-
δαγωγόν, σῶμα εἶναι τὰ πολ-
λὰ ταῖς παρθένοις τὸν παρ-
θενικὸν βίον παραιτων
ἐκδιδασκομένη· οὐ ἔτι
ἀνὴ ὄνομα τῇ γυναικί· ἧσ-
περ, ὑπὲρ ἀξίως· εἰς τῶν
εἰς τὴν τῶν ὄντων ζω-
τελουμένων βουλήν· πρὸς
ταύτην εἶπον· ἀνεπί-
φθονον εἶναι· γινώσκω
τὸν φαιδρὸν τοῦτον ἐπι-
βάλλειν κόσμον τῷ σώμα-
τι· καὶ λαμπραῖς ὁθόναις
κατακοσμεῖσθαι τὴν καθα-
ρὰν ἐκείνην καὶ ἀκηλίδω-
τον σάρκα. ἡ δέ, μαθεῖν
ἔφη χρῆναι, τί τὰ ἅγια ποδέ-

τούτων καλῶς ἔχειν ἐδο-
κίμασεν· μὴ γὰρ ἀγαθὸν
εἶναι παρὰ τὸ κεχαρισμέ-
νον αὐτῇ παρ' ἡμῶν τι
γενέσθαι· πάντως δὲ ὅτι
τῷ θεῷ φίλον τε καὶ ἀρε-
στόν, κἀκείνῃ καταθύ-
μιον εἶναι· καὶ ἡ ἡ τις
προτεταγμένη τοῦ χοροῦ
τῆς παρθενίας βαθμῷ·
λαμπάδα διά, ὄνομα αὐτῇ
ἦν ἀκριβῶς ἐφηγήσασθαι,
περὶ τῶν κατὰ τὴν τα-
φὴν δεδογμένων ἐκεί-
νῃ· ἐπειδὲ ἠρόμην αὐ-
τὴν περὶ τούτων· παρ' οὐ-
σα γὰρ ἔτυχε τῇ βουλῇ σου,
ἔφη μετὰ δακρύων ταῦ-
τα λέγουσα· τῇ ἁγίᾳ κο-
σμεῖς ὁ καθαρὸς βίος διε-
σπούδασθη· τοῦτο, καὶ τῆς
ζωῆς ἐν ἀλλοτρίοις μα-
καὶ τοῦ θανάτου ἐν τάφῳ
ὁμοίως ἐκείνῃ· τὰ δὲ
παρ' ὅσα καλλωπίσματα
σώματος βλέπει, οὔτε
ἐν τῷ τῆς ζωῆς χρόνῳ προ-
σήκατο, οὔτε εἰς τὴν πα-
ροῦσαν χρῆσιν ἐπάμειδ-
σα· ὥστε οὐδὲ βουλο-
μένοις ἡμῖν εἶναί τι πλέ-
ον τῆς εἰς αὐτὸ τοῦτο πα-
σκευῆς οὐ παρούσης· καὶ
οὐκέτι ἦν ἐν τοῖς ἀποκει-
μένοις εὑρεῖν ἔφην ἐγώ·

τῶν ἐπικοσμῆσαι τι δυνα-
μένων τὴν ἐκφοράν; ποῖ-
οις εἶπεν ἀποκειμένοις·
ἐν χερσὶν ἔχεις πάντα ἃ ἀ-
πέθετο. ἰδοὺ τὸ ἱμάτιον·
ἰδοὺ τῆς κεφαλῆς ἡ καλύ-
πτρα· τὰ τετριμμένα τῶν
ποδῶν ὑποδήματα. οὗτος
ὁ πλοῦτος· αὕτη ἡ περιουσί-
α. οὐδὲν παρὰ τὸ φαινό-
μενον ἐν ἀποκρύφοις ἀπό-
κειται κιβωτίοις τισίν,
ἢ θαλάμοις ἠσφαλισμένον.
μίαν ἀποθήκην ᾔδει τοῦ
ἰδίου πλούτου, τὸν θη-
σαυρὸν τὸν οὐράνιον· ἐκεῖ
πάντα ἀποθεμένη, οὐδὲν
ἐπὶ τῆς γῆς ὑπελείπε-
το. τί οὖν; ἔφην πρὸς
αὐτὴν ἐγώ· εἰ τῶν ἐμοὶ
πρὸς τὴν ταφὴν ἡτοιμασμέ-
νων εἰσαγάγοιμι· μή τι τῶν
ἀβουλήτων αὐτῇ διὰ τού-
του γενήσεται; οὐκ οἴεσθαι
ἔφη τοῦτο παρὰ γνώμην
εἶναι αὐτῇ· προσέσθαι
γὰρ ἂν αὐτὴν καὶ ζῶσαν, τὴν
τοιαύτην παρὰ σοῦ τιμήν,
κατ' ἀμφότερα· διά τε
τὴν ἱερωσύνην, τὴν ἀεὶ τι-
μέλει καὶ τὴν θαυμασί-
αν ταύτην γυναῖκα εἰς
ἐνδοιασμὸν ἐμβάλλουσι.
φαντασίαν οἰηθῆναι τὸ
πρᾶγμα. καὶ ἦν εἰκὸς καὶ
ταύτην ἀπιστοῦν τι παθεῖν.
καὶ διαπιστεῖν ἑαυτῇ. καὶ
ταῦτα τῆς φήμης ταχεῖ
τῷ πτερῷ χρησαμένης,
ὅτι νυκτὸς οἱ μαθηταὶ
αὐτοῦ ἐλθόντες ἔκλεψαν
αὐτόν. ἀλλ' οὕτως ἀμφι-
βόλως ἔχουσα, ὅμως οὐ-
κ ἀφίστατο τοῦ μνημείου.
ἀλλὰ καὶ τῶν μαθητῶν
ἐκποδὼν γενομένων, μα-
κάρια φησὶν εἱστήκει κλαίουσα
ἔξω. τὸ μέν, ὡς τῆς ἐλπί-
δος διαπεσοῦσα. τὸ δ' ἔτι
καὶ μικρὰ δὲ μαι ἔχουσα. εἴτ'
ἐκλάπη ὡς λόγος, εἴτ' ἤρθη.

καὶ κλαίουσα· παρακύ-
πτει πάλιν εἰς τὸ μνημεῖ-
ον, ἔτι διαπιστοῦσα· καὶ
θεωρεῖ δύο ἀγγέλους ἐν
λευκοῖς καθεζομένους,
ἕνα πρὸς τῇ κεφαλῇ· καὶ
ἕνα πρὸς τοῖς ποσίν·
ὅπου ἔκειτο τὸ σῶμα τοῦ
Ἰησοῦ. καὶ λέγουσιν αὐτῇ
ἐκεῖνοι· γύναι τί κλαί-
εις· τίνα ζητεῖς· ὥσπερ
μὲν οὖν τί μόνον τῶν εἰσ-
τα ῥήματα τὰ μετὰ τὸ ἄρ-
σαι τὴν θέαν, γύναι τί
κλαίεις· ἔτι ἀρμοδίως
διάκεισαι. καὶ οὐδὲν μέ-
γα ἐννοῆσαι δύνῃ· τί-
να ζητεῖς· οὐκ εἶδες; σὺ
τῶν ποδῶν ἥψω; οὐ τῆς
φωνῆς σοι μετέδωκε;
τοῦτον ζητεῖς; ἡ δὲ λέ-
γει· ἦραν τὸν κύριόν μου
ἐκ τοῦ μνημείου καὶ
οὐκ οἶδα ποῦ ἔθηκαν αὐ-
τόν· ἔτι τὰ ἐν τῷ τόπῳ ἀ-
γγέλους ἀναστῆναι σπουδῇ,
ἴσως τοῦ σωτῆρος ἐκεῖσε πα-
ραγενομένου, στραφεῖ-
σα ἐκείνη θεωρεῖ τὸν Ἰη(σοῦ)ν
ἑστῶτα· καὶ οὐκ ᾔδει ὅτι Ἰη-
σοῦς ἐστι· τὸ μέν, ὅτι ἐν
ἀφθάρτῳ ἦν σώματι με-
τὰ τὴν ἀνάστασιν· καὶ
οὕτως ἂν τὰ παρ᾽ ἡμῖν ὁρατός
ἦν μὴ οἷς καὶ ὅτε βούλοι-
το· τὸ δ᾽ ὅτι καὶ τὴν
τῶν δακρύων ἀχλὺν ἐ-
μοὶ διὰ ταῦτα μὴ καθαρῶς
καθορᾶν· ἢ ἴσως καὶ τοῦ
Χριστοῦ τοῦτο οἰκονομήσαν-
τος. λέγει αὐτῇ ὁ Ἰησοῦς·
γύναι, τί κλαίεις; τί-
να ζητεῖς; ἐκείνη φησί
δοκοῦσα ὅτι ὁ κηπουρός
ἐστι, λέγει αὐτῷ· κύριε, εἰ
σὺ ἐβάστασας αὐτόν, εἰ-
πέ μοι· κἀγὼ αὐτὸν ἀρῶ·
ὡς ἀγνεῖ. εἰ σὺ ἐπῆρας καὶ
σὺ τοῖς ἐπάρασιν, εἰ-
πέ μοι· κἀγὼ αὐτὸν ἀρῶ.
ὢ γυναικείου φίλτρου,
ὢ διαπύρου πόθου· οὕ-
τως οὐδὲν τῆς ἀληθοῦς
ἀγάπης σώματα καὶ ἰσχυ-
ρόν· πόθεν δὲ ἐπῆλθε
καὶ κηπουρὸν αὐτὸν οἰη-
θῆναι; ἢ δῆλον ὅτι
ἐν τῷ κήπῳ τὸ μνημεῖ-
ον ὑπῆρχεν· οὐκ ἔξω λόγου, τὸν
ἀληθῆ καὶ πρῶτον τοῦ
παραδείσου φυτουργόν,
οὕτως ὑπολαβεῖν. ἀλλ᾽

Τῆς μὲν Μαρίας οὕτω περὶ τὴν
ἔρευναν ἐπτοημένης
τοῦ σώματος, ἔνθεν τε
κἀκεῖθεν ἀνατρεχούσης,
ὁ διηκονούμενος λόγος
ἐλεεῖ καὶ αὐτὴν σαρκῶν
καὶ μελῶν οὕτω βα-
σανιζομένην, φωνήματι

τὸ βλέμμα ταύτης ὀξύνει, πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν. καὶ ὀνομαστὶ ταύτην καλεῖ· μαρία. ἡ δὲ, τῆς συνηθείας καὶ συνήθους αὐτῷ μόνης φωνῆς, θᾶττον ἢ λόγος ἐπιστραφεῖσα, ῥαββουνὶ φησίν· ὃ λέγεται διδάσκαλε. καὶ αὖθις τῶν ὡραίων αὐτοῦ ἐφάψασθαι ἐζήτει ποδῶν. ἐπεὶ γὰρ ἐξ ὄψεως καὶ ἀκοῆς αὐτὸν ἔγνω, καὶ διὰ ἁφῆς ἀκριβώσασθαι ἤθελε. καὶ ὁρμῆς εἰς τοῦτ' ἔχουσα· τοῦτο γὰρ τῷ εὐαγγελιστῇ σεσιώπηται. ἀκούει μή μου ἅπτου. πῶς γὰρ ἂν τοῦτο εἶπεν, εἰ μὴ κινουμένην πρὸς τοῦτο ἑώρα· μή μου ἅπτου. ἐπεὶ γὰρ μετὰ τῆς ἄλλης μαρίας ἥψω μου. καὶ τηλικαύτης ἀξιωθεῖσα τῆς δωρεᾶς, οὐδὲν μέγα διενοήθης περὶ ἐμοῦ. ἀλλ' ἔτι ἀτελέστερον διέκεισο. καὶ ἐν τῷ τάφῳ ἐζήτεις ὡς ἄνθρωπον τὸν μετὰ πρὸς συγκαθήμενον, πόρρω στῆθι. μή μου ἅπτου. κατὰ γὰρ τὴν σὴν δόξαν, οὔπω πρὸς τὸν πατέρα μου ἀναβέβηκα. ἄλλως τε δὲ καὶ τὸ

φρόνημα αὐτῆς ἀνυψοῖ· μὴ ἄνθρωπον ὡς τὸ πρῶτον τοῦτον λογίζεσθαι, ἀλλὰ καὶ θεόν. διὰ τοῦτο γὰρ καὶ τὸ ἀναβέβηκα εἶπεν· οἱονεὶ πρὸς τὸν οὐρανόν. ἔνθα καὶ ὁ ἐμὸς πατὴρ διαφερόντως οἰκεῖ. πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς, ὅσα δὴ καὶ μεμάθηκας. ἔρχεται ἤδη τὸ τέταρτον ἡ μαρία, καὶ οὐ λέγει ὥσπερ πρότερον, ὅτι ἀνέστη· ἤ τό γε μὴν δεύτερον, ὅτι ἦραν τὸν κν ἐκ τοῦ μνημείου· ἀλλ' ἔρχεται φησὶ μαρία ἡ μαγδαληνή, ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν κν· καὶ ταῦτα εἶπεν αὐτῇ. ὤχετο ἤδη καὶ τὴν κάθοδον αὐτῆς τὴν πρὸς τὸ μνημεῖον. περὶ σκοτίας ἔτι οὔσης. τὴν δέ γε γὰρ τὴν ὁ θαυμάσιος ἱστορεῖ τῶν μαθητῶν μάρκος. διαγενομένου φησὶ τοῦ σαββάτου, μαρία ἡ μαγδαληνὴ καὶ μαρία ἰακώβου καὶ σαλώμη, ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν ἰν. ἀνατείλαντος τοῦ ἡλίου

καὶ ἔλεγον πρὸς ἑαυτάς,
τίς ἀποκυλίσει ἡμῖν τὸν
λίθον ἐκ τῆς θύρας τοῦ
μνημείου. καὶ τὰ ἑξῆς.
Ἀλλ' ἐνταῦθα διαπορεῖν
ἔστι μοι, πῶς ἡ μαγδα-
ληνή, τρίτον ἤδη πα-
σωθεῖσα, πάλιν ἐπὶ τὸν
τάφον χωρεῖ. καὶ τίς ἀ-
ποκυλίσει ἡμῖν λέγει
τὸν λίθον σὺν ταῖς λοι-
παῖς. ἢ δῆλον, οὐχ ὡς
ἀπιστοῦσα παραγίνεται.
ἀλλ' ὡς μᾶλλον καὶ κειμαιο
ὁδηγὸς ἐσομένη· καὶ τὰ
γενόμενα διηγησομένη.
καὶ ὡς θάρσος λαβοῦ-
σα ἐκ τῆς ἀφίξεως. εἰ-
κὸς δὲ καὶ διὰ τὸ φά-
ναι τό, τίς ἀποκυλίσει
ἡμῖν τὸν λίθον. ἀλλὰ
σαλώμην. οὕτωσι τά-
φω παραγινομένην.
ἀκηδεμονὸν ἐμηχανήθη-
σαν. λίθον ἐπιτεθῆναι
πρὸς τὴν θύραν τοῦ μνη-
μείου. ὡς γὰρ ἱστορεῖ
λουκᾶς, ἅμα σὺν πρωΐ,
πρώτη ἐφάνη μαρίᾳ
τῇ μαγδαληνῇ ἀφ' ἧς
ἐκβεβλήκει ἑπτὰ δαιμό-
νια. καὶ ὡς ὁ ματθαῖος.
τόν τε σεισμὸν καὶ τὸν λίθον
ἀποκυλισθέντα. πρώ-
τη τοῦ μνημείου ἐθεά-
σατο καὶ ἄγγελον τοῦ θ(εοῦ)
ὑπερκαθήμενον. καὶ
ὡς ὁ ἰωάννης, τῇ μιᾷ
τῶν σαββάτων λέγει
μαρία ἡ μαγδαληνὴ ἔρ-
χεται πρωῒ σκοτίας ἔτι
οὔσης εἰς τὸ μνημεῖον.
καὶ βλέπει τὸν λίθον
ἠρμένον ἐκ τοῦ μνημεί-
ου. εἰ καὶ τὴν σαλώμην
ταῦτα φάναι διηγμένην,
εἰς βυθὸν ἐμβαντιώσα-
ως ἀπειστάνημεν. ὅ-
περ οὐκ εὔλογον. ἰδοῦ-
σαι τοιγαροῦν τὸν λίθον
ἀποκεκυλισμένον τοῦ
μνήματος. ἦν γάρ φησι
καὶ μέγας σφόδρα. ἔνδον
δὲ τοῦ τάφου γενόμεναι.
μεγάλα γὰρ παρὰ τοῖς ἰου-
δαίοις τὰ μνήματα, οὐχ
εὗρον τὸ σῶμα τοῦ ἰ(ησο)ῦ.
καὶ ἐν τῷ ἀπορῶσαι, ὁρῶ-
σιν ἄνδρας ἐπιστάντας
αὐταῖς ἐν ἐσθήσεσιν ἀ-
στραπτούσαις, καὶ ἐκθαμβει-
θῶς ἀκούσασαι, ἰν ζητεῖ-
τε τὸν ναζαρηνὸν τὸν
ἐσταυρωμένον. ἠγέρθη οὐκ
ἔστιν ὧδε. ὑποστρέψα-
σαι φησὶν ἀπήγγειλαν
ταῦτα πάντα τοῖς ἕνδεκα.
καὶ πᾶσι τοῖς λοιποῖς.
οὐ μὴν γὰρ δόξαι πλῆθος
διεβλήθησαν. ἐφάνησαν

γὰρ φησὶν ὥσπερεὶ λῆρος τὰ ῥήματα αὐτῶν. ἕτεροι δέ φασι τότε τὸν Πέτρον ἢ ῥῆμα πῶς διαθορυβηθέντα. μόνον ἀναστῆναι καὶ πρὸς τὸ μνημεῖον δραμεῖν. ὁ δὲ

Μάρκος φησίν, ἐξελθοῦσαι διὰ τάχεος, αἱ περὶ Ἰωάνναν καὶ Σαλώμην, Μαρίαι, ἔφυγον ἀπὸ τοῦ μνημείου καὶ οὐδενὶ οὐδὲν εἶπον. ἐφοβοῦντο γάρ. ἀλλ᾽ οὕτω μὲν ἡ Μαγδαληνὴ πρώτη τὴν ἀνάστασιν κατιδοῦσα. πρώτη καὶ τοῖς ἀποστόλοις εὐαγγελίζεται. ἐπεὶ τὴν Εὔαν βοηθεῖ τὸ πρόσκοντα χαρὰν τῷ κόσμῳ μηνύσασα. καὶ τοιαῦτα μὲν αὐτὴ τὰ παρὰ τῶν ἁγίων εὐαγγελίων συμολογήματα. τίνα τὰ μετὰ τὴν ἀνάστασιν. ὅσπερ τοῖς φίλοις μαθηταῖς διαφόρως ὀπτάνεται. καὶ τὴν ἐπέλασιν ὑπισχνεῖται τοῦ πνεύματος. ἡ δὲ θαυμαστὴ γυναικῶν, τῇ τοῦ λόγου συνεῖναι μητρὶ διαφερόντως ἠγάπα. ἐπειδὴ δὲ, καὶ τὰ τῆς οἰκονομίας ἤδη πεπλήρωτο. καὶ ὁ καιρὸς ἐνέστη καθ᾽ ὃν

ἔδει πάλιν τὸν ἀδιαστάτως τῷ πατρὶ συνόντα, ἐπὶ τὸν πατρῷον αὐτοῦ θρόνον ἐγκαθιδρυθῆναι. ἵνα μὴ διαλύπονον τῇ μητρὶ καὶ τοῖς μαθηταῖς τὸ πραχθὲν γένηται, ἐξάγει μὲν αὐτοὺς ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν. καὶ ἀποτέλους αὐτοῖς ἐφιστᾷ. τὴν εἰς οὐρανοὺς ἄνοδον ποιεῖται ἰδόντας. εἰκὸς δὲ δήπου καὶ ταύτην ἐκεῖσε παρεῖναι. ἀδιασπάστως ἐχομένην τῆς τοῦ λόγου μητρός. ἄλλως τε καὶ τῶν καλλίστων οὐδαμῶς ἀπολιμπάνεσθαι θέλουσαν.

Τοῦτο τὸ ὑπερῷον εἶχεν αὐτάς, σὺν τοῖς ἀποστόλοις διατριβούσας. αὐτὴ δὲ ἦν τὸ ἔργον αὐταῖς, ἡ διατριβή. καὶ μαρτυρεῖ ὁ θεῖος Λουκᾶς μετὰ τὴν τῶν ἀποστολικῶν ἀπαρίθμησιν ὀνομάτων. ἱστορῶν ἐν ταῖς πράξεσι· καὶ οὗτοι πάντες ἦσαν ὁμοθυμαδὸν προσκαρτεροῦντες τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξί. καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ. καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. γυναῖκας, δηλαδὴ ἣν τοὺς εὐαγγελιστὰς

ἀναγράφειν, ταύτης
ἄνευ· οὕτω λόγου ἔχε-
σθαι οἶμαι. καὶ ταῦτα ἐν
τοῖς τοιούτοις. μετὰ
γὰρ τὸ πάθος ἐνθα μνημει-
αν γυναικῶν τούτοις
ποιήσασθαι ἐξεγένετο,
ταύτην ὡς ἐπίσημον
ὀνομαστὶ καλοῦσι· τὰς
ἄλλας, πλὴν ὀλίγων,
τῷ γυναικῶν ὀνόματι
συσκιάζοντες. καὶ τὸ
λόγῳ τὸ μαρτύριον
διδῶσι, ματθαῖος ὁ
ἱερὸς ~~διδῶσι~~ ἦσαν
λέγων καὶ γυναῖκες ἐκεῖ
πολλαί, ἀπὸ μακρόθεν
θεωροῦσαι· αἵτινες
ἠκολούθησαν ἀπὸ τῆς
γαλιλαίας, διακονοῦ-
σαι αὐτῷ· ἐν αἷς ἦν, μα-
ρία ἡ μαγδαληνὴ καὶ ὅ-
σα ἑξῆς. τὸ δ' αὐτὸ καὶ
ὁ μάρκος. ἦσαν δὲ καὶ
γυναῖκες ἀπὸ μακρό-
θεν θεωροῦσαι· ἐν αἷς
ἦν μαρία ἡ μαγδαληνή·
ἔχεις εἶτα βούλει καὶ
τὸν λουκᾶν ἡμῖν ζωγρα-
ρούμενον· κατακολου-
θήσασαι δὲ καὶ γυναῖκες
αἵτινες ἦσαν συνεληλυ-
θυῖαι αὐτῷ ἀπὸ τῆς γα-
λιλαίας, ἐθεάσαντο
τὸ μνημεῖον ὡς ἐτέθη.
ὑποστρέψασαι δὲ ἡτοί-
μασαν ἀρώματα· καὶ
ἑξῆς. ἡ μαγδαληνὴ μα-
ρία. καὶ ἰωάννα. καὶ
σαλώμη. οὐ μὴν παραδι-
σωπᾶται καὶ ὁ τῆς
βροντῆς υἱός· μόνης
αὐτῆς μνημονεύσας, με-
τὰ τῆς μητρὸς καὶ τῆς
ἄλλης μαρίας. εἱστήκει-
σαν δὲ παρὰ τῷ σταυρῷ
τοῦ ἰησοῦ λέγων, ἡ μήτηρ
αὐτοῦ· καὶ ἡ ἀδελφὴ
τῆς μητρὸς αὐτοῦ, μαρία
ἡ τοῦ κλωπᾶ. καὶ μα-
ρία ἡ μαγδαληνή. ὥσ-
τε μοί γε, οὐκ ἀπὸ τρό-
που εἰρήσεται, καὶ
ταύτην ἐν τῷ ὑπερῴ-
ῳ, σὺν τῇ μητρὶ καὶ τοῖς ἀ-
ποστόλοις, τῆς τοῦ πα-
ρακλήτου τεύξασθαι δω-
ρεᾶς. καὶ μή που εἰ μὴ
γλώσσῃ, ἀλλὰ τοῖς γυ-
ναικείοις ὀνόμασι. τὸ ἀπὸ τοῦ
Δὲ ὁ ἐν τῇ σιὼν οἶκος εἶ-
χεν αὐτὴν σὺν ἅμα τῇ
ἀπειράνδρῳ παρθέ-
νῳ. ἐν τοῖς ἰδίοις τοῦ
ἠγαπημένου καὶ μαθη-
τοῦ, ὡς τὸ θεηγόρον
διέξεισιν εὐαγγέλιον.
ἐπειδὴ δὲ καὶ κληρωτὴν
οἰκουμένην ἐμερίσαν-
το οἱ ἀπόστολοι, ἄλλος

ἀλλαχόθι ἐπέμποντο,
ὅτι τὴν ὑφήλιον ἤδη π(ερι)
τῆς πίστεως δόγματα διη
γεῖτο, αὐτὴ καὶ τὰ τῶν
μιαιφόνων δεινὸν πνέ
ουσα· ζήλου τε ἐμπλέως
γεγονυῖα, μικρὸν τὴν
παρθένων συνοικουρήσα
σα· καὶ ἐπὶ βραχὺ αὐτῇ
διατρίψασα, ἔξεισιν
αὐτὴ μόνη καὶ τῷ ἐπιστη
θίῳ συνταξαμένη, στε
ρωμένη ἀφικέσθαι δια
νοεῖται· δι' ἧς πορεία
καὶ σπορὸς ληιζομένη,
τῆς τοῦ διδασκάλου φά
τῶν ἀγγέλων μόνων διαχει
ρίσεως· ἀμέλει τοι ὁ
πρὸς ὅλου μῆκος το
σοῦτον κατατολμᾷ· μὴ
τὰ γυναικῶν· ὢ τοῦ δια
πύρου ζήλου καὶ τῆς
ἐμπάσεως ἀπολογησα
μένη· μὴ πήραν· μὴ
βαλλάντιον· μὴ ἄλλο ὅ
τι μεθ' ἑαυτῆς φέρουσα·
ἀλλ' ἀποστολικὸν ἐπανη
ρημένη βίον, ὃ δὴ εἴ
χετο· οὐκ ἄδηλον δὲ
πάντως, ὥς καὶ τὰ τῆς
διδασκαλίας αὐτῇ οὐ
κ ἠμέλητο· ἀλλὰ τοῦτο
προὔπαντων εἴθει· τὰ
μὲν, λέγουσα· τὰ δὲ, πρά
ττουσα· καὶ τὴν πίστιν δι

δοῦσα τῷ λόγῳ· ὅτι τε
αὐτῇ τὰ μυστηριώδη πρώ
τη θεάσασθαι ἐξεγένετο,
καὶ ὅτι τοῖς ἄλλοις ἀρχηγὸς
αὐτὴ τοῦ τοιούτου κηρύγμα
τος· καὶ τίς ἂν εἰπεῖν
ἔχοι· πόσα τε αὐτῇ τὰ κα
θ' ὁδὸν ξυμβεβήκει
δεινά· πόσον δὲ πλῆθος
τῇ τοῦ εὐαγγελίου σαγή
νῃ ζωγρεῖ· ἴσασι ταῦτα,
ὅσοι βίβλοις ἱστοριῶν
ἐμφιλοχωροῦσιν ἐν οἷς
καὶ μεγάλα τὰ δῶρα
παρὰ θεοῦ τῇ μακαρίᾳ· ἃ
εἰς δεῦρο διατετήρηται.
Ἐπειδὲ καὶ εἰς ὅ τιν ἧκε τῇ
βείῳ τῷ καὶ σαρπί· καὶ τὰ
κατὰ γνώμην αὐτῇ κα
λῶς διεπέπρακτο· ἐν
ᾧ οὐκ ἄν τις ᾠήθη καλ
λίον ἀπάντων διήνυσε·
ἅ τε παθεῖν ἔδει τοιούτῳ λ
μητίας πεπονθασιν
ἀναλέγω καὶ καὶ δ
φασι· καὶ τὸ ἄλλο τὸν πον
τίον· ὡς ἱστορούντων ἐ
στὶν ἀκούειν ἀνδρῶν πε
ρὶ πολλοῦ ποιουμένων
ἀλήθειαν, ἐπ' ὕστερον
τοῖς ἐκεῖσε πιστοῖς ἔχε
σθαι τῆς πίστεως ἐκεῖ βέ
βαιοῦσα, τὴν ῥώμην
λαβοῦσα ἐξεῖσι· διελ
θοῦσα δὲ τὴν ἰταλίαν

παρ' ὅσον καὶ τὰ πέριξ αὐ-
τῶν παλλιῶν. εἰ τὰ οἷα
ἐκ γῆς ὁ Νεῖλος ὑπερτι-
ζων πα χρυσοφορεῖ ἐπι-
πλεῖστα. φοίνικήν τε καὶ
συκέαν. ἔτι δὲ καὶ παρα-
φιλίαν εἰσωποιησα-
μένη. καὶ παρὰ τοῦ ταχοῦ τὸν
τῆς ἐπιστώσεως λόγον ἀπει-
ληφυῖα, διὰ πολλοῦ τοῦ
μέσου, εἰς παλαιστί-
νην αὖθις ἐπανεισι.
καὶ σὺν τῇ παρθένῳ
καὶ θεῷ χρόνον ἐπὶ
βραχὺν διατρίψασα,
ἐς τὴν ἀσίαν ἔρχεται.
ἐκεῖσε καὶ γὰρ ἠκηκόει
τὸν παρθένον καὶ ἐπι-
στήθιον μαθητὴν δια-
τρίβειν. κλῆρον λα-
χόντα τὸ εὐαγγέλιον.
δεξαίσιόν τινα φόρτον
τούτῳ μετακομίζουσα.
λίθον τὸν ἐρυθρόν.
ἐν ᾧ λόγος τὸν ζωοδό-
την χριστὸν μετὰ τὴν ἀπὸ
τοῦ θείου ξύλου κατά-
βασιν, ἅμα κλιθῆναι
γενέσθαι περιπατῶς καὶ εἰ-
ληθῆναι σινδόνι, παρὰ
Ἰωσὴφ τὸν εὐσχήμονα
ὃ καὶ παραλαβοῦσα ἐστή-
θεωρεῖν. ἔν τε ταῖς νῶτα
καὶ γὰρ εἰσέτι πάντη τὸ
δίκην θρόμβων φαινόμ-

ται τὰ τῆς θεομήτορος
δάκρυα. ἐπὶ πᾶσι τούτοις
πης, καὶ μυρομένης τὸν
παῖδα. ἃ καὶ πρὸς τὸν
φαιὸν τὴν χροιὰν τοῦ
λίθου μεταγνωσθῆν. ὁ δὲ
ἐστὶ στερρὸν λίθος, εἰς
τὴν κωνσταντίνου ἐκεῖ-
θεν διαβιβάζεται. ἐν
σεβῶν βασιλέων ὑπο-
δοχὴν τῶν τούτῳ τοῦ ἀ-
μου. ἵνα νῦν ὥσπερ οὖν ἐκείνω-
σω διαγαγοῦσα, πολλοὺς
δὲ καὶ πρὸς τὴν τῆς ἀ-
ληθείας ἐπίγνωσιν
ὁδηγὸς γενομένη, κἀλλί-
τε καὶ ὡς ἱερὰν τὴν πί-
στιν τηρήσασα, καὶ τὸν
δρόμον τελέσασα, καὶ
πολλὴν τὴν περὶ αὐτῆς
δόξαν ταῖς ἀπάντων β-
μα πεποθημένη ψυχαῖς,
ἐπ' ὀλίγον νόσῳ κατερ-
γασθεῖσα, πρὸς τὴν ἀγή-
ρω καὶ μακαρίαν ζωὴν με-
τατίθεται. τὴν μὲν ψυ-
χήν, εἰς χεῖρας παραθε-
μένη θεοῦ. τῷ ἐπιστήσω-
δε, τὸ καὶ αὐτοῖς ἀγγελίοις
αἰδέσιμον καταλείψασα
σῶμα, μεθ' οὗ τοὺς ὑπὲρ
χριστοῦ διανικήσασα ἀγῶνας,
καὶ πείρας μὲν εἰς ἑξήκοντα
σεμέρωτας. ὃ καὶ τῆς
ἀξίας ὁσίας τυχὸν σεμνοῦ

τε καὶ ὡς ἐχρῆν τὸ τοιοῦ-
τον παρὰ τοῦ μακαρίου παρ-
θένου καὶ θεολόγου παλαι-
σαλεὺ, ἔν τινι τῶν ἀπο-
κρύφων παλαιῶν, τῆς
τῶν ἐφεσίων ἀρχισα πόλε-
ως, ὡς πολλοῦ τιμώμενος θησαυ-
ρὸς κατορύττεται τὸ τῶν
ἐπουρανίων θαλάμων ὡς
ἀληθῶς ἄξιον. γυναῖκα
μὲν ἂν εὑρεῖν τῷ σοφῷ
σολομῶντι εὑρεῖν ὥς ἥ-
κιστα ῥᾴδιον. ἡμεῖς δὲ
ταύτης ἐν ἀπείρω γενεᾷ,
οὕτω πολλοῦ τίμιος ἐδεήθη-
μεν. ἀνδρῶν γὰρ ἔργα ταύ-
την ἁπασῶν διαπεπραξα-
μένην μνημονεύσομεν.
Καὶ τοσοῦτον, ὥς μὴ δεῖν
ἐνδεῖσθαι τῶν ἀγαθῶν
ἀρετῶν. καὶ διηγωνίσατο
τῷ πόνῳ. ἀλλ᾽ εἰ δοκεῖ ταύ-
τας παραβάλοντες ὅσαι
διαφερόντως πρᾶξαί τι
γενναῖον ἱστόρηνται. δεί-
ξωμεν ὅσον ταύτῃ ἐν ἀν-
δρεία τὸ πλεῖον. καὶ τῇ λοι-
πῇ ἀρρενότητι. εἰ μὲν
οὖν μὴ φορτικὸς ἔμελλον
δόξαι τῇ εὔᾳ παραβάλ-
λων αὐτήν, ἐμὴν λέγειν,
ὅπως τε παρέβη καὶ τὴν ἐν-
τολὴν μὲν οὐκ ἐφύλαξε. τοὐ-
ναντίον μὲν οὖν, καὶ τὸν
ἄνδρα παρήγαγε. τὴν δὲ

λεγα πιαθεῖσα τοῦ ὄφε(ως)
συμβουλῇ. καὶ τἆλλα
ὅσα δὴ τῆς πρώτης ἐξηρ-
τηνται παραβάσεως, οὐ-
δοῖ δὲ τῆς προμήτορος
τὸ γένος διαγράφομαι.
ἐμὶ δ᾽ οὕτω μόνῳ ταύτῃ τὸ
πρωτεῖον δούς, ἀρκεσθή-
σομαι. ἐκείνην μὲν γὰρ πε-
τοδειλινὸν ἐν τῷ παρα-
δείσω, περιπατοῦντα τὸν
γνοῦσα θεὸν, ἀπεκρύβη,
αἰσχυνομένη τὸ ἄσεμνον.
ἡ δέ, ἐν τῷ κήπω τῷ παραδεί-
λην ἐσθλὴν καὶ ὡς κηπου-
ρὸν ὑπηρῶτα. καὶ τῶν
ὡραίων αὐτοῦ ποδῶν ἥπτε-
το. καὶ φωνῆς αἰσθομένη,
μᾶλλον προσέτρεχεν. ἰδὼ
γὰρ λέγειν εἰ καὶ παράδο-
ξον, ὅτι καὶ διὰ ταύτης τὸ
ἐκείνης ἀνεπληρώθη
ὑστέρημα. τὸ χαίρετε
ἀκουσάσης. τὸ τῆς λύ-
πης ὥς ἄν τις εἴποι ἀνύ-
θετον. σόρραν. καὶ ῥέβε
Καὶ μεγάλας τὸ σωοικῆ-
σαι πεὲ ἀρχαῖος ποιεῖς τῇ
δέ. τόσον τό, ὑπερφέρον
αὐτῷ γὲ κεῖνω πρὸς ὃν
ἐκείνοις ὑπῆσις, σὺν
διατεῦχαι. καὶ μὲ χεῖ τε-
λος ἃ μαθητεύαν ἀνδρ-
τερήσασα. λαμπρὰ μὲν οὖν
καὶ ἡ τοῦ μωσέως ἀδελφή

μνείαν· μετὰ τὴν τῆς
ἱερῶ θρασεῖ διαβάσιν ὥσπερ
πῶσα, καὶ ἀμακρουόμε-
νη τὸ τύμπανον· καὶ τὴν
ὑμνοῦσαν μετὰ τῶν μελωνι-
δων· καὶ πρὸς ταῖς τῶν ὀρ-
γάνων ἐπικροτοῦσα φω-
νάς· ἀλλὰ μὲν καὶ αὕτη,
πολλῷ λαμπροτέρα τῶν
μέσων· ὅτι περ καὶ τὰ τοῦ
τοῦ μέλους ἐκείνη προφη-
τικῶς ἐθεάσατο· καὶ
τὸν τῆς ἀναστάσεως λό-
γον, τυμπάνου δίκην
σῴζουσα ταῖς ἄλλαις, τοῖς ἀπο-
στόλοις. καὶ πᾶν εἰ τὸ ῥη-
σιν ἐκήρυξε· ἢ θαυ-
μαστῇ Δεββώρα περιποιεῖ
τὸ σεμνόν, ἢ τοῦ ἰου-
δαίων ἔθνους ἀρχή· καὶ
ἡ κατὰ τῶν πολεμίων
νίκη· καὶ τὰ λαμπρὰ στρα-
τηγήματα· τῆς δέ, ποῖον
εἰς εὐφημίαν τὸ τοῦ
χειλέων ὕμνου πλήρωμα-
τος ἀφηγήσασθαι. καὶ
τῶν δορατῶν περιγενέ-
σθαι κατὰ κράτος ἐχθρῶν·
ἢ ἄνημα, ζήλω τῆς ἀτε-
λοῦς ἐν τέκνοις, ἔπειτα τε-
κεῖν ἀναγέγραπται· ἡ δέ,
τῷ πρὸς τὸν ἴδιον νυμ-
φίον διὰ τὸν ἔρω ζήλω θ-
ἱερωτι· οὐ μόνον τῶν ἔ-
πι ἀπιπραμάτων ἀπήλλα-
ηται, ἀλλὰ καὶ τὰ παρὰ
τῷ ἡσαΐα τούτοις ἀνῆκε
θετα, τῷ πρὸς θν φόβω
καὶ ἔτεκε καὶ ὠδίνησε.
Καὶ τὴν ὀνήτην τάσει ἔλαβε,
Καὶ τὸ παράδοξόν τατον,
Καὶ ἐαυτὴν θῷ καθιέρω-
σεν· ἐμεμνήστο καὶ αὐ-
Τῇ πολλῷ τῷ μέσω τὴν τὸν
νότου βασιλείαν. καὶ
τὰ παρ' ἑρω τὰ τῆς ἀληθοῦς
Καὶ πρῶ τῆς σοφίας τὴν
εἰρηνικὴν καὶ πραῶς σο-
λομῶντι χω, προσέρχε-
ται· καὶ τὴν ἐμμένε κείνω
αὐξηθεῖσαν μᾶλλον δὲ
φησὶ κῶς οἷσαν σοφίαν
καὶ χαρίεν θαυμάσεν· ἐ-
παινεῖ τὰς ῥαφθείσας καὶ
συμμανή τίδος, τὴν τῶν
ἀνίσων ἀνδρῶν ξενίαν.
Καὶ τὴν ἀφιλότιμον
τράπεζαν· καὶ τὸν κα-
ψάκην τοῦ ἐλαίου οὐ
κέλατε μοῦ μόνον· ἐπαι-
νεῖ καὶ κείμης τὴν ὑπαρ-
τικὴν ἐν βίω ζωήν· καὶ
τὰ περὶ νομέα θεῖν τὰ μῦρα.
τῶν τῶν ἀγίων ἀνθρώ. τὸν
φησὶ ζωὸν ὕπνον ὕπνω-
σον τι· τὸ μέχρι καὶ νῦν
τὸν ταχοῦ τὴν φήμην χεό-
μενα τὸ καὶ ῥεῦσον τά·
Ἰαὴλ καὶ Ἰουδὴθ τὸν ζῆ-
λον ὑποβήκον τίσεν ἡμῶν;

γὰρ τῷ Σισάρᾳ τὸν πάσ-
σαλον διελᾷ τοῦ τραχή-
λου. Ἰουδὴθ δὲ τὸν ἀσσύ-
ριον Ὀλοφέρνην ἀφαιρεῖ-
ται τῆς κεφαλῆς. τὴν δέ,
οὐ Πιλᾶτος μόνος καὶ Κα-
ϊάφας καὶ Ἄννας ἐπεστήθη-
σαν. κατὰ χυ̅ μελετήσαν-
τες. καὶ διὰ καὶ ἀσπόρους φό-
νου γεγόνασι παρανά-
λωμα, ἀλλὰ καὶ οἱ συμ-
πράττειν τούτοις δεῖν
νενομίκασι· τοιοῦτοι γραμ-
ματεῖς καὶ φαρισαῖοι
οἱ νῦν τὶ πάντα ἀκούετε.
Καὶ τί δεῖ τὰς ἑξῆς κατα-
λέγειν· σωσάννην. ἐσθήρ·
σολομώνην· πάσας τὰς
ἀρ διηγ ὑπερηνὼν τισσε
σωφροσύνη· πεσπασία
τοῦ ἔθνους. καὶ τῇ ὑπὲρ
χυ̅ καὶ διὰ χυ̅ καρτερίᾳ
ὑπερῆρε τὰς μετὰ τὴν
χάριν ἁπάσας. ὅσαι
τε μαρτυρίου στεφάνῳ
κατεκοσμήθησαν. καὶ
αἷς ὁ ἀσκητικὸς βίος
διείργασται, αὐτοῦ τοῦ
ὀφθῆναι κατιδεῖν καὶ
διακονῆσαι χῶ̅, τὸν ἀλη-
θῆ νυμφίον τούτων
καὶ ἐραστήν. τί δὲ σοῦ τὸ
μὴ τὸ ὁρ... εἰπεῖν ἔχω.
ὃ γὰρ ἦν πᾶσιν αὐτοῖς ἀπ-
όστολοι, τοῦτο μαγδαληνή,

γυναιξὶν εὐαρέστως πο-
λιτευσαμέναις θεῷ. τὰς
μὲν, γὰρ ἡ μελλήθη· ταύ-
της ὑπερῆρε πάσας διὰ
βίου ὤφθη παράδειγ-
μα. ἄλλο οὕτω μὲν ἰσαγγέ-
λως βιώσασα, καὶ
ἐν τοῖς ἁγίοις φανεῖ-
σα αἰδέσιμος, τῶν τῇ-
δε μεθίσταται. καὶ τῷ
σπηλαίῳ ἤπερ μνημείῳ ἐρη-
ται, κρύπτεται. χιλιο-
στοῦ δὲ ἐξ ἐκείνου σχε-
δὸν παραρρυέντος
ἐνιαυτοῦ, λέων ὁ ἐν
βασιλεῦσιν ἀοίδιμος.
ὧ πατὴρ μὲν ὁ ἐκ Μακεδό-
νων βασίλειος· σο-
φὸς δὲ οὗτος τὸ ἐπώ-
νυμον, ἐμφανεῖ ἀποδεί-
ξει τῆς μαθήσεως, ὑπάρ·
οὐκόνδαρ· τὸ ταύτης τί-
μιον λείψανον ἐκεῖ-
θεν μετακομισάμενος.
Καὶ σὺν τῷ ἀδελφῷ
ἀλεξάνδρῳ τοῖς ὤμοις
μετέωρον θέμενος. ἐν
τῷ κατὰ τὴν Βύζαντος
ἀνεγερθέντι παρ᾽ αὐτοῦ
νεῷ· τῷ τετραημέρῳ
καὶ φίλῳ χυ̅ Λαζάρῳ, σὺν
ἀδελφῇ ἑσπερᾷ εἰσιόντι· ἔνθα
τὰ ἄρρητα τελεῖν ἔθος,
σεμνῶς καὶ εὐλαβῶς
κατατίθησιν· ἀργύρῳ

182.

πᾶσαν τὴν θήκην δια-
λαβών. ἀλλὰ πῶς ἂν
τοσοῦτον ἔργον παρα-
δραμών, οὐκ ἂν τὰ με-
γίστα ζημιοῦσθαι δόξω; ὅ-
περ τοιμεὼς [illegible] ἀσ-
τοσοῦτον κάλλος ἐξείρ-
γασται, ὥστε καὶ ἀμη-
χανον ὂν ἐμοί γε. τὸ ἐσ-
παν μάλλο περιπτὲς
αὐτοῦ, καὶ τὴν ἄλλην ἅ-
πασαν ἐν κάλλει τάξιν
διαλαβεῖν. καὶ ποῦ
δῆς ἔργον οὐ τῆς τυχού-
σης ἐμοί. ἐν κεφαλαί-
ῳ δὲ φάναι τοιοῦτον
τὸ τέμενος τῶν Χριστοῦ φί-
λων ὅσο σοφῷ τῷ περιβλέπτῳ
λειῷ ἐδομήσατο. ὅπερ
ὂν εὐπρεπεία μὲν ἐξαι-
σίον εἶναι. μεγέθει δὲ
οὐ πολλῶν δεύτερον. ἀ-
μαγεῖρας δὲ βασιλεῖ-
λέον τι πρέπον. ἀνα-
κεῖσθαι δὲ Χριστοῦ φίλω ἄξι-
ον. οὗ καὶ τὸν νεκρὸν
κυ περίθεν διακοσμίας
ἀδεῖα τὸν ναὸν εἶσ-
οντι, φιλοτίμως κατέ-
θετο. οὗ ἐσ ἀεὶ περὶ
κατὰ τοὺς τοῦ ἱεροῦ ἱερου-
περαστῖς οἱ τοῖ χόσ ἢ προ-
μοι εἴρηται, καὶ τὴν μα-
καρίαν μακροβαλ ἤνην ὑπὸ
πέθετο. καὶ μὴ ὦ ἐσὶ ὄντων οἱ

φύλακες μὲν τῆς πό-
λεως ἄγρυπνοι. σωτῆ-
ρες δὲ καὶ χορηγοὶ χρεί-
σιμα τῶν πάντων τοίων, οἷς
αὐτοῖς προσιοῦσιν ἐν-
πόθω. καὶ πρὸς θήμεσι-
ται ἂν ὑπέκοπτα τοι-
εἴγε μαθητοῦ καὶ φίλου
μὴ δεῖν οἰκειότερον.
Ταῦτά σοι παρ' ἡμῶν ὦ
σεμνή τοῦ λόγου μαθη-
τεία. αὕτη τῶν ἐμῶν
λόγων ἡ ἀπαρχή. καὶ
χάρις. ἥ τις καὶ μόνη
ἐμοί γε ὡς ἀληθῶς εὔ-
λογος, σοὶ ἀφοσίωται.
τοῦ τόσοι τῶν ἐμῶν λό-
γων, σοι ἀγραφία τις
καὶ περιμηνεύματα. καὶ
τῆς ὑπὲρ λόγου σπου-
δῆς τελείας ἐλάχιστον
δώρημα. μᾶλλον δὲ χρέ-
ος τοῖς λόγοις ἀποδεδομέ-
νοις ὡς μάλιστα ἀπαραί-
τητον. εἰ δὲ τολμη-
ρὸν ἐμοὶ τὸ ἐγχείρημα,
διπλῆν δὲ καὶ διὰ τῶν
χρόνων ἔτι ἄνυον τι. ἐ-
πὶ τοσοῦτον ἔργον τὴν
σὴν εὐφημίαν. τῷ πε-
ρισσῷ πόθῳ κατατολμη-
σάντι. ὡς καὶ τῆς ἐνου-
σης ἀγροικίας ἐπιλα-
θέσθαι, καὶ μὴ κατὰ ἀξί-
αν τῶν σῶν, καὶ λόγων

καὶ πόνων προβέβληται
τὸ ἐγκώμιον, ἀλλὰ συγγνώ-
μης τῆς τόλμης καὶ τὸ κα-
τὰ δύναμιν δέχοιο· ἐπεὶ
καὶ τῶν σῶν διδασκάλων· τοῦ-
το προσδεξόμενον ἔγνω-
μεν, φίλον καὶ οἰκεῖον
ἡγεῖσθαι τὸ κατὰ δύνα-
μιν. καὶ μὴ τὸν λόγον,
ἐν ταῖς πρὸς τὸν θεὸν καὶ
λόγον σαῖς ἱκετείαις, ἀ-
ναρρηθείης καὶ τοῦ ψιλο-
τέρου· τὸ γὰρ ἴσως καὶ
μικρόν τι τῆς σῆς ἀξίας
ἐπιδείξασθαι μὲν· ἀ-
οὐκ ἔστι τοσοῦτον, ὅσον μὴ
ἐνδείξομεθα, ὥστε-
ρήσομεν· ἐν αὐτῷ τῷ ἀλη-
θινῷ λόγῳ Χριστῷ τῷ θεῷ ἡμῶν
ᾧ πρέπει δόξα, κράτος,
τιμὴ καὶ προσκύνησις· με-
γαλωσύνη τε καὶ μεγαλο-
πρέπεια, σὺν τῷ ἀνάρχῳ
αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ
καὶ ἀγαθῷ καὶ ζωοποιῷ
αὐτοῦ πνεύματι· νῦν καὶ ἀεὶ

καὶ εἰς τοὺς
αἰῶνας τῶν
αἰώνων.
ἀμήν :—

βίος καὶ πολιτεία τοῦ
μακαρίου Ἀντιγόνου,
καὶ τῆς τούτου γυναικὸς,
Εὐπραξίας· καὶ τῆς θυ-
γατρὸς αὐτῶν Εὐπραξί-
ας, εὐλόγησον πάτερ :—

Ἐν ταῖς ἡμέραις τοῦ εὐσε-
βεστάτου βασιλέως
Θεοδοσίου, ἦν τις ἀ-
νὴρ ἐν τῇ βασιλευούσῃ
πόλει συγκλητικός· ὄ-
νομα αὐτῷ Ἀντίγονος.
ἀνὴρ σοφὸς, ἐν λόγῳ
καὶ ἔργῳ· διὰ τὸ ἀεὶ συμ-
βουλεύων τῷ βασιλεῖ
Θεοδοσίῳ· διὰ τὸ εὐσεβῶς
διοικῶν, τῆς ῥωμαϊκῆς
καταστάσεως τὰ πρά-
γματα. ἦν δὲ ὁ ἀνὴρ, καὶ
φιλοσυμπαθής, πᾶσι
τοῖς δεομένοις τὰ πρὸς
τὴν χρείαν. ἠγάπα δὲ
αὐτὸν ὁ βασιλεὺς Θεο-
δόσιος· οὐ μόνον ὡς
ἴδιον αὐτοῦ καὶ συγγενῆ
καὶ συγκλητικόν, ἀλλὰ
καὶ ὡς φιλόχριστον· καὶ
εὐσεβῆ· καὶ ὡς δι᾽ αὐ-
τῶν χρηστὰ συμβουλεύον-
τα. ὑπῆρχε δὲ, καὶ σφό-
δρα πλούσιος. καθόν
οὐκ εἶχεν ἡ βασιλεύουσα
ἄλλον τοιοῦτον μὲν εὔπορον.

οὗτος ἔλαβεν ἑαυτῷ
γυναῖκα τοῦ βασιλέ-
ως Θεοδοσίου ἀνεψι-
άν. Ἔτυχε δὲ καὶ αὐ-
τὴ πάνυ εὐδαίμων
καὶ πλουσία· ἧς ἡ κλῆ-
σις, Εὐπραξία. γυνὴ
τὸν Θεὸν φοβουμένη καὶ
σέβουσα· σχολάζουσα
τε ἐν ἐκκλησίᾳ καὶ ἐν
τοῖς μαρτυρίοις· καὶ
τῷ Θεῷ μετὰ δακρύων
καθεκάστην προσφέ-
ρουσα δεήσεις· πολλὴ
δὲ περιμητασ, πλου-
σίους διὰ συχνῶν δω-
ρεῶν ἀπειργάσατο·
πλείστην δὲ καὶ προσφο-
ρὰν τοῖς θείοις ναοῖς
καὶ τοῖς μαρτυρίοις ἑκάστη-
μέρα προσέφερε. λί-
αν γὰρ καὶ ταύτην ἐφί-
λουν, ὅ τε βασιλεὺς Θεο-
δόσιος· καὶ ἡ δέσποινα
διὰ τὸ συγγένειαν αὐ-
τῶν εἶναι καὶ τὸ κοσμί-
αν καὶ σεμνοτάτην
θεοσεβῆ ὑπάρχειν. ἐπι
Νετο δὲ αὐτοῖς [illegible]
θῆλυ καὶ ἐπωνόμασεν
αὐτὸ ὁ πατὴρ αὐτῆς, Εὐ-
πραξίαν τὸ ὄνομα τῆς
μητρὸς αὐτῆς. κτησα-
μένων δὲ αὐτῶν τὸ θυ-
γάτριον τοῦτο, μιᾶ

τῶν ἡμερῶν λέγει ὁ Ἀν-
τίγονος πρὸς τὴν γυναῖ-
κα αὐτοῦ· οἶδας κυρία
μου Εὐπραξία, ὅτι οὐ-
δέν ἐστιν ὁ βίος οὗτος
οὔτε ὁ πλοῦτος τοῦ μα-
ταίου καὶ προσκαίρου
αἰῶνος τούτου. ὅσον
ἥκον τὸ γὰρ ἔτος τελει-
οῦται ὁ τοῦ ἀνθρώπου χρόνος.
ἀλλ' ἔστι πλοῦτος ἐν οὐρανοῖς
εἰς ἀτελευτήτους αἰ-
ῶνας, τοῖς φοβουμέ-
νοις τὸν Θεόν. καὶ ἡμεῖς
ἀποστεροῦμεν ἑαυτοὺς
τοῦ πλούτου ἐκείνου
ταῖς κοσμικαῖς δια-
μένοι φροντίσι· καὶ
τῇ πλάνῃ τοῦ προσκαί-
ρου κόσμου. καὶ δαπα-
νῶμεν τὰς ἡμέρας
ἡμῶν εἰς μάτην. μη-
δὲν τῇ ψυχῇ ἡμῶν, προσ-
φέροντες τι χρήσιμον.
Ἀκούσασα δὲ ταῦτα ἡ
Εὐπραξία, λέγει τῷ
ἀνδρὶ αὐτῆς· καὶ τί κε-
λεύεις κύριέ μου, ἵνα
ποιήσωμεν. λέγει αὐ-
τῇ ὁ Ἀντίγονος· ἓν θυ-
γάτριον ἐκτησάμε-
θα. αὐτοῦ ἀρκεσθῶμεν
καὶ μηκέτι συνέλθω-
μεν τῇ κοσμικῇ δυσ-
τυχίᾳ καὶ ἀθλιότητι.

ἀκούσασα δὲ ταῦτα
ἡ εὐπρεπεστάτη παρὰ τοῦ
ἀνδρὸς αὐτῆς ἀναστᾶ-
σα, διεπέτασε τὰς ὁσίας χεῖ-
ρας αὐτῆς, εἰς τὸν
οὐρανόν. καὶ στενάξασα λέ-
γει τῷ ἀνδρὶ αὐτῆς.
εὐλογητὸς ὁ θεὸς ὁ κατα-
ξιώσας σε εἰς τὸν φό-
βον αὐτοῦ καὶ ὁδηγήσας
σε, εἰς τὴν ἐπίγνωσιν
τῆς ἀληθείας ἐλθεῖν.
ἀληθῶς κύριέ μου πολ-
λάκις ἐδεήθην τοῦ θεοῦ
περὶ τούτου, ἵνα κατα-
νοίξῃ τὴν καρδίαν σου.
Ἀλλ' οὐδέποτε ἐτόλμησα
φανερῶσαί σοι. ἐπειδὴ
οὖν σὺ κύριέ μου προηρ-
ξω, ἐπίτρεψόν με εἰ-
πεῖν. λέγει ὁ ἀντίγονος.
εἰπὲ κυρία μου ὃ θέλεις.
λέγει αὐτῷ ἡ εὐπρεπεστάτη.
οἶδας κύριέ μου, ὅτι πρὸ
τοσούτων γενεῶν ὁ ἀπό-
στολος διαμαρτύρεται
λέγων. ὁ καιρὸς συνεσταλ-
μένος ἐστί. τὸ λοιπὸν, ἵνα
οἱ ἔχοντες γυναῖκας ὡς
μὴ ἔχοντες ὦσι. καὶ οἱ
χαίροντες ἐν τοῖς κτήμα-
σιν, ὡς μὴ χαίροντες.
καὶ οἱ ἀγοράζοντες, ὡς
μὴ κατέχοντες. παρά-
γει γὰρ τὸ σχῆμα τοῦ κόσμου
τούτου. καὶ ὡς ἄνθος
πάντα μαραίνεται. εἰς
τί οὖν ἡμῖν χρήσιμον
ὑπάρχουσι τὰ χρήματα
καὶ ἡ τοσαύτη περιουσί-
α τῶν κτημάτων. οὐδὲ
γὰρ ἐν τῷ ᾅδῃ τινὶ συγ-
κατέρχεται. ὅ οὖν ἀρου-
λεύσω, ποῦ δὰ σοὶ πλη-
ρῶσαι. καὶ πολλὰς ἐντο-
λὰς καὶ ἐλεημοσύνας
ποίησον τοῖς πτωχοῖς.
ἵνα καὶ ἡ βουλὴ ἡ ἡμῶν
λαίου, ἀνάπαυσις ἀρε-
θῇ. ἀκούσας δὲ ταῦτα
ὁ ἀντίγονος παρὰ τῆς
εὐπρεπεστάτης, ἐδόξασε
τὸν θεόν. κατορθώσαν-
τος οὖν ταύτην τὴν ἐνά-
ρετον πολιτείαν. καὶ
πολλὰ τοῖς πτωχοῖς πα-
ρασχὼν ὁ ἀντίγονος,
ἕνα καὶ μόνον ἐνιαυτὸν
ζήσας, μετὰ τὸ ἀποτά-
ξασθαι τῆς γυναικὸς αὐ-
τοῦ καὶ εὐσεβῶς τὰ
καθ' ἑαυτὸν διοικήσας,
τελευτᾷ τὸν ἀνθρώπινον βί-
ον, ἀναλύσας ἐν κυρίῳ.
Μετὰ οὖν τὸ κοιμηθῆναι
τοῦτον καλῶς καὶ εὐ-
σεβῶς, ἐπένθησεν αὐ-
τὸν ὁ βασιλεὺς καὶ ἡ
σύγκλητος σφόδρα. ὥσ-
τε ἐν τοῦ ὑπάρχειν αὐτοῖς,

τοῦ ἰδίου αἵματος
τὸν τοιοῦτον· καὶ ὡς δὴ
καὶ ὁμογενῆ εὐσεβῆ ἄνδρα·
καὶ ὅτι ἀπερρήθη σὺν αὐ-
τοῦ· συνέταφον δὲ καὶ
τῇ Εὐπραξίᾳ, οὐ μό-
νον ὡς ἰδίαν συγγενί-
δα οὖσαν, ἀλλ᾽ ὅτι καὶ
μετὰ τὴν ἡλικίαν ὑπῆρ-
χε· δύο γὰρ ἔτη καὶ τρεῖς
μῆνας ἔζησε μετὰ τοῦ
ἀνδρὸς αὐτῆς, τὸν πάν-
τα χρόνον· τὸν μὲν ἕ-
να ἐνιαυτὸν καὶ τοὺς
τρεῖς μῆνας, συνοική-
σασα μετὰ τοῦ ἀνδρὸς
αὐτῆς· τὸν δὲ ἕτερον
ἐνιαυτόν, ἐκ συμφώ-
νου ἀποσχόμενοι ἀπ᾽ ἀλλή-
λων· ταφέντος δὲ τοῦ
Ἀντιγόνου, πολλὰ πα-
ρῄνουν ὅ τε βασιλεὺς καὶ
ἡ δέσποινα τὴν Εὐπραξί-
αν· ἡ δέ, λαβοῦσα τὸ ἴ-
διον αὐτῆς θυγάτριον
τὴν Εὐπραξίαν, ἐπέθη-
κεν εἰς τὰς χεῖρας τοῦ
δεσπότου καὶ τῆς δεσποί-
νης· πεσοῦσα εἰς τοὺς
πόδας αὐτῶν κλαίουσα,
καὶ λέγουσα, εἰς τὰς χεῖ-
ρας τοῦ θεοῦ· καὶ εἰς τὰς
χεῖρας ὑμῶν, παρατί-
θημι τὴν ὀρφανὴν ταύ-
την· μεμνημένοι οὖν

τοῦ οἰκείου ὑμῶν Ἀν-
τιγόνου, ἀντιλάβεσθε
τῆς ὀρφανῆς ταύτης· γε-
νόμενοι αὐτοὶ εἰς τὸ
ἀντὶ πατρὸς καὶ μητρός· πολλὴ
οὖν σύγχυσις δακρύων
ἐγένετο παρὰ πάντων·
ὥστε καὶ αὐτὸν τὸν βασι-
λέα ἀλαλάζειν καὶ κλαί-
ειν· μετ᾽ ὀλίγον δὲ χρόνον
ἀναθέντος τοῦ πένθους,
συμβουλεύει ὁ βασιλεὺς
τῇ Εὐπραξίᾳ, ἐκδοῦ-
ναι τὴν θυγατέρα αὐ-
τῆς Εὐπραξίαν, υἱῷ
τινὸς συγκλητικοῦ,
πάνυ εὐπορωτάτῳ· ἡ
δὲ πείθει τὴν Εὐπραξί-
αν δέξασθαι ἀρραβῶ-
νας· δεξαμένη δὲ τοὺς
ἀρραβῶνας, ἀνέμενον
τὴν ἀκμὴν τῆς κόρης·
ἦν γὰρ πάνυ παιδίον, ὅ-
τε τοὺς ἀρραβῶνας ἐδέ-
ξατο· μετὰ δὲ ὀλίγον
χρόνον, ἐπεισέρχεται
τις τῶν συγκλητικῶν
λαβεῖν τὴν γυναῖκα
τοῦ Ἀντιγόνου πρὸς
γάμον· καὶ διὰ γνωρί-
μων γυναικῶν συγκλη-
τικῶν, πείθει τὴν δέ-
σποιναν λάθρα τοῦ βα-
σιλέως τοῦ ἀποστεῖλαι
καὶ διαλεχθῆναι τῇ

εὐπραξία. ἡ δέ, ἀκού-
σασα καὶ πικρῶς ἀλαλά-
ξασα, λέγει ταῖς ἀπο-
λειφθείσαις γυναιξίν· οὐ-
αὶ ὑμῖν ἐν τῷ μέλλοντι
αἰῶνι, ὅτι τοιαῦτα συμ-
βουλεύεσθε· καὶ εἰς τοι-
αῦτα συνέρχεσθαι βουλό-
μεναι κατὰ θεοῦ ζῆν. ἀπέλ-
θατε ἀπ' ἐμοῦ, ὅτι ἀλλό-
τρια εἰργάσασθε. αἱ δέ,
ἀκούσασαι ταῦτα, ἀ-
πελθοῦσαι ἀπήγγειλαν
τῇ δεσποίνῃ τὰ τοῦ πρά-
γματος. γνοῦσα δὲ ταῦ-
τα ὁ βασιλεύς, ἐπιφέ-
ρεται τῇ βασιλίσσῃ σφο-
δρῶς· καὶ ὀργισθεὶς κατ' αὐ-
τῆς, καὶ λέγει αὐτῇ· ἀλη-
θῶς Αὐγοῦστα, ἀλλότριον
τῆς σῆς πολιτείας εἴρ-
γασαι πρᾶγμα· ταῦτα
οὐκ ἔστι φιλοχρίστου βα-
σιλίσσης. οὕτως ἐπεθυ-
τῷ θεῷ βασιλεύειν ἀ-
σεβῶς; οὕτως μέμνη-
σαι τοῦ Ἀντιγόνου τοῦ
λέγει τὰ χρηστὰ ἡμῖν συμ-
βουλεύοντος; ἀλλότρι-
ον τῆς ἡμετέρας βασι-
λείας ἐποίησας· ὥστε
γυναῖκα σωφροσύνην
ἀσκήσασαν μόνην, καίτοι
νεάσιον ὑπάρχουσα-
τοῖς ἔτεσιν, ἔμεινε καὶ μόνην

ἐμὶ αὐτὸν συνῴκησα
μετὰ τοῦ ἀνδρός· καὶ εὐ-
θέως ἐκ συμφώνου διὰ
τὸ τῶν ὁσίων βασιλει-
ῶν, ἔλαβον ἑαυτοὺς ἀπ' ἀλ-
λήλων· καὶ σὺ νῦν πάλιν
ἐλθεῖν ἐπὶ τὸν κόσμον
ἀναγκάζεις; οὐδὲ τὸν
θεὸν ἐφοβήθης, τὸ παρά-
νομον τοῦτο θέλεις ποι-
ῆσαι; τίς ἀκούσει καὶ
οὐ καταγελάσεται τῆς ἐμῆς
βασιλείας. ἢ τίς πει-
σθῇ τοῖς ἀνοσίοις μοι λέγειν,
ὅτι ἐκ τῆς ἐμῆς βουλῆς
γέγονε τὸ ἀπει τοῦτο πρᾶ-
γμα· ὃ οὐκ ἔδοξεν, οὔτε
ἀκουσθῆναι ἐπὶ τῆς
ἐμῆς βασιλείας· μά-
λιστα διὰ τὸν γνήσιον
μου φίλον Ἀντίγονον.
Ἀκούσασα δὲ ταῦτα
ἡ Αὐγοῦστα, καὶ ἀλλοιω-
θεῖσα τὸ πρόσωπον αὐ-
τῆς ἀπὸ τῆς αἰσχύνης,
ἔμεινεν ὡς λίθος ἄφω-
νος ἐπὶ ὥρας δύο· ἐ-
γένετο λύπη μεγάλη, με-
ταξὺ τοῦ βασιλέως καὶ
τῆς δεσποίνης, διὰ τὴν
εὐπραξίαν. μαθοῦσα δὲ
ταῦτα ἡ Εὐπραξία, ὅτι
μεγάλη ἐγένετο λύπη
μεταξὺ τοῦ βασιλέως
καὶ τῆς δεσποίνης δι' αὐτήν,

ἐνέπεσε τὸ πρόσωπον
αὐτῆς· καὶ ἐγένετο περί-
λυπος ἕως θανάτου.
καὶ ἐβουλεύσατο ἀνα-
χωρῆσαι τῆς πόλεως.
Κλαίουσα οὖν καὶ κατώδυ-
νος ὑπάρχουσα, λέγει
τῇ θυγατρὶ αὐτῆς Ἀπρα-
ξίᾳ· ἰδοὺ ἔχομεν ἐν Αἰ-
γύπτῳ πολλὴν καὶ μεγά-
λην περιουσίαν· δεῦρο
ἀπελθωμεν ἐκεῖσε, ἵνα ἐπι-
σκεψώμεθα, καὶ τὴν οὐ-
σίαν πατρός σου καὶ τὴν ἐμήν.
σαι γὰρ εἰσὶ πράγματα τῶν
τέκνα μου· καὶ λαβοῦσα
τὸ ἴδιον θυγάτριον
Ἀπραξίαν, ἀνεχώρησε
τῆς βασιλευούσης πόλε-
ως, λαθραίως τοῦ βασιλέ-
ως Θεοδοσίου, καὶ ἔρχε-
ται εἰς τὴν Αἴγυπτον.
διέτριβε δὲ ἐν ταύτῃ
ἐπισκεπτομένη τὴν κτῆ-
σιν αὐτῆς. εἰσέρχεται
δὲ καὶ εἰς τὴν ἐσωτέ-
ραν Θηβαΐδα, σὺν τοῖς
ἐπιτρόποις αὐτῆς καὶ
οἰκονόμοις, φροντίσαι
τῶν ἰδίων αὐτῆς πραγμά-
των. ἦν δὲ κἀκεῖσε σχολά-
ζουσα, ἐν ταῖς ἐκκλησίαις
καὶ ἐν τοῖς μαρτυρίοις·
καὶ πολλὴν καρποφορίαν
προσφέρουσα. περιήρχετο

δὲ καὶ ἐν τοῖς μοναστηρί-
οις τῶν ἀνδρῶν τε καὶ
γυναικῶν, καὶ διεδίδου
χρήματα πολλά. ἦν δὲ
γυναικῶν μοναστήριον
ἐν μιᾷ τῶν πόλεων τῶν
ἐκεῖσε. ἔχων ἀσκητρί-
ας ἑκατὸν πεντήκοντα.
περὶ τούτων πασῶν με-
γάλας καὶ θαυμαστὰ
ἔργα ἀσκησίας ἐκήρυττον
οἱ ἄνθρωποι τῶν ἐκεῖσε. οὐ-
κ ἦν ἐν τῷ μοναστηρίῳ
ἐκείνῳ γεύσασθαι οἴνου
ἢ ἐλαίου· οὐκ ἦν τινα ἀπ'
αὐτῶν μεταλαβεῖν ὀπώ-
ρας· ἢ ἐλαίου· ἢ σταφυ-
λῆς· ἢ σύκων· ἢ ἑτέ-
ρων ἄλλων τῶν ἐπὶ γῆς
τούτων. τινὰς δὲ ἐξ αὐ-
Τῶν δ' ἀποταξαμέναι ἐκ-
παιδόθεν, ἔλεγον· μη-
δέποτε αὐτὸ τὸ εἶδος τῆς ὀπώ-
ρας ἑωρακέναι. τὸ δὲ βρῶ-
μα αὐτῶν, ἦν ποτὲ μὲν,
λάχανον· ποτὲ δὲ καὶ ὄ-
σπριον· καὶ ταῦτα δίχα
ἐλαίου. τινὲς δὲ ἐξ αὐτῶν
ἀπὸ ἑσπέρας εἰς ἑσπέ-
ραν· ἄλλαι δὲ, διὰ δύο
ἡμερῶν· ἄλλαι δὲ διὰ
τριῶν, ἢ ἀθῷον· οὐκ ἦν τι-
νὰ δὲ ἐξ αὐτῶν νίψασθαι
τοὺς πόδας ὕδατι. πολ-
λοῦ λουτροῦ πολλαὶ ἀκούουσαι

λέγειν· τοῦτο γὰρ ἀκοῦ-
σασα, καταγελῶν· αἰ-
σχύνης γὰρ καὶ ὀδύνης
μεστὸν ἦν τὸ διήγημα·
καὶ ὡς βδελυκτοῦ ὄν-
τος τοῦ πράγματος, οὐδὲ
ἀκοῦσαι τούτου, ἢ αὐτῷ
παραβαλεῖν ὅλως ἠβου-
λήθησαν. ἑκάστη δὲ αὐ-
Τῶν, κοίτην εἶχεν εἰς τὸ
ἔδαφος, τεύχιμον μὲν ἑνὸς
πήχεως τὸ πλάτος· καὶ
τριῶν τὸ μῆκος· καὶ εἰς
αὐτὸ διενεπαύοντο πρὸς
βραχύ. ἦν δὲ καὶ τὰ ἐν-
δύματα αὐτῶν χιτώ-
νια τρίχινα ἕως κάτω·
κατακαλύπτον τὰ τῶν
ποδῶν ἄκρα. οὐκ ἦν ταῖς
ταῖς ἀσθενούσαις ἀπόλαυ-
σματα τεικόμενεις βοήθει-
αν προσδεχομένη· ἀλλ' ἐάν
τινα αὐτῶν συνέβη ἀ-
σθενῆσαι, ὡς μεγίστην εὐ-
λογίαν παρὰ τοῦ θεοῦ ἐ-
δέχετο τὴν ἀσθένειαν·
καὶ ἐπέμενε διακαρτε-
ροῦσα τὴν νόσον· τὴν
τοῦ θεοῦ βοήθειαν περιμέ-
νουσα. οὐκ ἦν τινα αὐ-
τῶν ἔξω τῆς πύλης ἐξελ-
θεῖν· θυρωρὸς δὲ ἦν, δι'
ἧς, ἢ ἀποκλείσεις πᾶσα ἐ-
γίνετο. πολλαὶ οὖν ἰά-
σεις ἐγίνοντο ἐκεῖσε· ἡ οὖν

Ἐν παρεξία ποθήσασα
τὸ μοναστήριον τῶν ἁ-
γίων γυναικῶν ἐκείνων,
διὰ τὴν ἐν ἄκρῳ αὐτῶν
πολιτείαν, πυκνότε-
ρον εἰς τὸ μοναστήριον
ἀπήει, κηρούς καὶ θυ-
μιάματα προσφέρου-
σα. μιᾷ οὖν τῶν ἡμε-
ρῶν, παρεκάλει ἢ ἀ-
ρεσκεία τὴν διάκονον
καὶ ἀρχιμανδρίτιν· ἔ-
τι δὲ πρώτας τῶν μονα-
ζουσῶν. λέγουσα, μὴ παρ'
ἀλλοτρίαν τοῦ ἀσκητη-
ρίου θέλω παρασχεῖν· εἴ-
κοσιν ἢ καὶ τριάκοντα
λίτρας ὠνουμένη αὐσιαῖον,
ἵνα εὔχησθε ὑπὲρ τῆς
ὀρφανῆς ταύτης, καὶ
τοῦ πρὸς αὐτῆς ἀνδρός
μου. λέγει οὖν αὐτῇ ἡ
θεοδούλη ἡ διάκονος
καὶ ἀρχιμανδρίτισσα· κύ-
ρία μου συγκλητική. οὐ
χρείαν ἔχουσιν αἱ δοῦλαί
σου, κτημάτων. οὕτω
μὴ ἐπὶ θεῷ μοῦσιν αὐτῷ.
διὰ τοῦτο πάντων τῶν
ἐν βίῳ κατεφρόνησαν,
ἵνα τῶν αἰωνίων ἀγα-
θῶν ἀπολαύσωσιν. οὐ
Δὲν θέλουσι κτήσασθαι
ἐπὶ γῆς, ἵνα μὴ τοῦ
οὐρανίου ἀποτύχωσι πλούτου.

ἵνα διὰ σὲ μὴ λυπήσω,
καὶ ἀνθρώπων ἀπολυθῶ,
ἔλαιον ὀλίγον, καὶ θυ-
μίαμα τὰ παράσχε ἐν τῷ
ἀκτηρείῳ· καὶ ἔσται ὑ-
μῖν, εἰς μίαν θὸν διὰ καὶ
ὁσιώνης· παρασχεθὲν
Τῶν δὲ τούτων, παρεκά-
λει ἡ ἀπραξία, τὴν
διάκονον θεοδούλην.
καὶ πάσας τὰς ἀδελ-
φάς, ἵνα εὔξωνται,
ὑπὲρ δῶν τῆ γόμου, καὶ
τῆς θυγατρὸς αὐτῶν
ἀπραξίας. μιᾶ οὖν
τῶν ἡμερῶν, λέγει ἡ
διάκονος θεοδούλη
τῷ κορασίῳ χαριέν-
τως. κυρία μου συγκλη-
τική. φιλεῖς τὸ μονα-
στήριον τοῦτο, καὶ τὰς
ἀδελφάς; ἡ δέ, εἶπε·
κυρία μου. φιλῶ ὑμᾶς.
λέγει αὐτῇ θεοδούλη
ἡ διάκονος. ἐὰν φιλῇς
ἡμᾶς, μεῖνον μεθ' ἡ-
μῶν ἐν τῷ σχήματι του-
τῳ. λέγει αὐτῇ τὸ κο-
ράσιον. ἀληθῶς ἐὰν
μὴ λυπῆται ἡ κυρία
ἡ μήτηρ μου, οὐκ ἐξέρχο-
μαι τοῦ τόπου τούτου.
λέγει αὐτῇ πάλιν ἡ δια-
κονος. εἰ πῶς κυρία μου
ἀπραξία. τίνα πλέ-

φιλεῖς· ἡμᾶς, ἢ τὸν
ὁρμαθὸν αὐ. λέγει αὐ-
τῇ τὸ κοράσιον. οὔτε
ἐγὼ εἶδον ἐκεῖνον, οὔ-
τε ἐκεῖνος ἐμέ. ὑμᾶς
δὲ ἀγαπῶ. καὶ ὑμᾶς
οἶδα. ὑμεῖς δὲ τίνα
ἀγαπᾶτε. ἐκεῖνον
ἢ ἐμέ. λέγει αὐτῇ ἡ
διάκονος θεοδούλη.
ἡμεῖς σὲ ἀγαπῶμεν καὶ
τὸν χριστὸν ἡμῶν. λέγει
αὐτῇ τὸ κοράσιον. οὐ-
κοῦν κἀγὼ ὑμᾶς ἀγαπῶ.
καὶ τὸν χριστὸν ἡμῶν. ἐκα-
θέζετο δὲ ἡ μήτηρ αὐτῆς
καὶ τοῦ ποταμοῦ τῶν δα-
κρύων, οὐκ ἦν ἀλλαχε-
τισμός. ἡ δὲ ὡς δὲ ἦν
Κούσασα τῶν ῥημάτων τοῦ
κορασίου ἡ διάκονος.
ὅτι τοῖς εὐτεσίν οὖν παι-
δίον οὕτως καλῶς ἐλά-
λει. οὕπω δὲ ἦν ἐτῶν ἑ-
πτά, ὅτι τὰ τοιαῦτα
μετὰ τῆς διακόνου διε-
λέγετο. κλαίουσα δὲ
ἡ μήτηρ αὐτῆς, λέγει τῇ
ἀπραξίᾳ. δεῦρο τέ-
κνον ἀπέλθωμεν ἐν
τῷ οἴκῳ ἡμῶν, ὅτι ἑ-
σπέρα ἐστί. καὶ λέγει
αὐτῇ τὸ κοράσιον. ἐγὼ
ὧδε μένω μετὰ τῆς κυ-
ρίας τῆς μεγάλης. λέ-

γει ἡ διάκονος· ὕπαγε κυ-
ρία μου ἀπραξία· οὐ δύ-
νασαι γὰρ ὧδε μεῖναι· οὐ
δύναται τὶς ὧδε παρα-
μεῖναι, εἰ μὴ συντάξηται
τῷ χῷ. λέγει αὐτῇ τὸ κο-
ράσιον· καὶ ποῦ ἐστιν
ὁ χς, ἵνα συντάξωμαι
αὐτῷ· ἡ δὲ διάκονος χα-
ριέντως, ὑπέδειξεν αὐ-
τῇ, τὸν δεσποτικὸν χαρα-
κτῆρα. καὶ ἀπελθοῦσα ἡ
ἀπραξία, προσεκύνησε
τῷ δεσποτικῷ χαρακτῆρι·
καὶ στραφεῖσα λέγει τῇ
διακόνῳ· ἀληθῶς κἀγὼ
τῷ χῷ συντάσσομαι· καὶ οὐ-
κέτι ἀπέρχομαι μετὰ τῆς
μρς μου. λέγει αὐτῇ ἡ δι-
άκονος· οὐκ ἔχεις ποῦ κοι-
μηθῆναι τέκνον. διὸ
οὐ δὲ δύνασαι μεῖναι τέ-
κνον ὧδε. λέγει αὐτῇ
τὸ κοράσιον· ὅπου ὑμεῖς
ἀναπαύεσθε, ἐκεῖ κἀγὼ
μεθ᾽ ὑμῶν. ἑσπέρας δὲ οὔ-
σης, ἡ μὴρ αὐτῆς· καὶ ἡ
διάκονος, αὐτῆς τὴν
βουλὴν ἀντικρούουσαι
ἐκολάκευον αὐτὴν τοῦ
ἐκβῆναι τοῦ μοναστηρί-
ου. ἐπὶ πολλὰς οὖν ἡμέρας
ἡ μὴρ αὐτῆς, καὶ ἡ διάκο-
νος καὶ αἱ λοιπαὶ πᾶσαι ἀ-
δελφαί, κολακεύουσαι αὐτὴν

ἐκ τότε τῆς μονῆς ἐκβα-
λεῖν. τότε λέγει ἡ διάκο-
νος τῷ κορασίῳ· εἰ θέλεις
ἐνταῦθα μεῖναι, γράμματα
ἔχεις μαθεῖν· καὶ τὸ ψαλ-
τήριον. καὶ νηστεύειν, ὡς
πᾶσαι αἱ ἀδελφαί. λέ-
γει αὐτῇ τὸ κοράσιον· ἐ-
γὼ νηστεύω· καὶ πάντα
μανθάνω. μόνον ἐνταῦ-
θα ἔασόν με. λέγει οὖν
ἡ διάκονος θεοδούλη,
τῇ μρὶ αὐτῆς· κυρία μου
συγκλητική· ἔασον τὸ
κοράσιον ἐνταῦθα. ὁ-
ρῶ γάρ, ὅτι ἡ χάρις θῦ
ἔλαμψεν εἰς αὐτήν. γὰρ
ἡ δικαιοπραγία τοῦ πρς
αὐτῆς. καὶ ἡ σεμνότης,
αἰώνιον αὐτῇ προξενήσ-
ουσι στέφανον. ἀκούσα-
σα δὲ ἡ ἀπραξία· καὶ λα-
βοῦσα τὸ ἴδιον θυμιατή-
ριον, παρέστησε τῷ δεσπο-
τικῷ χαρακτῆρι. καὶ ἐκ-
τείνασα τὰς χεῖρας εἰς
τὸν οὐρανόν, ἐδέετο τοῦ θῦ
μετὰ δακρύων λέγουσα,
κε ἰῦ χε, σοὶ μελήσει
περὶ τοῦ παιδίου τούτου.
ὅτι σὲ ἐπεπόθησε· καὶ
σοὶ ἀνέθετο ἑαυτήν. καὶ
στραφεῖσα, λέγει τῇ ἀ-
πραξία· ὁ θς ὁ αἰώνιος·
ὁ θεμελιώσας τὰ αἰῶ-

μητα ὄρη, αὐτὸς στερεώσας
σε εἰς τὸν φόβον αὐτοῦ
τέκνον· καὶ ταῦτα εἰποῦ-
σα ἐπέδωκεν αὐτήν· εἰς
τὰς χεῖρας τῆς διακόνου·
κλαίουσα δὲ καὶ τύπτουσα
τὸ στῆθος ἑαυτῆς, ἐξῆλ-
θεν ἐκ τοῦ μοναστηρίου·
ὥστε πᾶσαν τὴν συνοδίαν
συγκλαίειν αὐτῇ· τὴν
οὖν ἐπαύριον παραλα-
βοῦσα ἡ διάκονος τὴν ἀ-
πελείαν, εἰσήγαγεν αὐ-
τήν, ἐν τῷ ἀσκητηρίῳ·
καὶ εὐξαμένη ὑπὲρ αὐ-
τῆς, περιέβαλεν αὐ-
τήν, τὸ μοναχικὸν σχῆ-
μα· εἰσελθοῦσα δὲ ἡ μήτηρ
αὐτῆς, καὶ θεασαμένη
αὐτὴν περιβεβλημέ-
νην τὸ ἀγγελικὸν σχῆμα,
ἐκτείνουσα τὰς χεῖρας
εἰς τὸν οὐρανόν, ἐδέετο
τοῦ θεοῦ περὶ αὐτῆς
οὕτως· βασιλεῦ τῶν
αἰώνων· ὁ ἀρξάμενος
ἐν αὐτῇ τὸ ἀγαθὸν ἔρ-
γον, αὐτὸς ἐν εἰρήνῃ
τελείωσον· καὶ δὸς
αὐτῇ πολιτεύεσθαι κα-
τὰ τὰς ἐντολάς σου, ἵνα
παρρησίαν εὕρῃ ἐνώ-
πιόν σου, ἡ δὲ ἡ ὀρφα-
νή με· καὶ ταῦτα εἰποῦ-
σα, λέγει τῇ εὐπραξί-

α· ποθεῖς περιβεβλῆ-
σθαι τὸ σχῆμα τοῦ χυ̅ ἡ κόρη,
λέγει· ναὶ κυρία μου
μῆτερ· ἔμαθον γὰρ τῆς κυ-
ρίας τῆς μεγάλης, ὅτι
τὸ σχῆμα τοῦ θυ̅, ἀρραβῶ-
μα ἐστὶ δωσείν ὁ χριστὸς τοῖς
ποθοῦσιν αὐτόν· λέγει
πρὸς αὐτὴν ἡ μήτηρ αὐτῆς·
ὁ χριστὸς ᾧ ἐμνηστεύθης τέ-
κνον, αὐτὸς ἀξιώσαι σε,
καὶ τοῦ νυμφῶνος αὐτοῦ
ἐπιτυχεῖν· ταῦτα εἰ-
ποῦσα, καὶ ἐπευξαμένη
τῇ διακόνῳ καὶ ταῖς
ἀδελφαῖς, ἐξῆλθε τοῦ
μοναστηρίου· περιῆρ-
χετο δὲ κατὰ τὸ ἔθος
αὐτῆς εἰς τὰς πόλεις
πάσας· παρέχουσα τοῖς
πτωχοῖς, τὸ πρὸς τὴν
χρείαν· πανταχοῦ δὲ
ἐλαλεῖτο ἡ ἐνάρετος
πολιτεία τῆς μεγάλης
εὐπραξίας· ὥστε καὶ
αὐτὸν τὸν βασιλέα θε-
οδόσιον ἀκούειν τὰ
περὶ αὐτῆς· καὶ πᾶ-
σαν τὴν σύγκλητον θαυ-
μάζειν, τὸν θεόν· ἤκου-
ον γὰρ ὅτι ἰχθύος· οὔ-
τε οἴνου· ἀλλὰ ἀπὸ τῆς
αὐτῆς δορυφορείας ἐ-
δόξης, ἀπὸ ἑσπέρας
εἰς ἑσπέραν ἐγεύετο,

ποτὲ μὲν, ὄσπρειον· πο
τὲ δὲ λάχανον· μετὰ δὲ
ἡμέρας ὀλίγας, προσ
καλεσαμένη ἡ διάκονος
τὴν μητέρα τοῦ κορασίου, λέ
γει αὐτῇ κατ᾽ ἰδίαν· κυ
ρία μου συγκλητική· πρᾶ
γμα ἔχω σοι ἀναγγεῖλαι·
ἀλλὰ μὴ ταράξῃς· ὅλη
ἀλογισμίας· ἡ δὲ, εἶπεν·
εἰπὲ δὲ πρᾶγμά μου εἴ τι
κελεύεις· λέγει αὐτῇ ἡ
διάκονος· ὃ θέλεις βου
λεύσασθαι περὶ τοῦ παιδί
ου σου, βούλευσαι· εἶδον
γὰρ κατὰ τὸν ὄρθρον αἰζίγονον·
τὸν ἄνδρα σου· ἐν μεγά
λῃ δόξῃ ὄντα· καὶ ὅτι
παρεκάλεσε τὸν δεσπό
την θεὸν, ἵνα ἐκδημήσῃς
ἐκ τοῦ σώματός σου, καὶ
σὺν αὐτῷ ἔσῃ λοιπὸν,
καὶ τῆς δόξης ἀξιωθήσῃ,
ἧς ἠξιώθη ἀντίγονος,
διὰ τὴν καλὴν αὐτοῦ πο
λιτείαν· ἀκούσασα
Δὲ ἡ ὄντως συγκλητική,
καὶ θεοφιλὴς γυνή, οὐ
κ ἐταράχθη· οὐδὲ ἐλυπή
θη· ἀλλ᾽ ἐχάρη χαρὰν με
γάλην· ηὔχετο γὰρ τὸν
ἀνθρώπινον ἀπεξελθεῖν
βίον, καὶ εἶναι λοιπὸν
μετὰ τοῦ ἀνδρὸς αὐτῆς
σὺν χριστῷ· προσκαλεσαμένη
οὖν τὴν θυγατέρα αὐτῆς,
λέγει αὐτῇ· τέκνον μου ἁ
πραξία· ὡς ἀπήγγειλέ
μοι ἡ κυρία ἡ μεγάλη,
προσκέκληκέ με ὁ χριστὸς
καὶ ἤγγισεν ἡ τῆς τελευ
τῆς μου ἡμέρα· ἰδοὺ
οὖν πᾶσαν τὴν οὐσίαν ἀγγ
ἡ μόνον δίδωμί σοι· καὶ
διοίκησον αὐτὴν εὐσε
βῶς· ἵνα τὸν ἐπουρά
νιον πλοῦτον κληρονο
μήσῃς· ἀκούσασα δὲ
Ταῦτα ἡ ἁγία πραξία ἀπὸ
ρα τῆς μητρὸς αὐτῆς, ἤρ
ξατο κλαίειν, καὶ ὀ
δύρεσθαι· λέγουσα
οὐαί μοι· ὅτι ὀρφανὴ
καὶ ξένη ὑπάρχω· λέ
γει αὐτῇ ἡ μήτηρ αὐτῆς·
ἔχουσα τὸν χριστὸν τέκνον
μου, οὔτε ξένη ὑπάρ
χεις, οὔτε ὀρφανή· ἕ
ξεις γὰρ τὴν κυρίαν τὴν
μεγάλην ἐπεὶ τὰ ξένα· μετὰ
βλέπε ὦ τέκνον· καὶ
σπούδασον ὃ ἐπηγγεί
λω πληρῶσαι· τὸν θεὸν
Φοβοῦ· τὰς κυρίας καὶ
ἀδελφὰς, τίμα· καὶ δου
λεύε αὐτάς, μετὰ πά
σης ταπεινοφροσύνης·
μὴ εἴπῃς ἐν τῇ καρδί
ᾳ σου, ὅτι αἵματος βα
σιλικοῦ εἰμί, καὶ ὀφεί

λον δουλεύεσθαι καὶ
μὴ δουλεύειν· πτωχὰ
σον οὖν ἐπὶ τῆς γῆς,
ἵνα ἐν οὐρανῷ πλουτή-
σῃς. ἰδοὺ παρέθηκα τὴν
οὐσίαν τοῦ πατρός σου
τὴν ἐμὴν δέδωκα ὑπὸ
τὴν χεῖρά σου· ὅσα
βούλονται κτήματα κι-
νήματα παράσχες τῷ
μοναστηρίῳ· καὶ ἄρχου
ὑπὲρ τοῦ πατρός σου καὶ
ἐμοῦ, ἵνα εὕρωμεν ἔ-
λεος παρὰ τῷ θεῷ· καὶ
ἵνα ῥυσθῶμεν, τῆς αἰ-
ωνίου κολάσεως. ταῦ-
τα ἐντειλαμένη τῇ θυ-
γατρὶ αὐτῆς, μετὰ τέσσαρας
ἡμέρας ἐτελεύτησεν· ἔ-
θαψαν δὲ αὐτήν, ἐν τῷ
μνήματι τοῦ ἀσκητη-
ρίου. μαθὼν δὲ ὁ βασι-
λεὺς Θεοδόσιος ὅτι ἐτε-
λεύτησεν ἡ Εὐπραξία
ἡ γυνὴ Ἀντιγόνου, με-
ταστειλάμενος τὸν
συγκλητικὸν τὸν προ-
τοῦ ἁρμοσαμένου τὴν
Εὐπραξίαν, ἀπέστει-
λεν αὐτῷ λέγων, ὅ-
τι τὸ κοράσιον ἀπετά-
ξατο· καὶ ἡ μήτηρ αὐτῆς,
ἐτελεύτησεν. ὁ δὲ συγ-
κλητικὸς ἀκούσας,
ἐδεήθη τοῦ βασιλέ-
ως, τοῦ διὰ ταχέων γρά-
μμα γράψαι· καὶ πεῖσαι
τὸ κοράσιον τοῦ κατα-
λαβεῖν τὴν βασιλεύουσαν
πόλιν, καὶ λαβεῖν τὸν
υἱὸν αὐτοῦ. ἡ οὖν Εὐπρα-
ξία δεξαμένη τὰ γράμ-
ματα τοῦ βασιλέως.
καὶ ἀναγνοῦσα, μεγά-
λως κατεγέλασεν αὐτοῦ.
καὶ καθίσασα, ἀντιγρά-
φει αὐτῷ ἰδιόγραφον
ἐν τῇ πόλει· περιέχου-
σαν οὕτως· δέσποτα
αὐτοκράτορ· τοιαῦτα
συμβουλεύεις τῇ δού-
λῃ σου, ἵνα ἀθετήσω
τὸν Χριστόν, καὶ συνοικήσω
σκώληκι φθαρτῷ, τῷ
σήμερον μὲν ὄντι, αὔρι-
ον δὲ φθειρομένῳ; μὴ
γένοιτο τῇ δούλῃ σου
τοῦτο, τὸ παρανομῆσαι
πρᾶξαι, καὶ ἀθετῆσαι
τὸν Χριστόν· ὥστε οὖν κἂν εἰ
ἐμὸν βασιλεῦ, μὴ κό-
πους ἡμῖν παρέχει ὁ
ἀνήρ· ἐγὼ γὰρ τῷ θεῷ
συνεταξάμην, καὶ ἀδύ-
νατόν ἐστιν ἀθετῆσαι
αὐτόν· ἀλλὰ δέομαι τοῦ
ἡμετέρου κράτους, μνη-
σθῆναι τῶν ἐμῶν γονέων·
καὶ λαβεῖν ἡμῶν πᾶσαν
τὴν οὐσίαν· καὶ διαδοὺς αὐτὴν

πενιχροῖς καὶ ὀρφανοῖς·
καὶ δεδόσθαι παρ' αὐτοῦ ταῖς τε
ἐκκλησίαις καὶ τοῖς μαρ
τυρείοις· καὶ διὰ τὸ ὅτι
μεμνῆσθαι τῶν ἐμῶν γο
νέων· μάλιστα τοῦ ἐμοῦ
πατρός. ἀκούω γὰρ ὅτι ἀρχι
ερεύς σου ὑπάρχει ἐν τῷ
παλατίῳ διοικήσων
αὐτοῦ τὴν οὐσίαν καλῶς.
Καὶ πάντας τοὺς ὑπὸ τὸν
ζυγὸν δούλους, ἐλευ
θέρωσον· χαρισάμενος
ἑκάστῳ λεγάτα, ἵνα
ἔξουσιν ἐκ τούτων εἰς τὸ
ἑξῆς, τὴν αὐτάρκειαν αὐ
τῶν. ὅπως κατὰ τὴν βου
λησιν αὐτοῦ μνημόσυνα τε
λῶν, κατὰ τὸ εἰωθὸς ἀπαρ
ξεις πάντως τῷ θεῷ δουλεῦ
σαι, ὃ καὶ τὴν ψυχήν μου
ἀνεθέμην. εὐχαριστῶ ὑπὲρ
τῆς βουλῆς ὑμῶν. ἀρχι
ερεὺς δὲ καὶ ἡ φιλόχριστος
δέομαι, ὑπὲρ τῆς βου
λῆς αὐτῆς. καὶ σφραγίσα
σα τὴν ἐπιστολήν, ἔδω
κε τῷ ταχυδρόμῳ. παρα
γενόμενος δὲ ὁ ταχυ
δρόμος, ἐπέδωκε ταύ
την τὴν ἐπιστολὴν τῷ βα
σιλεῖ, καὶ τῇ δεσποίνῃ, ἀ
ναπτύξαντος δὲ τὴν
ἐπιστολήν, πολλὰ δάκρυ
α ἀμφότεροι ἐξέχεαν,

ἀρχόμενοι τῆς εὐπραξί
ας. πρωΐας δὲ γενομέ
νης, προσκαλεσάμενος
ὁ βασιλεὺς πᾶσαν τὴν
σύγκλητον. ἅμα δὲ καὶ
τὸν πατέρα τοῦ ὁρμασα
μένου τὸ κοράσιον, ἐ
κέλευσε τὴν ἐπιστολὴν
ἀναγνωσθῆναι. ἀναγνω
σθείσης δὲ τῆς ἐπιστο
λῆς, πάντες ἐμπλη
σθέντες δακρύων. καὶ
λέγοντες ἐξ ἑνὸς στό
ματος. ἀληθῶς κύριε
βασιλεῦ, τέκνον ἐστὶ
τοῦ ἀντιγόνου, καὶ τῆς
ἀπραξίας. σου γένος
καὶ αἱ μητέρες ἐπὶ τὸ κο
ράσιον τοῦτο. οὕτως
θεοσεβῶν ἀνδρῶν, εὐ
σεβῆ καὶ τὰ τέκνα. καὶ
πάντες συμφώνως
ἐδόξασαν τὸν θεόν. καὶ ηὔ
ξαντο ὑπὲρ τοῦ κορασί
ου. ἔκτοτε δέ, οὐκέτι
ὁ συγκλητικὸς ἐκεῖνος,
ἠνώχλησε τὸν βασιλέ
α, περὶ τοῦ κορασίου.
Ὁ οὖν βασιλεὺς πάντα
καλῶς διαπραξάμενος
περὶ τοῦ κορασίου, καὶ
εὐσεβῶς διοικήσας, ἐ
τελεύτησε καὶ αὐτός.
καὶ ἐτάφη καὶ αὐτὴ,
μετὰ τῶν πατέρων αὐτοῦ. ἤ

σαί γε εὐπραξίαν μα-
καλῶς κατὰ θεὸν ἠγωνίσα-
το. ἀκούσασα ὑπὲρ τὸ
μέτρον αὐτῆς. ἦν δὲ ὡς
ἐτῶν δώδεκα, ὅτε πρὸς
τοὺς ἀγῶνας ἑαυτὴν
ἐγύμναζε. καὶ πεινῶ-
μένη, ἀπὸ ἑσπέρας εἰς
ἑσπέραν ἐνήστευε. ἔπει-
τα διὰ δύο ἡμερῶν. εἶ-
τα καὶ τειῶν. οὐκ ἦν τινὰ
ἄλλον κοσμῆσαι τὸ ἀκτη-
ειον. ἢ τῶν ἀδελφῶν
ταῖς κοίταις ἀστρωτοι αι.
ἢ ὕδωρ ἀντλῆσαι. καὶ
ἐν τῷ μαγειρείῳ ἀπο-
κομίσαι. τοιοῦτο δὲ ἦν
τὸ τῶν ἀσκητειῶν ἐ-
κείνων ἔθος. εἶτα συνέ-
βη τινὰ τῶν ἀδελφῶν
πειρασθῆναι ὑπὸ τοῦ δια-
βόλου κατὰ τὸν νοῦν, ἀφε-
ως ἐνώειζε τὴν διακο-
νω. ἡ δὲ, μετὰ δακρύ-
ων ἱκέτευε τὸν θεόν, ἀπο-
στῆναι τὸν διάβολον
ἀπ' αὐτῆς. ἐκέλευσε δὲ
καὶ λίθους κομίζεσθαι
καὶ τίθεσθαι ὑπὸ τὴν
κοίτην τῆς ἀδελφῆς
ὑποκάτω τοῦ τεύχι-
μου σακκίου. καὶ τὰ φραν-
ραίμεσθαι. καὶ εἰς αὐτὰ
διαναπαύεσθαι τὴν ἀ-
δελφήν. ὅτι κέλευσε δὲ

ἡ διάκονος τὴν ἀπρα-
ξίαν ποιεῖν ταῦτα. δι-
ότι αὐτὴ ἦν ἀστρωτίζου-
σα τὰς κοίτας τῶν ἀ-
δελφῶν. μία γοῦν τῶν
Ἡμερῶν πειρασθεῖσα ἡ
ἀπραξία ὑπὸ τοῦ διαβό-
λου κατὰ τὸν νοῦν, συλλέξα-
σα λίθους, ἔθηκεν ὑπο-
κάτω. καὶ ἐμάγκασα τα-
φραν, ἐρράνεν ὑπάνω
τοῦ σάκκου αὐτῆς. ἰ-
δοῦσα δὲ ἡ διάκονος
ἐπὶ τῆς κοίτης ἀπρα-
ξίας, ἐγέλασε. καὶ
λέγει μία τῶν ἀδελ-
φῶν. ἀληθῶς τὸ κοσ-
σίον ἤρξατο τῶν πει-
ρασμῶν. καὶ ἀρξαμένη
ἡ διάκονος εἶπεν.
ὅθεν ὀκνήσας αὐτὴν κα-
τὰ κόλασιν. καὶ κελά-
σας αὐτὴν ἐπιλαβέσθαι
τὸ σχῆμα τοῦτο, αὐτὸς
στερέωσον αὐτὴν ἐν τῷ
φόβῳ σου. καὶ καλεῖ τὴν
ἀπραξίαν ἡ διάκονος
καὶ λέγει αὐτῇ. ἵνα τί
οὐκ ἀπήγγειλάς μοι τὸν
πειρασμὸν τοῦ διαβόλου,
ἀλλ' ἐκρύψας μοι. ἡ δὲ, πε-
σοῦσα εἰς τοὺς πόδας τῆς
διακόνου, λέγει αὐτῇ.
συγχώρησόν μοι δέσποι-
νά μου, ὅτι ἠσχύνθην κα-

παραγγεῖλαι τὴν αἰτίαν. λέγει αὐτῇ ἡ διάκονος· τέκνον μου εὐπραξία· ἰδοὺ ἤρξω τοῦ πολέμου. ἀλλὰ δεῖξον οὖν, ἵνα νικήσῃς καὶ στεφανωθῇς. πάλιν οὖν πειρασθεῖσα, ἀπήγγειλεν ἀδελφῇ τινί, ὀνόματι Ἰουλίᾳ. ἥτις κατὰ πολλοὺς ἠγάπα τὴν εὐπραξίαν. καὶ ἐγύμναζεν αὐτὴν πρὸς τοὺς ἀγῶνας. καὶ λέγει αὐτῇ Ἰουλία. κυρία μου ἀδελφή. μὴ κρύψῃς αὐτὸ τὴν μεγάλην. ἀλλὰ ἀνάγγειλον αὐτῇ, καὶ μὴ αἰσχυνθῇς. λέγουσι γὰρ περὶ αὐτῆς, ὅτι καὶ αὐτὴ ἐν νεότητι αὐτῆς, πολλοὺς τοιούτους ὑπέστη πειρασμοὺς ὑπὸ τοῦ διαβόλου. καὶ καθὼς λέγουσι, μίαν νύκτα πειρασθεῖσα σφοδρῶς, ἔβαλεν ἑαυτὴν ἔξω τοῦ στέγους. καὶ στᾶσα πρὸ τοῦ ἀέρος. ἐτάσας χεῖρας εἰς οὐρανὸν ἐκτείνασα, τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, οὔτε ἔφαγεν, οὔτε ἔπιεν. οὔτε ὕπνου ἐνεπλήσθη. ἀλλ᾽

Ἵστατο, τῷ θεῷ τὴν ἱκεσίαν προσφέρουσα, ἕως οὗ ἐνίκησε τὸν διάβολον. ὥστε οὖν κυρία μου εὐπραξία, πᾶσαι πειραζόμεθα ὑπὸ τοῦ διαβόλου. ἀλλ᾽ ἐλπίζομεν εἰς τὸν Χριστὸν ἡμῶν, ὅτι νικῶμεν αὐτόν. ταῦτα ἡ εὐπραξία ἀκούσασα, ηὐχαρίστησε μεγάλως τὴν Ἰουλίαν. καὶ λέγει πρὸς αὐτήν· βοηθήσαι σοι ὁ θεὸς ἀδελφή μου, ὅτι ᾠκοδόμησας μου τὴν ψυχήν. λέγω οὖν τῇ μεγάλῃ τὸ πρᾶγμα. λέγει πάλιν αὐτῇ Ἰουλία. ναί, κυρία μου. ἵνα καὶ εὐλογηθῇς καὶ πληροφορηθῇς εἰς τὴν ἄσκησίν σου. παραυτίκα οὖν εἰσελθοῦσα ἡ ἁγία εὐπραξία, ἀπήγγειλε τῇ διακόνῳ. καὶ λέγει αὐτῇ ἡ διάκονος. μὴ ξενιαθῇς τέκνον μου τὸ πρᾶγμα. ὅλος γὰρ ὁ τοῦ διαβόλου πόλεμος ὃν καθ᾽ ἡμῶν συνάπτει, τοιοῦτός ἐστιν.

Ἵστασο οὖν ὡς ἀνδρεία μετὰ καρτερίας τὴν καρδίαν καὶ οὐ μὴ αἰσχυνθῇς. πολλαὶ οὖν πειρασθεῖσαι ἐκ χειρὸς ὑπ᾽ αὐτοῦ. καθὼς οὖν ἀγωνισάμεναι ἐνίκησαν, προσέθηκαν εἰς τὴν ἄσκησίν σου. ὁ γὰρ μεγάλα ἀγωνιζόμενος, μεγάλων ἐπιτεύξεται καὶ τῶν δωρεῶν.

εἶτα λέγει αὐτῇ· διὰ
πόσων ἡμερῶν ἐσθίεις
τέκνον· λέγει αὐτῇ· διὰ
τειῶν δὲ ποιημάμου· λέ-
γει αὐτῇ ἡ διάκονος· πρόσ-
θες ἄλλην μίαν ἡμέραν.
Ἡ δὲ μετὰ χαρᾶς δεξαμέ-
νη τὴν κέλευσιν, ἀνε-
χώρησε· γενομένης
δὲ εἰκοσαετοῦς, ἦν
δεκοῦτο τῇ ἡλικίᾳ·
καὶ ὑπεδέχετο τὴν δύ-
ναμιν· ἦν δὲ καὶ πολ-
λὴ σφόδρα, ὡς ἀ-
ληθῶς συγκλητική, ἐξ
αἵματος βασιλικοῦ
ὑπάρχουσα· πάλιν οὖν
ἐν ἄλλῳ καιρῷ πειρα-
θεῖσα, ἀπήγγειλε τοῦ-
το τῇ διακόνῳ· καὶ λέ-
γει αὐτῇ· μὴ φοβοῦ τέ-
κνον· ὁ θεὸς ἔσται μετὰ
σοῦ· ἦν δὲ ἐν τῇ αὐλῇ
τοῦ ἀσκητηρίου σω-
ρὸς λίθων κείμενος· βου-
λομένη ἡ διάκονος πει-
ρᾶσαι αὐτήν, καὶ παιδεῦ-
σαι, φησὶ πρὸς αὐτήν·
τέκνον μου Εὐπραξί-
α· τοὺς λίθους τούτους
μετακίνησον καὶ θὲς αὐ-
τούς, πλησίον τοῦ φούρ-
νου· εὐθέως οὖν ἡ Εὐπρα-
ξία, ἤρξατο μετα-
κομίζειν τοὺς λίθους·

Ἦσαν δὲ μεγάλοι οἱ λίθοι·
ὡς δύο ὁμοῦ μετακ-
τῶν ἀδελφῶν, μόλις
ἐκίνουν· αὕτη δέ, ἐπὶ
τῶν ὤμων αὐτῆς ἥρπα-
ζε· μηδενὸς χρῄζουσα
βοηθείας ἀνθρωπίνης·
ἦν γὰρ ἡ νεᾶνις, ἰσχυ-
ρὰ σφόδρα· καὶ οὐκ εἶ-
πε τῇ διακόνῳ περὶ βο-
ηθείας τινός· ἀλλ' οὐ-
δὲ τινὶ τῶν ἀδελ-
φῶν εἴρηκεν, ὅτι με-
γάλοι μου εἰσὶν οἱ λί-
θοι, καὶ οὐκ ἰσχύω· οὐκ
εἴρηκεν, ὅτι ἡ νηστεία μου,
καὶ ἀγρυπνῶ καὶ βαρεῖ
με τὸ ἔργον· ἀλλὰ προ-
θύμως προθύμως, τὴν
ὑπακοὴν ἐπλήρου· Πά-
λιν οὖν τῇ ἐπαύριον ἐ-
ξελθὸν τῶν αὐτῶν ἀπὸ
τοῦ ἀσκητηρίου μετὰ
τὴν θείαν λειτουργί-
αν, λέγει ἡ διάκονος
τῇ Εὐπραξίᾳ· οὐ δίκαι-
ον ἐστὶ κεῖσθαι τοὺς λίθους
πλησίον τοῦ φούρνου·
λάβε οὖν τέκνον καὶ με-
τακόμισον πάλιν αὐτοὺς,
εἰς τὸν τόπον αὐτῶν· ἡ
δὲ πάλιν τὸ κέλευσμα
ἐπλήρου· τοῦτο δὲ τὸ
ἔργον, ἐπὶ ἡμέρας τριά-
κοντα ἐκέλευσεν αὐτῇ ἐκ

τελεῖν· πᾶσαι οὖν αἱ ἀ-
δελφαὶ ὁρῶσαι τὸ γενό-
μενον, ἐθαύμαζον τὴν
ὑπακοὴν τῆς ἀπραξίας·
καὶ ἄλλαι μὲν, ὁρῶσαι, ἐ-
γέλων· αἱ δὲ, ηὔχοντο
ὑπὲρ αὐτῆς· αἱ δὲ, ἐ-
πεφώνουν· λέγουσαι, ὅτι
δείξου ἀπραξία· ὁ θ(εὸ)ς
βοηθήσαι σοι· ἡ δὲ, χαί-
ρουσα καὶ ψάλλουσα, τὴν
ὑπακοὴν ἐπλήρου· καὶ τῇ
τελευταίᾳ τῶν ἡμερῶν,
ἐξελθόντων ἀπὸ τοῦ ἀ-
σκητηρίου μετὰ τὴν θείαν
λειτουργίαν, γεναμέ-
νης ἡμέρας, ἀπήρχετο
ἡ ἀπραξία μετὰ κομίζειν
τοὺς λίθους· ἰδοῦσα δὲ
αὐτὴν ἡ διακονος, λέγει
αὐτῇ· ἄφες τέκνον τὴν
διακονίαν ταύτην· καὶ
λαβὲ ἄλευρον· καὶ φύρα-
σον αὐτό, καὶ ὀπτήσον εἰς
τὸν φοῦρνον τοὺς ἄρτους·
ἵνα εἰς ἑσπέραν ἀρκεσθῶ-
σιν ἕτοιμοι πρὸς ὑπηρεσί-
αν τῶν ἀδελφῶν· μετὰ
πολλῆς οὖν χαρᾶς καὶ προ-
θυμίας, ἐποίει τὰ κελευό-
μενα· πάλιν οὖν ὁ διά-
Βολος εὑρίσκει αὐτὴν ἀρμ-
ωτέραν· καὶ φαντάζει
αὐτὴν πειρασμόν, τοιοῦ-
τον· ὡς ὅτι πόσου ἐγκλητί

κὸς ἐκεῖνος ὁ ὁρμασά-
μενος αὐτήν, ἐπιρρίψας
μετὰ στρατιωτικῆς βο-
ηθείας ἀπέωσεν αὐτὴν
τοῦ ἀσκητηρίου· καὶ λαβὼν
ἐπορεύετο· ἡ οὖν ἀπρα-
ζ ξία κειμένη εἰς τὴν κοίτην
αὐτῆς, βίᾳ ἔκραζε· δι-
υπνισθεῖσαι δὲ ὅπερ αἱ
ἀδελφαὶ καὶ ἡ διακονος,
ἤκουον τὰς φωνὰς αὐτῆς·
καὶ διυπνίσασαι αὐτήν,
λέγουσιν αὐτῇ· τί ἐστιν
ὁ ἀγὼν οὗτος σου τέκνον·
ἡ δὲ, ἀθέως, τὸ τοῦ ὁρά-
ματος ἐξηγήσατο· ἀ-
θέως οὖν ἡ διακονος
καὶ αἱ ἀδελφαὶ πᾶσαι,
ἀπῆσαν εἰς εὐχήν, ἕως
οὗ γέγονεν ἡμέρα· καὶ
μετὰ τὴν θείαν λειτουρ-
γίαν, ἕως ὥρ[illegible]
κατέχουσα τὴν βίβλον
ἡ ἀπραξία, ἵστατο ἀ-
ναγινώσκουσα· τῶν λοι-
πῶν ἀδελφῶν καθευδο-
μένων, καὶ ἀκροωμέ-
νων· καὶ μετὰ τοῦτο, ἵ-
σταται εἰς τὴν λειτουργί-
αν τῆς τελετῆς· καὶ πά-
λιν ἡ ἀπραξία, ἦν, τὴν
τῶν ἀδελφῶν ἀπεπι-
ζουσα ὑπηρεσίαν· κοσμοῦ-
σα τε τὸν τρίκλινον· τὰς
κοίτας τῶν ἀδελφῶν·

ὕδωρ δὲ ἂν πλοῖα, καὶ
εἰς τὸ μαγαρεῖον αὐτοῦ
κομίζουσα· ξύλα σχίζουσα·
καὶ ἱσαμένη ἐψεῖ τὸ ὄψαρι-
ον· καὶ τὸ λάχανον· καὶ τὰ ἄλ-
λα ποιοῦσα, οὐδὲ τῆς νυ-
κτερινῆς ἀεὶ λειτουργί(ας)
ἀπελείπετο· ὡσαύτως,
οὐδὲ τῆς ἡμερινῆς· με-
τὰ δὲ τό, ταῖς ὥραις ἀσ-
δ(ι)χάσαι αὐτὰς ἀπολῦσαι,
ἐποίει τὴν ὑπηρεσί-
αν τῆς θεραπεύσεως
ἐν ταῖς τραπέζαις· καὶ
τὸ κρατήσιον ἐπεδίδου,
ταῖς ἀδελφαῖς· συνε-
πόμει δὲ αὐτῇ, καὶ Ἰου-
λία· καὶ γὰρ πάνυ ἐφί-
λει τὴν ἀπραξίαν· πά-
Λιν οὖν ὁ διάβολος κρα-
ταιῶς κατὰ τοιοῦτον ἐπι-
πειράσας αὐτήν, μέ-
γαν ἀγῶνα παρέσχεν
αὐτῇ· ἡ δὲ εὐθέως
ἀπήγγειλεν αὐτὸ τῇ
διακόνῳ· καὶ λέγει
αὐτῇ ἡ διάκονος· τέ-
κνον μου ἀπραξία
καιρὸς ἀγῶνος ἐστί· βλέ-
πε οὖν μὴ χαυνώσῃς τὸ
πονηρὸς τὸν λογισμόν
σου, καὶ ἀπολέσῃς
τὸν κάματόν σου· ἔτι
γὰρ ὀλίγον χρόνον πο-
λεμήσει μετὰ σοῦ· ὁ

λέγει δὲ καὶ αὐτῇ, Ἰου-
λία κατὰ μόνας· κύ-
ριέ μου σὺ γινώσκεις τί κα-
ἐγὼ μὴ ἄρτι πολεμήσα-
μεν αὐτὸν ἐν τῇ νεότητι
ἡμῶν καὶ νικήσωμεν,
μετὰ τὸ γηράσαι ἡμᾶς,
ποῖον πόλεμον συνά-
ψωμεν μετ' αὐτοῦ· λέγει
αὐτῇ ἡ ἀπραξία· ζῇ κύ-
ριος ὁ θεός μου κυρία μου Ἰου-
λία. ὅτι ἐὰν μὲ ἐπιστρέ-
ψῃ ἡ κυρία ἡμῶν ἡ με-
γάλη, οὐ μὴ γάσωμαι
ἄρτου πᾶσαν τὴν ἑβδο-
μάδα, ἕως οὗ νικήσω
αὐτόν· λέγει αὐτῇ
Ἰουλία· ἀληθῶς ἀδελ-
φή μου, οὐκ ἰσχύω ἐγώ,
πᾶσαν τὴν ἑβδομάδα
ἐγκρατεύσασθαι· εἰ δὲ
οὐ δυνηθεὶς τοῦτο κατορ-
θῶσαι, οὕτως μὰ κυρία
ἐστὶ καὶ ἐμοὶ ὢ καὶ ἐπὶ
γῆς· ἐμ γὰρ τῷ ἀσκητη-
ρίῳ τούτῳ, οὐδεὶς ἠδυ-
νήθη πᾶσαν τὴν ἑβδο-
μάδα νηστεῦσαι· εἰ μὴ
μόνη ἡ κυρία ἡμῶν ἡ
μεγάλη· πάλιν οὖν πει-
Ρασθεῖσα, ἀπήγγειλε τῇ
διακόνῳ τὸ μὲν αὐτῇ
γενόμενον πειρασμόν·
καὶ παρεκάλεσεν αὐτήν·
ἵνα πᾶσαν τὴν ἑβδομά-

δια ἄσιτον διατελέσηται ταύτην. λέγει αὐτῇ ἡ διάκονος· πᾶν εἴ τι ἀεὶ εἰσέλθῃ ἐν τῇ δεξιᾷ σου, καὶ ἔστι σοι εὐχερῶς, ποίει. καὶ ὁ θεὸς ὁ δημιουργήσας σε, ἐνισχύσει σε· καὶ παρέξει σοι τὴν κατὰ τοῦ διαβόλου νίκην. ἤρξατο οὖν ἡ ἀπραξία, ἄσιτον διατελεῖν ὅλην τὴν ἑβδομάδα. καὶ μήτε τῆς λειτουργίας παραλειπομένη, μήτε μὴν τῆς τῶν ἀδελφῶν ὑπηρεσίας καθυστεροῦσα. ἔλεγον οὖν τινὲς ἐκ τῆς συνοδίας ὅτι ἔχομεν σήμερον ἐνιαυτόν, τηροῦντες τὴν ἀπραξίαν· καὶ οὐκ εἴδομεν αὐτὴν καθεσθῆναι· οὔτε ἐν τῇ ἡμέρᾳ, οὔτε ἐν τῇ νυκτί· εἰ μὴ μόνον, ὁπόταν ἔλθῃ εἰς τὴν κοίτην αὐτῆς ἀνεῖναι· οὐδὲ γὰρ ἐκαθέσθη ποτὲ καὶ ἔφαγεν τὸν ἄρτον· πᾶσαι οὖν ἠγάπων τὴν ἀπραξίαν· καὶ ηὔχοντο ὑπὲρ αὐτῆς, ὅτι οὕτως ἐταπείνου ἑαυτήν· καὶ ὅτι μετὰ προθυμίας ὑπηρέτει αὐταῖς· καὶ ἐθεράπευεν αὐτάς· καὶ ὑπετεν αἰτήσασαι, ἱκέτευον τὸν θεόν, ἵνα σώσῃ αὐτήν.

Ἦν δέ τις ἐν αὐταῖς ὀνόματι Γερμανά· ἣν ἔλεγον ἀπὸ δούλων εἶναι· καὶ φθόνῳ βαλλομένη κατὰ τῆς ἀπραξίας, ὑπέρχεται αὐτῇ κατ' ἰδίαν ἐν τῷ μαγειρείῳ καὶ λέγει αὐτῇ· εἰπέ σοι ἀπραξία· εἰ δὲ σὺ ἐσθίεις ἅπαξ τῆς ἑβδομάδος κατὰ τὸν ἀγῶνα φησὶ τῆς μεγάλης. ἡμεῖς δέ, οὐ δυνάμεθα ἐὰν ἀναπαυθῶμεν ὑπὸ τῆς μεγάλης ὡς σὺ νηστεύειν, τί ἔχομεν ποιῆσαι· εἶπεν οὖν ἡ ἀπραξία· ἡ μεγάλη ἡμῶν δέσποινα ἔφησέ μοι ὅτι ἑκάστη ὑπὲρ καθὰ δύναται, ἀγωνιζέσθω· οὐ γὰρ δεξαμένης ἐπέθηκεν ἡμῖν τὸν ζυγὸν τοῦτον. λέγει αὐτῇ ἡ Γερμανά· ὑποϊθε

Τελεια καὶ πάσης φαυλότητος πεπληρωμένη· τίς οὐκ οἶδεν ὅτι ταῦτα ἐν φαυλότητι ποιεῖς· ἵνα μετὰ τὴν κοίμησιν τῆς μεγάλης, σὺ διαδέξῃ τὴν ἀξίαν αὐτῆς· πιστεύω εἰς τὸν Χριστόν,

ὅτι οὐ μὴ ἀξιωθῇς εἰς
τὴν ἡγεμονίαν ταύτην
ἐλθεῖν. ταῦτα δὲ ἀ-
κούσασα ἡ Εὐπραξία,
ἔπεσεν ἑαυτὴν εἰς τοὺς
πόδας τῆς Γερμανίας. καὶ
λέγει αὐτῇ· συγχώρη-
σόν μοι δέσποινά μου.
καὶ εὔχου ὑπὲρ ἐμοῦ τῆς
ἁμαρτωλῆς. ὅτι ἡ-
μαρτον εἰς τὸν θεόν, καὶ
εἰς σέ. μαθοῦσα οὖν
ἡ διακονος ταῦτα, με-
τεκαλέσατο τὴν Γερ-
μανίαν καὶ λέγει αὐτῇ.
δούλη πονηρὰ καὶ τοῦ
θεοῦ ἀπηλλοτριωμένη.
τί σε ἠδίκησεν ἡ Εὐπρα-
ξία, ὅτι ἐσπούδασας
διακόψαι τὴν προθυ-
μίαν αὐτῆς. ἀλλὰ ἀλλο-
τρία ὑπάρχεις τῆς ἀδελ-
φότητος. ἀνάξια εἶ
τῆς λειτουργίας, καὶ τῆς
τονικῆς ψαλμῳδίας. πά-
λαι οὖν ἐδέετο ἡ Εὐπρα-
ξία τῆς διακόνου, ἵνα
συγχωρήσῃ αὐτήν. καὶ
οὐκ ἐπήκουσεν αὐτῆς ἀλ-
λ' εἰς οὗ ἀπεπληρώθησαν
αἱ τεσσαράκοντα ἡμέραι. τῇ
τεσσαρακοστῇ ἡμέρᾳ
ἰδοῦσα ἡ Εὐπραξία, ὅ-
τι οὐδὲν ὠφελεῖ, λαβοῦ-
σα μεθ' ἑαυτῆς τὴν ἰου-
λίαν, ἰδοῦ ἤθη τῶν γηραι-
οτέρων τοῦ ἀσκητη-
ρίου ἵνα ἱκετεύσωσι
τὴν διάκονον τοῦ κα-
ταλλαγῆναι τὴν Γερμανίαν
ἐπὶ πάντων καὶ λέγει
αὐτῇ· οὐ διεκρίθης ἐν
τῇ καρδίᾳ σου διακόψαι
τὴν προθυμίαν τοῦ κο-
ρασίου τούτου; οὐδὲ
ἐνεθυμήθης, ὅτι αἷ-
μα τοῦ βασιλικοῦ ἐστι.
καὶ ἐταπείνωσεν ἑαυτὴν
καὶ δουλεύει σοι διὰ τὸν
θεόν· πάντων δὲ καθικετευ-
σάντων αὐτήν, κατηλλά-
γη τῇ Γερμανίᾳ. ὁ δὲ διά-
βολος οὐκ ἐπαύετο πολε-
μῶν τῇ Εὐπραξίᾳ. πά-
νυ γὰρ αὐτῆς κατεμαί-
νετο. ἐν μιᾷ δὲ νυκτὶ
κοιμωμένη φαντασία ἐ-
πλάνησεν αὐτὴν χαλε-
πῶς. ἀναπηδήσασα οὖν
ἡ Εὐπραξία ἀπὸ τοῦ ὕσ-
φοιος, καὶ κατασφραγί-
σασα, ὥρμησεν εἰς τὸ
ἀμφόδον. καὶ στᾶσα πρὸ
τὸν ἀέρα. καὶ τὰς χεῖρας
ἐκτείνασα εἰς τὸν οὐρανόν,
ἱκέτευε τὸν θεὸν ἀποστῆναι
τὸν διάβολον ἀπ' αὐτῆς.
ἀπηγγέλη δὲ τῇ διακό-
νῳ ὅτι ἡ Εὐπραξία ἵστα-
ται τὰς χεῖρας εἰς τὸν οὐρανόν

ἄρτου. ἀκούσασα δὲ ἡ
διάκονος ἐμειδίασε·
καὶ λέγουσιν αἱ πρεσβύ-
τεραι τῶν ἀδελφῶν,
τῇ διακόνῳ· ἀληθῶς
διὰ ποίημα ἡμῶν, ἡ ἀ-
πραξία τὸν σὸν ἀγῶνα
θέλει ἀγωνίσασθαι. ε-
ὐθέως παραγίνεται ἡ
διάκονος εἰς τὸν τόπον
ἐν ᾧ ἡ ἀπραξία ἵστατο·
καὶ εὐξαμένη λέγει
αὐτῇ· στερρὰ ὥσαι σὺ
ὁ θεὸς εἰς τὸν φόβον αὐτοῦ·
καὶ δώῃ σοι τὴν ἰσχὺν κα-
τὰ τοῦ διαβόλου· πᾶσαι
οὖν αἱ ἀδελφαὶ ὁρῶσαι
αὐτήν, ηὔχοντο αὐτῇ·
ἦν δὲ τὸ τῆς ἡλικίας αὐ-
τῆς μέτρον· ἦν γὰρ ὡσεὶ ἐ-
τῶν εἰκοσιεπτά. ἱστα-
μένης δὲ αὐτῆς μέχρι δε-
κάτης ἡμέρας, ἐμειδί-
ασεν ἡ διάκονος· καὶ
αἱ λοιπαὶ πᾶσαι ἀδελφαὶ
ὁρῶσαι αὐτήν· καὶ ἐκπλητ-
τόμεναι τὴν ὑπομονὴν
αὐτῆς. πληρωθεισῶν
δὲ τῶν τεσσαράκοντα ἡμε-
ρῶν, ἤρξαντο θαυμά-
ζειν καὶ λέγειν τῇ δια-
κόνῳ αἱ πρεσβύτεραι·
ἀληθῶς διὰ ποίημα ἡ
ἀπραξία, τεσσαράκον-

τα ἡμέρας μέλλει στῆναι.
εὐθέως οὖν ἡ διάκονος
ηὔξατο ὑπὲρ αὐτῆς· καὶ
εἶπε· στηρίξαι σε ὁ θεός,
εἰς τὸν φόβον αὐτοῦ.
καὶ πληρωθεισῶν τεσσαρά-
κοντα ἡμερῶν, κατεδαπα-
νήθη ἡ ἰσχὺς αὐτῆς ὑπὸ
τῆς νηστείας, καὶ κατέπε-
σεν εἰς τὸ ἔδαφος καὶ
ἔκειτο ὥσπερ νεκρά· σὺν-
δραμοῦσαι δέ, εἰσήνε-
γκαν αὐτὴν εἰς τὸ ἀσκητ-
εῖον· μὴ δυνηθεῖσαν
μήτε τῶν χειρῶν αὐτῆς,
μήτε τῶν ποδῶν ἅψα-
σθαι· ἀλλ᾽ ἔκειτο ὥσπερ
ξύλον ἢ λίθος ἄφω-
νος· προσενέγκασα
δὲ αὐτῇ ἡ διάκονος τρο-
φήν, λέγει αὐτῇ· τέκνον
μου ἀπραξία· ἐν τῷ
ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ, μετά-
λαβε τροφῆς· καὶ εὐ-
θέως μετέλαβε τροφῆς.
καὶ βαστάσασαι αὐτήν, με-
τήνεγκαν εἰς τὸ κελλί-
ον· καὶ κατ᾽ ὀλίγον μετα-
λαμβάνειν τροφῆς, ἤρ-
ξατο ἐνισχύεσθαι. ἰδὼν
δὲ ὁ διάβολος τὴν τοιαύ-
την αὐτῆς ὑπομονήν, οὐ-
κέτι προσέθετο πειρά-
σαι αὐτήν· ἀλλ᾽ ἐβουλεύ-
σατο ζητεῖν πῶς ἀπολέσει

αὐτήν· μετὰ οὖν τῶν ἡμε-
ρῶν κατελθούσης εἰς τὸ
φρέαρ ἀντλῆσαι ὕδωρ,
ἁρπάζει αὐτὴν ὁ διάβο-
λος· καὶ ῥίπτει αὐτὴν κα-
τώθεν τοῦ φρέατος με-
θ' ἧς ἐπεφέρετο ὑδρίας.
Καὶ ὡς αὐτὴ διηγήσατο,
ὅτι μέχρι τοῦ πυθμένος
ἤγγισεν ἡ κεφαλὴ αὐτῆς·
ἀναρριπισθεῖσα δὲ ὑπὸ
τοῦ ὕδατος· καὶ κατα-
σχοῦσα τὰ σχοινία τῆς
σίτλας, ἀνεβόησεν ἐν
τῷ ὕδατι· Χριστέ, σῶσόν
με· συνδρομῆς δὲ γε-
νομένης, κατῆλθεν
ἡ διάκονος καὶ αἱ ἀδελ-
φαὶ καὶ ἀνεσπάσαντο
αὐτὴν ἀπὸ τοῦ ὕδα-
τος· ἀνελθούσης δὲ καὶ
κατασφραγισαμένης,
ἐμειδίασε· καὶ εἶπε·
ζῇ μου ὁ Χριστός, οὐ μὴ νι-
κήσῃς με διάβολε·
ἕως γὰρ τῆς σήμερον,
μίαν ὑδρίαν βαστάζου-
σα ἐκόμιζον τὸ ὕ-
δωρ· ἀπὸ δὲ τῆς σήμε-
ρον δύο ὑδρίας βα-
στάζουσα, μετακομίζω
τὸ ὕδωρ. ἰδὼν δὲ ὁ
Διάβολος ὅτι οὐκ ἴσχυ-
σεν ἀπολέσαι αὐτὴν
ἐν τῷ φρέατι, ἐξήγει-

ρεν αὐτῇ ἐν ἄλλῳ καιρῷ
πολὺν πόλεμον· σχιζού-
σης γάρ ποτε ξύλα, πα-
ρανύσσεται ὁ διάβολος
ἐπιτηρῶν αὐτήν· ὑψω-
σάσης δὲ τὴν ἀξίνην, συμ-
βάλλει ὁ πονηρὸς τὰς
χεῖρας αὐτῆς· καὶ φέρει
ταύτην κατὰ τῶν ποδῶν
αὐτῆς, καὶ διέκοψεν
αὐτούς. ἡ δὲ, ὁρῶσα
τὴν πληγὴν καὶ τὸ αἷμα
σφοδρῶς ἐκχεόμενον,
καὶ τὴν ἀξίνην μεῖψαῦ,
καὶ ὀλιγοψυχήσασα, κα-
τέπεσεν εἰς τὸ ἔδαφος.
ἀναβοήσασα οὖν ἡ Ἰου-
λία, ἀπήγγειλε τῇ δι-
ακόνῳ καὶ ταῖς ἀδελ-
φαῖς, ὅτι ἡ ἀπε-
ξέλαβον τὴν ἀξί-
νην, ἀπέθανε· καὶ
συνδραμοῦσαι πᾶσαι κα-
τῆλθον καὶ ἐκύκλωσαν
αὐτὴν κλαίουσαι. κα-
τῆλθε δὲ καὶ ἡ διάκονος
καὶ προσενέγκασα ὕ-
δωρ τῇ ὄψει, καὶ σφρα-
γίσασα αὐτήν, καὶ πα-
ρευθὺ ἐξαμηνύη, λέγει αὐ-
τῇ· τέκνον μου ἀπε-
ξία, ἀνάμνησον· καὶ
λάλησον ταῖς ἀδελφαῖς
σου· ὅτι ὀδυνῶνται
διὰ σοῦ. ἡ δὲ, ἀναβλέ-

ψαμένη. λέγει αὐτῇ· μὴ
κλαῖε μῆτέρ μου· ἡ γὰρ ψυχή
μου ἐμέμψατό με. ἀνακα
θίσασα δὲ αὐτὴν καὶ τὴν
τοῦ Χριστοῦ σφραγῖδα ποιη
σαμένη ἡ διάκονος ἐπὶ
τοῦ μετώπου αὐτῆς, ηὔ
ξατο οὕτως· Κύριε Ἰησοῦ Χριστέ,
ἴασαι τὴν δούλην σου· ὅτι
διὰ σὲ πολλὰ πάσχει. ἐ
πιθήσασα δὲ τῷ τρωθέν
τι αὐτῆς ποδὶ ῥάκος τρύ
χινον, ἤγειρεν αὐτήν.
καὶ δοῦσαι αὐτῇ χεῖρας
αἱ ἀδελφαί, ἐβούλοντο
ἀναγαγεῖν αὐτὴν εἰς τὸ εἰς
τὸ εὐκτήριον. ἡ δέ, πε
ριβλεψαμένη. καὶ ἰδοῦ
σα τὰ ξύλα ἐρριμμέ
να, λέγει ταῖς ἀδελφαῖς·
ζῇ κύριος ὁ θεός· ἐὰν μὴ συλλέ
ξω τὰ ξύλα, καὶ πληρώ
σω αὐτὰ μετὰ τῶν χειρῶν
μου, οὐ μὴ ἀνέλθω. λέ
γει αὐτῇ Ἰουλία· κυρί
α μου ἀδελφή, οὐ δύνασαι·
ἀλλ' ἐγὼ συλλέγω καὶ ἀνα
φέρω ταῦτα. καὶ αὐτὴ
ἄνελθε καὶ ἀναπαύου· ἐ
πεὶ ἠτόμησας. ἡ δέ, οὐ
συνεχώρησεν· ἀλλὰ ἀπλη
ρώσασα τὰς χεῖρας αὐτῆς
ξύλων, οὕτως ἀνήρχε
το. ὁ δὲ πονηρὸς οὐκ ἀπῆ
ν ταύτης. ἀνερχομένη

Ὁρῶσα ἡ Εὐπραξεία. καὶ πρὸς
τῇ κλίμακι σταθεῖσα,
ὡς ἀπήρξατο ταύτην
ἀνέρχεσθαι, συμποδίσασα
αὐτὴν ὁ ἀρχαῖος ὄφις καὶ
σκολιός, ἔρριψεν ἐπὶ πρό
σωπον ἐπάνω τῶν ξύλων
ὧν ἐβάστασε. καὶ ἐπήγνυ
ται ξύλον κατὰ τῆς ὄψε
ως αὐτῆς, ὥς νομίσαι
τὰς ἀδελφὰς αὐτῆς ἐξ
επειρώθη· ἀναβοήσασα δὲ
ἡ Ἰουλία, λέγει αὐτῇ·
εἶπον σοι ἀδελφή μου,
ὅτι οὐ δύνασαι, καὶ οὐκ ἤ
κουσάς μου. καὶ λέγει αὐ
τῇ ἡ Εὐπραξεία· μὴ λυ
ποῦ ἀδελφή μου· ἀλ
λὰ ἀφ' οὗ ὡς λάβε τὸ
ξύλον ἀπὸ ἐμοῦ· ὁ γὰρ
ὀφθαλμός μου ὑγιής ἐ
στι. λαβοῦσα οὖν ἡ Ἰου
λία τὸ ξύλον, εἰσήνεγ
κεν αὐτήν, πρὸς τὴν
ἀρχιμανδρίτιδα Θεο
δούλην. ἰδοῦσα δὲ ἡ
διάκονος τὸ αἷμα σφο
δρῶς ἐκχεόμενον, καὶ
λαβοῦσα ἔλαιον καὶ ἄλας,
καὶ εὐξαμένη, ἐπέθη
κεν αὐτῇ, καὶ ἰάσατο
αὐτήν. λέγει οὖν ἡ Ἰου
λία τῇ εὐπραξίᾳ· ἀνά
πεσον εἰς τὴν κοίτην σου
καὶ ἀναπαύου· κἀγὼ ποιῶ

τὴν ὑπηρεσίαν ταῖς κυ-
ρίαις καὶ ἀδελφαῖς ἡ-
μῶν. καὶ λέγει αὐτῇ
ἡ εὐπραξία· ζῇ κ(ύριο)ς ὁ
θ(εό)ς μου, οὐ μὴ ἀναπαύ(σω),
μέχρις οὗ ποιήσω τὴν
ὑπηρεσίαν τῶν ἀδελ-
φῶν μου. πολλά τε ὑπό
τε τῆς διακόνου καὶ
τῶν ἀδελφῶν παρα-
κληθεῖσα, οὐκ ἐπεί-
σθη διαναπαύσασθαι.
ἀλλ' οὕτως τετραυμα-
τισμένη. καὶ πλήρης
αἵματος οὖσα. ἰδοῦ
τὴν ἡμέραν ὅλην τὴν
ὑπηρεσίαν ἐκτελοῦσα
τῶν ἀδελφῶν. μετ'
Ὀλίγων τῶν ἡμερῶν διελ-
θούσης ἐν τῷ τριστέγῳ
μετὰ καὶ τῆς Ἰουλίας
τῶν ἀδελφῶν χάριν.
ἀρπάζει αὐτὴν ὁ πο-
νηρὸς καὶ κρημνίζει
κάτω ἀπὸ τοῦ τριστέ-
γου. ἀναβοήσασα δὲ οὖν
ἡ Ἰουλία. καὶ θᾶττον
κατελθοῦσα. ἀπαγγέλ-
λει τῇ διακόνῳ καὶ ταῖς
ἀδελφαῖς. ὅτι ἡ εὐ-
πραξία ἐκρημνίσθη
ἀπὸ τοῦ τριστέγου. καὶ
ἔπεσε κάτω. ζωὸς δε-
μῆς δὲ γενομένης, ἀ-
πῆλθον αἱ ἀδελφαὶ ἰδεῖν

τὸ πτῶμα. ἡ δὲ εὐπραξί-
α τὸ ἀχλίον τοῦ ἐλάφου
ἀναπηδήσασα. καὶ ἑαυ-
τὴν κατασφραγισαμένη,
ὑπηνίγ τῇ σεμνῇ ταῖς. αἱ δὲ
λαβοῦσαι αὐτὴν, ἀπήγα-
γον πρὸς τὴν ἀρχιμανδρι-
τίσσα. ἰδοῦσα δὲ ἡ δια-
κονος, λέγει αὐτῇ· μὴ
ἐπλήγης κυρία μου ἀ-
πὸ ἔξω πεσοῦσα; λέγει
αὐτῇ ἡ εὐπραξία. ζῇ κ(ύριο)ς
ὁ θ(εό)ς δέσποινά μου, οὔτε
πῶς ἔπεσα οἶδα, οὔ-
τε πάλιν πῶς ἠγέρθην.
ἰδοῦσα δὲ ἡ διάκονος
ὅτι ἀπὸ τοσούτου πε-
σοῦσα ὕψους οὐκ ἐπλή-
γη, ἐδόξασε τὸν θ(εό)ν. καὶ
λέγει τῇ εὐπραξίᾳ.
ὕπαγε τέκνον εἰς τὸ
ἔργον σου, καὶ ὁ θ(εὸ)ς μετὰ
σοῦ. πάλιν οὖν ὁ δια-
βολος ἀπολέσαι βουλό-
μενος αὐτὴν, ἐπάρα-
σαν τὸ χαλκίον ἐμβε-
τὸ λάχανον ἐπὶ τὸ, ζω-
δευμεῖ τοὺς πόδας αὐ-
τῆς, καὶ ῥίπτει αὐτὴν
ὑπτίαν. καὶ φέρει τὸ
χαλκίον τοῦ ζέματος,
κατὰ τῆς ὄψεως αὐτῆς.
ἀναβοήσασα δὲ οὖν ἡ Ἰου-
λία καὶ εἰσδραμοῦσα,
ἀπήγγειλε τῇ διακόνῳ

καὶ ταῖς ἀδελφαῖς, ὅτι ἡ Εὐπραξία κατεφλέχθη ὑπὸ τοῦ ζέματος. ὥρας μιᾶς δὲ γενομένης, ἡ Εὐπραξία ἀναπηδήσασα τοῦ ἐδάφους καὶ κατασφραγισαμένη, ἐγέλασε. καὶ εἶπε τῇ Ἰουλίᾳ· διατί ἀδελφή μου ἐτάραξας τὴν μεγάλην καὶ τὰς ἀδελφάς· πάνυ γὰρ ἠγάπα τὴν Εὐπραξίαν, ἡ Ἰουλία. ἰδοῦσα δὲ ἡ διάκονος ὅτι οὐ κατεφλέχθη, ἀπελθοῦσα εἰς τὸ χαλκίον, εἶδε τὸ περιληφθὲν ζέμα. ἤδη, εἶπε· ζῇ κ(ύριο)ς ὁ θ(εὸ)ς δέσποινά μου, ὅτι ὥσπερ ὕδωρ ψυχρόν, οὕτως ἦλθε τὸ ζέμα κατὰ τῆς ὄψεώς μου. καὶ ἔμεινεν ἡ διάκονος ἀτενίζουσα αὐτῇ. καὶ λέγει τῇ Εὐπραξίᾳ· φυλάξαι σε τέκνον ὁ θ(εό)ς· καὶ δώῃ σοι ἀδιαλείπτως γεωργεῖν τὸν φόβον αὐτοῦ. εἰσελθοῦσα δὲ ἡ διάκονος εἰς τὸ ἀκτίειον, συγκαλεῖ τὰς πρώτας τῶν ἀδελφῶν καὶ λέγει αὐταῖς κατ᾽ ἰδίαν· τί ὑμῖν δοκεῖ περὶ τῆς Εὐπραξίας· γινώσκετε γάρ· ὅτι

ὅτε ἐκρημνίσθη· οὐ συνετρίβη· οὔτε ὑπὸ τοῦ ζέματος κατεφλέχθη. λέγουσιν αὐτῇ· ὄντως μῆτερ, δούλη ἐστὶ τοῦ θ(εο)ῦ ἡ Εὐπραξία. καὶ μέλλει αὐτῷ περὶ αὐτῆς· ἐπεί, οὐκ ἂν διεσώθη ἀπὸ τοσούτων πειρασμῶν. πᾶσα δὲ ἡ πόλις καὶ ἡ περίχωρος· τὰ κακῶς ἔχοντα παιδία, ἔφερον· πρὸς τὰς σημειοφόρους ἐκείνας γυναῖκας. καὶ ἐλάμβανεν αὐτὰ ἡ διάκονος, καὶ εἰσήρχετο ἐν τῷ ἀσκητηρίῳ ἅμα ταῖς πρεσβυτέραις, καὶ ἐδέοντο τοῦ θ(εο)ῦ, ὑπὲρ τῶν παιδίων. καὶ εὐθέως ἰῶντο τελείως. καὶ ἐλάμβανον αὐτὰ αἱ μητέρες αὐτῶν ὑγιῆ. καὶ ἐπορεύοντο χαίρουσαι καὶ δοξάζουσαι τὸν θ(εό)ν. ἦν δὲ ἐν τῷ ἀσκητηρίῳ γυνὴ πανχικὴ ἐκ παιδόθεν ταραχθεῖσα· χεῖρας καὶ πόδας δεδεμένη ταῖς ἁλύσεσι· καὶ ἦν ἀφρίζουσα καὶ τοὺς ὀδόντας τρίζουσα· καὶ μεγάλα κράζουσα. ὥστε πάντας τοὺς ἀκούοντας αὐτῆς

τῷ φόβῳ καταπτήσσεται·
πολλάκις οὖν ἡ διακονος,
σὺν ταῖς πρεσβυτέραις,
ἱκέτευσαν μετὰ δακρύων
τὸν θεόν, τοῦ τοιούτου δαι-
μονος ἐλευθερωθῆναι
αὐτήν, καὶ οὐκ εἰσηκού-
σθησαν. οὐκ ἦν τι μὲν τῶν
ἀδελφῶν προσεγγίσαι,
καὶ ἐπιδοῦναι αὐτῇ
τροφήν. ἀλλ᾽ ἐδένετο
ἐν καυχίῳ σχοινίον
λεπτόν· καὶ ἐβάλλετο ἐν
αὐτῷ ἄρτος καὶ ὀψάρι-
ον· καὶ περιετίθετο ἐν
ῥάβδῳ· καὶ οὕτως διὰ
τῆς ῥάβδου ἐπεδίδοτο·
αὐτῇ ἡ τροφή. πολ-
λάκις δὲ ἁρπάσασα
τὸ καυχίον σὺν τῇ ῥά-
βδῳ, ἔρριπτεν ἐπὶ τῶν
τῆς ἀδελφῆς τῆς ἐπι-
διδούσης αὐτῇ, τὸν
ἄρτον τὴν τρυφήν. ἐν
μιᾷ δὲ τῶν ἡμερῶν, ἀ-
σελθοῦσα ἡ θυρωρὸς,
λέγει τῇ διακόνῳ· γύ-
μνη τις ἵσταται τῆς πύ-
λης ἔξω καὶ κλαίει· ἔφη-
σε δὲ αὐτῇ ἡ διακονος·
τί χρείαν ἔχει. λέγει
αὐτῇ ἡ θυρωρός· παιδί-
ον ἔχει ὡσεὶ ἐτῶν ὀκτώ.
Καὶ αὐτὸ ἄλαλον, καὶ
κωφόν· καὶ παραλυτι-

κόν. ἰδοῦσα δὲ ἡ διακό-
νος ὅτι χάριτος ἠξιώθη
τὸ κοράσιον κατὰ τῶν
δαιμόνων, λέγει τῇ
θυρωρῷ· κάλεσόν μοι ὧ-
δε τὴν ἀπρακτείαν. ἐλ-
θούσης δὲ αὐτῆς, λέ-
γει αὐτῇ ἡ διακονος·
ὕπαγε λάβε τὸ παιδί-
ον παρὰ τῆς μητρὸς αὐτοῦ,
καὶ φέρε μοι ὧδε. ἀπελ-
θοῦσα δὲ ἡ ἀπρακτεία
ἰδοῦσα τὸ παιδίον παρα-
λελυμένον καὶ τρέμον,
ἐσπλαγχνίσθη ὑπ᾽ αὐτῷ.
Καὶ στενάξασα συμπα-
θῶς, κατεσφράγισε
τὸ παιδίον. καὶ λέγει
αὐτῷ· ὁ Χριστὸς ὁ δημιουργή-
σας σε, ἰάσεταί σε τέ-
κνον. καὶ λαβοῦσα ἐν
ταῖς ἀγκάλαις αὐτῆς, ἐ-
πορεύετο. τὸ δὲ παιδίον
βασταζόμενον, ἰάθη·
καὶ ἀναβοῆσαν τὴν μη-
τέρα ἐκάλει. ἰδοῦσα δὲ ἡ ἀ-
πρακτεία τὸ παιδίον ὅ-
τι ἤρξατο λαλεῖν, φο-
βηθεῖσα, ἔρριψεν αὐ-
τὸ εἰς τὸ ἔδαφος. καὶ ἀ-
ναστὰν, ἔδραμεν εἰς
τὴν πύλην τὴν μετὰ αὐτοῦ
καλῶν. εἰσδραμοῦσα δὲ
ἡ θυρωρὸς, ἀπήγγειλε
τῇ διακόνῳ τὰ γινόμενα.

προσκαλεσαμένη οὖν
ἡ διάκονος τὴν μητέρα
τοῦ παιδίου, λέγει αὐτῇ·
εἰπέ, ἀδελφή μου· πει
ρᾶσαι ἡμέρας ἦλθον; ἀπ
εκρίθη δὲ ἡ μήτηρ τοῦ
παιδίου, εἰποῦσα· ζῇ κύριος, δέ
σποινά μου, ὅτι οὔτε ἐλά
λησέ ποτε, οὔτε ἤκου
σεν, οὔτε περιεπάτη
σεν, ἕως ταύτης τῆς
ὥρας. κύριε ἐδόξασας αὐ
τὴν περὶ ἐμοῦ, ἡ κυρία
ἡ ἀδελφή· καὶ εὐθέως ἐ
λάλησεν. ἡ δὲ, ῥίψασα
τὸ παιδίον, ἔστη ἔκθαμ
βος. ἀναστὰν δέ, ἦλθε
πρός με. λέγει αὐτῇ ἡ
διάκονος· ἴδε οὖν ἀπέ
λαβες αὐτὸ ὑγιές. παρα
λαβοῦσα οὖν αὐτό, πορεύου
ἐν εἰρήνῃ καὶ ἔσται ὁ θεὸς με
τά σου. καὶ ἐπάρασα τὸ
παιδίον ὑγιὲς ἡ μήτηρ αὐ
τοῦ, ἐπορεύετο δοξάζουσα
τὸν θεόν. πάλιν οὖν ἡ δια
κόνος λέγει ταῖς πρεσ
βυτέραις κατ᾽ ἰδίαν· τί
ὑμῖν δοκεῖ περὶ τῆς εὐ
πραξίας; καὶ λέγουσιν
αὐτῇ· οὕτως μῆτερ· δού
λη ἐστὶ τοῦ θεοῦ. λέγει οὖν
ἡ διάκονος πρὸς τὴν
εὐπραξίαν· θέλω ἵνα
τὴν πασχαλικὴν ταύτην τήν

οὐ σὺ παρ᾽ ἡμῖν, διὰ χειρῶν
σου παρέχῃς οὖν τὸν ἄρ
τον αὐτῇ, ἐὰν μὴ φοβή
σαι αὐτήν. λέγει αὐτῇ
ἡ εὐπραξία· οὐχί, ἰδοὺ ποι
ῶ, μῆτερ μου, οὐ φοβοῦμαι αὐ
τήν. καὶ λαβοῦσα ἡ εὐ
πραξία τὸ καυχίον τοῦ
ὀσπρίου καὶ τὸν ἄρτον, ἤ
νεγκεν αὐτῇ διὰ χειρός.
καὶ λέγει αὐτῇ· δέξαι, ἀ
δελφή μου, τὸν ἄρτον ἀ
καὶ φάγε καὶ ἡσύχασον.
ἡ δέ, εὐθέως δεξαμένη
τὸ καυχίον, τρίζουσα
τοὺς ὀδόντας καὶ βρύξα
σα, ὥρμησεν ἐπ᾽ αὐτήν
καὶ ἦλθε συντρῖψαι τὸ
καυχίον. ἡ δὲ εὐπραξία
κατασχοῦσα τὰς χεῖρας
αὐτῆς, λέγει αὐτῇ· ζῇ
κύριος ὁ θεός· ἐὰν θήσῃς σὺ εἰς
τὸ ἔδαφος, λαμβάνω
τὴν ῥάβδον τῆς μεγάλης
καὶ οὕτως σε μαστίζω
ἀνηλεῶς, ἵνα μηκέτι
τολμήσῃς πονηρεύσα
σθαι. ἡ δέ, ἰδοῦσα ὅτι
κατέσχεν αὐτὴν ἡ εὐ
πραξία, ἡσύχασεν.
ἤρξατο οὖν κολακεύειν
καὶ λέγειν αὐτῇ· κάθη
σον, ἀδελφή μου, καὶ φά
γε τὸν ἄρτον σου καὶ
ἡσύχασε· καὶ ἀπὸ τῆς

ὥρας ἐκείνης, οὐκέ-
τι διὰ τῆς ῥάβδου ἐδί-
δου αὐτῇ τὴν τροφήν.
πᾶσαι οὖν αἱ ἀδελφαὶ
ὁρῶσαι τὸ γενόμενον,
ἠγάπων τὴν εὐπραξί-
αν· καὶ ηὔχοντο ὑπὲρ
αὐτῆς. ὅτε οὖν ἐκίνει-
το ὑπὸ τοῦ δαίμονος
ἡ πασχίκη, ἔλεγον
πρὸς αὐτήν· μὴ πονη-
ρεύου· ἐπεὶ ἔρχεται ἡ
κυρία ἡ εὐπραξία καὶ μα-
στίζει σε. καὶ ἀθέως
ἡσύχαζε. πολλὴν οὖν ἡ
γερμάνα ὑπὸ τοῦ φθό-
νου διεποιεῖτο τὴν καρ-
δίαν καὶ ἔλεγε ταῖς ἀ-
δελφαῖς, εἰ μὴ ἡ εὐπρα-
ξία, οὐκ ἔστιν ἄλλη ἵνα
προσενέγκῃ αὐτῆς τὴν
τροφήν; δότε μοι τὸ
καυχίον τοῦ ὀσπρίου. ἐ
τὸν ἄρτον κἀγὼ αὐτὴν δια-
κονῶ. λαβοῦσα οὖν ἡ γερ-
μάνα τὸ καυχίον τοῦ ὀ-
σπρίου καὶ τὸν ἄρτον, ἤ-
νεγκεν αὐτῇ ταῦτα. καὶ
λέγει αὐτῇ δέξαι ἀδελ-
φή μου καὶ φάγε τὸν ἄρ-
τον σου. ἰδὲ, εὐθέως
κατ' αὐτῆς πηδήσασα,
διέρρηξε τὰ ἱμάτια
αὐτῆς, καὶ καταβάλλει
αὐτὴν εἰς τὸ ἔδαφος

καὶ ἐπιπεσοῦσα αὐτῇ
ἤρξατο ῥεῖν αἷμα ἐκ τοῦ
σώματος αὐτῆς. γενο-
μένης δὲ βοῆς καὶ μὴ
τολμώσης τινὸς προσ-
εγγίσαι, εἰσδραμοῦσα
μία τῶν ἀδελφῶν εἰς
τὸ μαγειρεῖον, λέγει
τῇ εὐπραξίᾳ· δράμε
ἀδελφή μου ὅτι ἡ γερ-
μάνα ἀπόλλυται ἀπὸ
τῆς πασχίκης. δραμοῦ-
σα δὲ ἡ εὐπραξία καὶ
κατασχοῦσα τὰς χεῖρας
αὐτῆς. καὶ τὴν φάρυγγα
σφάξαι ματωμένην, ἐξεί-
λετο τὴν γερμάναν ἐκ
τῶν χειρῶν τῆς πασχί-
κης. λέγει δὲ αὐτῇ ἡ
εὐπραξία· καλῶς ἐποί-
ησας, ὅτι οὕτω ζη-
τεῖτας τὴν ἀδελφήν;
ἡ δέ, ἰσχυρᾷ φρίζουσα
καὶ τρίζουσα τοὺς ὀδόν-
τας. λέγει δὲ αὐτῇ ἡ εὐ-
πραξία. ζῇ κύριος ὁ θεός,
ἐὰν τολμήσῃς πονηρεύ-
σασθαι ἀπὸ τῆς ὥρας ταύ-
της κατὰ ἀδελφῆς, οὐ
μή σε συγχωρήσω· οὐ-
δ' οὐ μή σε ἐλεήσω· ἀλλὰ
τὴν ῥάβδον τῆς μεγάλης
λαμβάνω· καὶ οὕτως σε
μαστίζω ἀνηλεῶς. ἡ δέ,
εὐθέως ἡσύχασε. πρωΐας

δὲ γενομένης, ὁ ἐξελ-
θὼν τῶν ἀπὸ τοῦ εὐκτη-
ρίου μετὰ τὴν θείαν
λειτουργίαν, ἀπῆλθεν
ἡ εὐπραξία ἐπισκέ-
ψασθαι τὴν παιδίσκην.
καὶ ἀ εἰσήκει αὐτὴν πε-
ρισχηματισμένην τὰ
ἱμάτια αὐτῆς· καὶ εἴψα-
σα ἑαυτὴν εἰς τὸ ἔδα-
φος, ἐκαθέζετο ἐπάνω
αὐτῶν· καὶ λαβοῦσα
κόπρον ἤσθιεν· ἰδοῦ-
σα δὲ ἡ ἀ πραξία καὶ
στενάξασα συμπαθῶς,
ἀπήγγειλε τῇ διακόνῳ
τὰ γεγενημένα· θεα-
σάμεναι δὲ αἱ ἀδελφαὶ
εἶδον αὐτὴν γυμνὴν
καὶ συλλέγουσαν τὴν κό-
προν καὶ ἐσθίουσαν αὐ-
τήν· εὐθέως δὲ ἡ δια-
κόνος ἐκέλευσεν τῇ ἀ
πραξίᾳ λαβεῖν περι-
χίνον πηχέλιον καὶ ἐν-
δῦσαι αὐτήν· καὶ λαβοῦ-
σα τότε πιχόριον καὶ
τὸ καυχίον τοῦ ὀσπρί-
ου καὶ ἄρτον, προσέφε-
ρεν αὐτῇ· καὶ λέγει αὐ-
τῇ· δέξαι ἀδελφή μου
καὶ ἐνδῦσαι· καὶ λάβε
τὸν ἄρτον σου καὶ φάγε
καὶ ἡσύχασόν· ἐνδύσα-
σα δὲ αὐτὴν διηκόνη-

σεν αὐτῇ μέχρις οὗ ἔφα-
γεν αὐτὴ καὶ ἔπιεν· οὐ-
κέτι μὲ δὲ τὰ δάκρυα
αὐτῆς ἡ εὐπραξία μὴ
τεκεῖ τῆς ἑσπέρας· συμ-
παθοῦσα αὐτῇ, καὶ ἐλε-
οῦσα καταλαβούσης
δὲ τῆς νυκτός, ἐδέε-
το τοῦ θ(εο)ῦ ὑπὲρ τῆς παι-
δίσκης ἵνα ἐλεηθῇ.
τοῦτο δὲ ἐποίει λαν-
θάνουσα τὴν διάκο-
νον καὶ τὰς ἀδελφάς.
πρωΐας δὲ γενομένης
προσκαλεσαμένη ἡ δια-
κόνος τὴν εὐπραξίαν,
λέγει αὐτῇ· ἵνα τί ἀ-
πέκρυψάς μοι τὰς δεή-
σεις, ἃς ὑπὲρ τῆς παι-
δίσκης τῷ θ(ε)ῷ προσέφε-
ρες· εἰ οὖν ἐφανέρωσάς
μοι, οὐκ εἶχον κἀγὼ συνα-
γωνίσασθαί σοι; ἡ δὲ
πεσοῦσα εἰς τοὺς πό-
δας αὐτῆς, λέγει αὐτῇ·
συγχώρησόν μοι δέσποι-
νά μου, εἶδον αὐτὴν
πτῶσ ἀσχημονοῦσαν,
καὶ ἐσπλαγχνίσθην ἐπ᾽ αὐ-
τῇ· καὶ λέγει αὐτῇ ἡ δια-
κόνος· τέκνον μου ἀ
πραξία ἔχω σοι ἀναγγεῖ-
λαί τι· καὶ βλέπε μὴ χαυ-
νώσῃ σε ὁ διάβολος
καὶ ἐπαρθῇς· ἰδοὺ ὁ χ(ριστό)ς

δέδωκέ σοι ἐξουσίαν κα-
τὰ τοῦ δαίμονος τούτου,
ἵνα ἐκβάλῃς αὐτόν. ἀ-
κούσασα δὲ ταῦτα ἡ ἁγία
Πραξεία, ἔρριψεν αὐ-
τὴν εἰς τὸ ἔδαφος. καὶ
ἐπιβαλοῦσα τῷ φραγ-
τὴν κεφαλὴν αὐτῆς, ἐβό-
α λέγουσα· τίς εἶ μιαρὸν
ἢ ἀκάθαρτος; καὶ ἔλε-
γεν μὴ γνώνῃς ἵνα ἀπε-
λάσω τοιοῦτον δαίμο-
νας· οὐ ὑμεῖς περὶ το-
σούτου χρόνου μέχρι
τοῦ νῦν ἀπελάσαι οὐ-
κ ἠδυνήθητε. καὶ λέ-
γει ὁ δαίμονος· σοὶ
ἔμενε τοῦτο· ἵνα γνῶς
καὶ πειραθῇς ὅτι μέγας
ὁ εἰ μὴ ὁ μαθοίς σου τοῖς
οἷον ὅτι ἀναστᾶσα οὖν
ἡ ἁγία Πραξεία ἐκ τοῦ ἐ-
δάφους, εἰσέρχεται
ἐν τῷ εὐκτηρίῳ. καὶ
ἐπίπτει ἑαυτὴν ἐπὶ
πρόσωπον, ἱκετεύουσα
τὸν θ(εό)ν, τοῦ ἐπινεῦσαι
καὶ δοῦναι βοήθειαν
ἐξ ὕψους ἁγίου αὐτοῦ.
καὶ τελειώσασα τὴν εὐ-
χὴν ἀνέστη· καὶ κατα-
σφραγισαμένη ἑαυτήν,
ἐπορεύετο πρὸς τὴν πό-
σιν κατὰ τὴν κέλ-
λαν τῆς διακόνου. πα-

σε ἡ ἀδελφότης ἠκολού-
θει αὐτῇ, θεωρῆσαι τὰ
γενησόμενα. προσελθοῦ-
σα δὲ ἡ ἁγία Πραξεία καὶ κα-
τασφραγίσασα αὐτήν,
λέγει· ἐπιτιμᾷ σοι ὁ Ἰ(ησοῦ)ς Χ(ριστό)ς,
ὁ δημιουργήσας σε. ὁ δὲ
δαίμων ἐβόα ἐπὶ πάν-
των καὶ ἔλεγεν· ὢ ἀπὸ
τῆς παμφαύλου καὶ ἐπι-
θέτειας· τοσαῦτα ἔτη
ἔχω κατοικῶν ἐν αὐτῇ
καὶ οὐδείς με ἐδίωξε.
καὶ αὐτὴ ἡ ἀκάθαρτος
καὶ ἀσελγὴς θέλει με
διῶξαι; καὶ λέγει
αὐτῷ ἡ ἁγία Πραξεία· οὐ-
κ ἐγώ σε διώκω· ἀλλ' ὁ
Χ(ριστὸ)ς ὁ ἐμὸς νυμφίος.
ἐγὼ γὰρ ἀκάθαρτός εἰ-
μι, καὶ ἀσελγής· καὶ
πάσης φαυλότητος
καὶ ἐπιθέσεως μεμε-
στωμένη καθὼς σὺ μαρ-
τυρεῖς· πλὴν τοῦ Χ(ριστο)ῦ
κελεύοντος, ἐξελθεῖν
ἐξ αὐτῆς. ἐπιλαμβά-
νω τὴν ῥάβδον τῆς με-
γάλης καὶ διώκω σε,
μαστίξασά σε. ὁ ἐπὶ
πολὺ δὲ τοῦ δαίμονος
ἀντιλέγοντος, καὶ ἐ-
ξελθεῖν μὴ βουλομένου,
λαβοῦσα ἡ ἁγία Πραξεία
τὴν ῥάβδον τῆς μεγάλης,

εἶπε τῷ δαίμονι· ἐξέρ-
χη, ἢ μαστίζω σε. καὶ ὁ δαί-
μων· πῶς ἔχω ἐξελ-
θεῖν ὅτι συνῆκας μετ᾽ αὐ-
τῆς· καὶ οὐ δύναμαι ἀ-
θετῆσαι αὐτήν. καὶ εὐ-
θέως ἤρξατο τύπτειν
αὐτὸν ἡ ἀπραξία. καὶ
τεῖ τὸν ῥαβδίσας [?] αὐτόν,
λέγει· ἔξελθε ἀπὸ τοῦ
πλάσματος τοῦ θεοῦ, ἀκά-
θαρτον πνεῦμα. ἐπιτιμή-
σει σε κύριος Ἰησοῦς Χριστός. καὶ ὁ δαί-
μων· οὐ δύναμαι ἐξελθεῖν.
τί με διώκεις; λέγει
αὐτῷ ἡ ἀπραξία· ἄ-
πελθε εἰς τὸ σκότος
τὸ ἐξώτερον. καὶ εἰς τὸ
πῦρ τὸ αἰώνιον. καὶ εἰς
τὴν ἀεὶ παραμένουσαν κό-
λασιν. σοί τε καὶ τῷ πει-
σου [?] τῷ σατανᾷ. καὶ πᾶσι
τοῖς τὰ θελήματα ὑμῶν
ποιοῦσιν. ἡ δὲ ἀδελφό-
της πᾶσα ἐστήκει θεωροῦσα
τὰ γενόμενα. καὶ μὴ τολ-
μῶσα ὅλως προσεγγίσαι
τῇ ταραχῇ [?]· μεγάλου οὖν
ἀγῶνος ὄντος τῇ ἀπρα-
ξίᾳ, τοῦ δαίμονος
ἀντιλέγοντος καὶ μὴ πει-
θομένου ἐξελθεῖν, ἀνα-
βλέψασα εἰς τὸν οὐρανόν,
εἶπε· κύριε Ἰησοῦ Χριστὲ ὁ θεός μου,
μή με καταισχύνῃς ἐν ταύτῃ

τῇ ὥρᾳ. μηδὲ νικήσῃ
με οὗτος ὁ ἀκάθαρτος
δαίμων. τότε ἀνακρά-
ξας ὁ δαίμων μέγα. καὶ
τοὺς ὀδόντας συντρίξας
καὶ βοήσας μεγάλῃ τῇ
φωνῇ, ἐξῆλθε. καὶ ἄφαν-
τος γέγονε. καὶ ἰάθη
παραχρῆμα ἡ γυνὴ ἀπὸ
τῆς ὥρας ἐκείνης. αἱ
δὲ ἀδελφαὶ ἔδωκαν δό-
ξαν τῷ θεῷ. τὴν δὲ θε-
ραπευθεῖσαν ἀδελφὴν
λαβοῦσα ἡ ἀπραξία,
ἔλουσεν ὕδατι. καὶ πε-
ριέβαλε καινὰ ἱμάτια.
καὶ πρὸς τὴν διακονίαν
ἤγαγεν, ἣ καὶ εἰσῆλθε
παραχρῆμα ἐν τῷ ἀσκητη-
ρίῳ τῷ θεῷ δουλεύουσα δοξ [?]
μετὰ τῶν λοιπῶν ἀδελ-
φῶν. καὶ αὐτῆς δὴ τῆς
ἰαθείσης. ἀπὸ δὲ τῆς ἡ-
μέρας ἐκείνης, μᾶλλον
καὶ μᾶλλον ἐταπείνου ἑ-
αυτὴν ἡ ἀπραξία. καὶ
διετέλει μὲν ἄϋπνος
τὴν νύκτα. ἄσιτος δὲ
τὴν ἑβδομάδα κατὰ τὸ
ἔθιμον αὐτῆς. ἀνελλι-
πῶς ποιουμένη τὴν τῶν
ἀδελφῶν ὑπηρεσίαν. καὶ
μήτε τῆς λειτουργίας
ἀπολιμπανομένη, μή-
τε τινὸς ἑτέρας δουλεί

γινομένης ἐν τῇ τοιαύ-
τῃ μονῇ. μία οὖν τῶν γυναι-
κῶν ὁρᾷ ὀπτασίαν ἡ διά-
κονος καὶ ἐπαρχθῆς φο-
βερῶς. καὶ εἰπεῖν ἑαυτὴν
ἐν τῷ εὐκτηρίῳ ἀρχο-
μένη μεγάλα κηρύσσων. ὃ
οὐδενὶ ἐφανέρωσε τὸ
τῆς ὀπτασίας. ἀκροοῦ-
το οὖν αἱ παρθένοι ἤρξαντο ἐ-
ρωτῆσαι αὐτήν. ἐπὶ
πολὺ δὲ αὐτῆς τοῦτο ποιοῦ-
σης, προσελθοῦσαι λέ-
γουσιν αὐτῇ. εἰ πρὸ ἡμῶν
σὺ κυρία ἡμῶν καὶ μῆ-
τερ· οὕτως ὀδυνᾶσαι
καὶ κλαίεις. καὶ φησὶ
πρὸς αὐτάς. μὴ ἀναγκά-
σητέ με μέχρι τῆς αὔρι-
ον. καὶ αὗται. οὕτως
μὲν ἔφησαν, εἰ μὴ ἀνα-
γγείλῃς ἡμῖν τὸ λυποῦ-
σε, μεγάλην θλῖψιν ἐμ-
ποιεῖς ταῖς ἡμῶν ψυχαῖς.
λέγει αὐταῖς ἡ διάκονος.
οὐκ ἤθελον ἀναγγεῖλαι
ὑμῖν. καὶ θλῖψαι ὑμᾶς
πρὸ ὥρας. ἐπειδὴ δέ με
ἐκβιάζεται. ἀκούσατε.
αὔριον τελευτᾷ ἡ εὐπρα-
ξία. ἀλλὰ μηδεὶς αὐτῇ
ἀναγγείλῃ τοῦτο καὶ
θλίψει αὐτὴν πρὸ τῆς
ὥρας. αἱ δὲ ἀκούσασαι,
ἐθρήνησαν ἐπὶ ὥρας

πολλάς. μία οὖν τῶν
ἀδελφῶν ἀκούσασα, ἔ-
δραμε καὶ εὑροῦσα τὴν
εὐπραξίαν ἐν τῷ φούρνῳ
τῶν ἄρτων ἐπιμελουμέ-
νην, λέγει αὐτῇ. οἶδας
κυρία μου εὐπραξία, ὅτι
μεγάλας ἀλαλαγμοὺς ἐστὶν
ὑπὸ τῆς μεγάλης. καὶ τῶν
ἀδελφῶν. ἀκούσασα
δὲ ἡ εὐπραξία, καὶ ἡ Ἰ-
λία, ἥτις χωρεί πως
αὐτῇ συμπαρῆν, ἔμει-
ναν ἐμμεοὶ ἐπὶ ὥρας
δύο. καὶ λέγει ἡ Ἰου-
λία τῇ εὐπραξίᾳ. μή-
δ' ἄρα ἀκοὴν ἤκουσεν ἡ με-
γάλη ὡς ὅτι ὁ βασιλεὺς
ὑπὸ τοῦ ποτέ σε ὁρμα-
σαμένου παρακληθείς,
ἐκέλευσεν ἀποσπασθῆναι
σε τοῦ ἀσκητηρίου
καὶ διὰ τοῦτο ὀδυνᾶται;
καὶ λέγει πρὸς αὐτὴν ἡ
εὐπραξία. αἱ βασιλεῖαι
πᾶσαι ἐὰν συναχθῶσιν,
οὐ μή με πείσωσιν ἀθε-
τῆσαι τὸν Χριστόν μου. πλὴν
κυρία μου, ἕως ὀπτῶν-
ται οἱ ἄρτοι, ἄπελθε μά-
θε τί ἐστι τὸ γεγονός. πά-
νυ γὰρ τετάρακται ἡ ψυ-
χή μου ἀφ' οὗ ἤκουσα. ἀ-
πελθοῦσα δὲ ἡ Ἰουλία
καὶ στᾶσα παρὰ τὴν θύραν

ἡ κρόασις τὸ τῆς διακό-
νου διηγουμένης τὸ
ὅραμα· ἔλεγε δὲ ἡ δια-
κόνοσ, οὕτως· εἶδον
δύο λαμπροφοροῦντας
ἐλθόντας καὶ τὴν εὐ-
πραξίαν ζητοῦντας· ἔ-
λεγον γάρ, ὁ βασιλεὺς
ζητεῖ τὴν εὐπραξίαν
καὶ ἀπόστειλον αὐτήν.
παραγενόμενοι δὲ ἕτε-
ροι, λέγουσι τῇ προεστώσῃ· πα-
ράλαβε τὴν εὐπραξί-
αν ὅτι ὧδε ἀπὸ τῆς κλεῖ
αὐτήν· καὶ ἐλάβομεν αὐτήν·
καὶ ἐπορεύθη μετ' αὐτῆς·
φθάσαντες δὲ πύλην
τινά· κ(αὶ) ὅσ, οὐ δύναμαι
ἐξηγήσασθαι τὴν δόξαν
τῆς παρόδου· καὶ ἀνοι-
ξάντων αὐτήν, εἰσῆλ-
θομεν ἔσω· καὶ εἴδομεν ἐ-
κεῖ παλάτιον ἀνεκλά-
λητον· βασίλειον
ἐποίωιον· νυμφῶνα
ἀνακατάλυτον· παστάδα
ἀχειροποίητον· ἐγὼ
μέντοι οὐκ ἐφθάσα ἕως
τούτου· παραλαβόν-
τες δὲ τὴν εὐπραξίαν,
προσήνεγκαν αὐτὴν τῷ δε-
σπότῃ μέχρις οὗ ἔπεσαν
εἰς τοὺς χέρας τοὺς αὐτοῦ
πόδας· καὶ ἰδοῦσα ἐκεῖ
μυριάδας ἀγγέλων δὲ

ἀναιρούμενον πλῆθος
ἀνθρώπων· καὶ ἰδοὺ ἡ μήτηρ
τοῦ κυρίου μου, παρέλαβε
τὴν εὐπραξίαν καὶ ὑπέ-
δειξεν αὐτῇ τὸ παλά-
τιον· τὸν νυμφῶνα
τὴν παστάδα· καὶ τὸν στέ-
φανον τὸν ἡτοιμασμένον
αὐτῇ· καὶ ἦχος φω-
νῆς λεγούσης τῇ εὐ-
πραξίᾳ· ἰδοὺ ὁ μισθός
σου καὶ ἡ ἀνάπαυσίς
σου· νῦν οὖν πορεύθητι· καὶ
μετὰ δέκα ἡμέρας πο-
ρεύσῃ ὧδε· καὶ τούτων
πάντων ἐν ἀπολαύσει
γενήσῃ, ἀπὸ τοῦ νῦν·
καὶ ἰδοὺ οὖν ὕπνα τὴν ἡ-
μέραν ἐγὼ σήμερον·
ἀφ' οὗ τὸ ὅραμα εἶδον·
ὥς τε οὖν ἡ εὐπραξία αὔ-
ριον τελευτᾷ· ἀλλὰ μη-
δεὶς φανερώσῃ αὐτῇ
καὶ θλίψῃ ταύτην πρὸ
τῆς ὥρας ταύτης· ταῦ-
τα ἀκούσασα ἡ ἰουλία
τῆς διακόνου διηγουμέ-
νης ταῖς λοιπαῖς ἀδελ-
φαῖς, ἤρξατο τύπτειν
τὸ ἑαυτῆς πρόσωπον·
κλαίουσα δὲ καὶ ὀδυρο-
μένη, παραγίνεται πρὸς
τὴν εὐπραξίαν· ἡ δέ,
ἰδοῦσα αὐτὴν οὕτως
ὀδυρομένην καὶ κλαίουσαν,

λέγει αὐτῇ· ὁρκίζω σε κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ, ὅπως φανερώσῃς μοι τί ἤκουσας καὶ κλαίεις οὕτως. λέγει αὐτῇ ἡ Ἰουλία· κλαίω τὴν ἀδελφήν μου, ὅτι σήμερον ἀπεζεύχθη μετὰ τῶν ἄλλων· καὶ πρὸς ὃ ἤκουσα αὔριον τελευτᾷ. ἀκούσασα δὲ ταῦτα, κατέπεσεν εἰς τὸ ἔδαφος διὰ τὴν ἀθυμίαν, παρεκάθισε δὲ αὐτῇ καὶ ἡ Ἰουλία, κλαίουσα. καὶ λέγει αὐτῇ ἡ Εὐπραξία· δός μοι χεῖρα. καὶ εἰσένεγκέ με εἰς τὴν ἀποθήκην τῶν ξύλων, καὶ εὔχομαι ἐκεῖ. καὶ λαβοῦσα τοιοῦτον τρόπον, εἰσένεγκεν αὐτὴν ἔσω. ἐποίησε δὲ οὕτως ἡ Ἰουλία, καὶ οὐδαμῶς ἐφανέρωσε τὸ γεγονός. ἡ οὖν Εὐπραξία κειμένη ἐπὶ τοῦ ἐδάφους, ἐβόα λέγουσα· δέσποτα ὁ θεός, ἵνα τί ἐβδελύξω με τὴν ξένην καὶ ἁμαρτωλόν; μὴ ὡς καιρὸς ἀγωνίσασθαι καὶ πολεμῆσαι μετὰ τοῦ διαβόλου· καὶ ἤδη λαμβάνεις τὴν ψυχήν μου ἀπ' ἐμοῦ; κύριε Ἰησοῦ Χριστέ, σπλαγχνίσθητί μου καὶ ἄφες με ἔτι τὸν ἐνιαυτὸν τοῦτον, ὅτι ἀμετανόητός εἰμι. ταῦτα αὐτῆς ὀδυρομένης, μία τῶν ἀδελφῶν ἀκροασαμένη, ἧς δραμοῦσα, ἀπήγγειλε τῇ διακόνῳ ὅτι ἡ Εὐπραξία ἔρριπται εἰς τὴν ἀποθήκην τῶν ξύλων· καὶ τάδε βοᾷ. εὐθέως δὲ καὶ ἡ Ἰουλία εἶπεν· ἀληθῶς δέ, ποιμήν μου, ἔμαθεν ὅτι αὔριον τελευτᾷ, καὶ διὰ τοῦτο θρηνεῖ. εὐθέως δὲ ἡ διάκονος ἐβόησε λέγουσα· ὢ βία. τίς ἀπήγγειλεν αὐτῇ, καὶ ζωμετεῖ [illegible] αὐτῆς τὴν καρδίαν; οὐ παρεκαλέσαμεν ὑμᾶς, τοῦ μὴ φανερῶσαι αὐτῇ, ἕως οὗ ἔλθῃ ἡ ὥρα αὐτῆς; τίς οὖν τοῦτο ἐποίησε καὶ ἔθλιψεν αὐτήν, πρὸ τοῦ ἐλθεῖν τὸν καιρὸν τῆς τελευτῆς αὐτῆς; ὑπάγετε φέρετε αὐτὴν ὧδε. αἱ δὲ ἀπελθοῦσαι, λέγουσιν αὐτῇ· κυρία ἡμῶν Εὐπραξία, καλεῖ σε ἡ κυρία ἡμῶν ἡ με-

πάλιν. ἡ δὲ, ἐξελθοῦσα,
ἐπορεύθη· καὶ εἰσελ-
θοῦσα, περιέστη τὴν δια-
κόνισσαν γέμουσα καὶ κλαί-
ουσα· θεασαμένη δὲ
αὐτὴν ἡ διακόνισσα οὕ-
τως γέμουσαν καὶ πα-
θαινομένην, λέγει αὐ-
τῇ· τί σοι ἐστὶ κυρία
μου εὐπραξία, ὅτι
οὕτως στενάζεις καὶ κλαί-
εις· καὶ λέγει ἡ εὐπρα-
ξία· κλαίω κυρία μου
μῆτερ, ὅτι εἶδες ὅτι
ἀποθνήσκω· καὶ οὐ
καὶ μὴ ἤγγειλάς μοι τοῦτο,
ἵνα κλαύσω καὶ θρηνή-
σω τὰς ἁμαρτίας μου· ὅ-
τι γυμνὴ ὑπάρχω πά-
σης ἀρετῆς· καὶ οὐκ ἔσ-
τι μοι σωτηρίας ἐλπίς· ταῦ-
τα εἰποῦσα, ἔρριψεν
ἑαυτὴν εἰς τὸ ἔδαφος.
Καὶ ἐπιλαμβάνεται
τῶν ποδῶν τῆς διακό-
νου, καὶ γίνεται θρῆνος
μέγας ὑπὸ πάσης τῆς
ἀδελφότητος. καὶ δε-
ήθητι τοῦ θεοῦ, ἵνα συγ-
χωρήσῃ μοι ἔλεγεν ἔ-
τι τὸν ἐνιαυτὸν τοῦ-
τον, ἵνα μετανοήσω·
ἐπεὶ ἀμετανόητος εἰ-
μι. καὶ γυμνὴ ἀπὸ πά-
σης ἀρετῆς, καὶ σωτηρίας ἐλ-

πὶς οὐκ ἔστι μοι. καὶ οὐκ οἶ-
δα ποῖον σκότος καλύ-
ψει με. ἢ ποία κόλα-
σις, ὑποδέξεταί με. λέ-
γει αὐτῇ ἡ διακόνισσα·
ζῇ κύριος ὁ θεός μου κυρί-
α μου εὐπραξία, ὅτι
τῆς ἐπουρανίου συγκλή-
του σε ὁ τῶν ὅλων κύριος,
ἠξίωσε· καὶ ἤρξατο
αὐτῇ ἐξηγεῖσθαι τὸ τοῦ
ὁράματος· καὶ ποίων
ἀγαθῶν ἠξίωσεν αὐτὴν
ὁ βασιλεὺς χριστός· καὶ πα-
ρεκάλει αὐτὴν δεηθῆ-
ναι τοῦ θεοῦ, ὑπὲρ αὐτῆς.
Καὶ ἀναλύσασα καὶ αὐτή,
σὺν αὐτῇ ἐν χριστῷ. ἡ ὁσία
εὐπραξία κειμένη πα-
ρὰ τοὺς πόδας τῆς δια-
κόνου, ἤρξατο συνέχε-
σθαι φρίκῃ. καὶ ῥιγεῖ
καὶ μετὰ μικρόν, διε-
δέξατο ταύτην πυρε-
τὸς λάβρος· καὶ τοσοῦ-
τος, ὥστε μὴ δύνασθαι
αὐτήν, μὴ δὲ ἀποκρί-
σιν δοῦναί τινι. φησὶ
δὲ ἡ διακόνισσα ταῖς
ἀδελφαῖς· λάβετε
αὐτὴν καὶ εἰσέλθωμεν
ἐν τῷ ἀσκητηρίῳ. ὅτι
ἦλθεν ἡ ὥρα αὐτῆς. καὶ
βαστάσασαι αὐτὴν ἀπή-
νεγκαν εἰς τὸ ἀσκητήριον.

Καὶ ἐκαρτέρουν κλαί-
ουσαι. κατὰ δὲ τὸν και-
ρὸν τοῦ γεύματος, ἐ-
πέτρεψεν αὐταῖς ἡ δι-
άκονος, ποιῆσαι τὴν
ἐμμελέτην. μόνην δὲ τὴν
Ἰουλίαν κατέσχε με-
ταυτῆς. καὶ παρεκάθην-
το ὅλην τὴν νύκτα
αὐτῇ κλαίουσαι. ἐν δὲ
τῷ μεταξὺ τῆς νυκτός,
λέγει αὐτῇ ἡ Ἰουλία.
κυρία μου καὶ ἀδελφὴ
ποθουμένη. μὴ ἐπι-
λάθῃ τῆς σῆς Ἰουλί-
ας. καὶ γὰρ οἶδας ἐπὶ
γῆς ἀχώριστός σου γέγο-
να. καὶ παρακάλεσον
τὸν δεσπότην χν, ἵνα με
παραλάβῃ σὺν σοί. μνη-
σθητι ὅτι ἐγώ σε πρὸς
τοὺς γάμους ἐνυμφαγώγησα.
Καὶ δεήθητι τοῦ θῦ,
ἵνα σὺν σοὶ ἐξέλθω τὸν βί-
ον. πρωΐας δὲ γενο-
μένης, ἰδοῦσα ἡ διά-
κονος ὅτι λοιπὸν ἐν
ταῖς ἐσχάταις πνοαῖς
ὑπάρχει καὶ μέλλει τε-
λειοῦσθαι δῆλον τοῦτο
ταῖς ἀδελφαῖς ἐποίη-
σε διὰ τῆς Ἰουλίας. μη-
νύσασα δὲ ταύταις, δεῦ-
τε συντάξωμεθα τῇ
Εὐπραξίᾳ ὅτι ἤδη ἐκλεί-

πει. αἱ δὲ πᾶσαι περὶ
αὐτὴν κλαίουσαι καὶ λέ-
γουσαι. μνήσθητι ἡμῶν
κυρία ἀδελφή. αὐτὴ
δὲ οὐκ ἠδυνάτο ἀποκρι-
θῆναι. προσῆλθε γὰρ
τῷ τέλει τοῦ κοινοῦ χρέ-
ους. πασῶν δὲ τῶν ἀ-
δελφῶν οὐσῶν ἦλθεν
ἡ παρὰ τῆς ἐκλειπούσης
ἡ διὰ Εὐπραξίας θεραπευ-
θεῖσα παιδίσκη. καὶ τοι-
αύταις ἐχρήσατο ταῖς φω-
ναῖς ἐλεεινῶς κοπτο-
μένη. καὶ τὰς χεῖρας τῆς
κειμένης κατέχουσα, αἱ
χεῖρες αὗται λέγουσα,
πολλά μοι τῇ ἀθλίᾳ διη-
κόνησαν. διὰ γὰρ τοῦ
θῦ καὶ τῶν χειρῶν τού-
των, ὁ δαίμων ἀπηλά-
θη ἐξ ἐμοῦ. ταύτης δὲ
μὴ τὸ σύνολον δυνατῶς
ἐχούσης ἀποκριθῆναι,
λέγει αὐτῇ ἡ διάκονος.
οὐκ ἔλεγες τὴν ἀδελφὴν
κυρίαν μου συγκλητικήν,
οὐδὲ ἀποκρίνῃ καθό-
λως αὐτήν, οὕτως
ὑπὲρ σοῦ ἐλεεινῶς κο-
πτομένην; ἡ δέ, διαβλέ-
ψασα, λέγει αὐτῇ. τί
με ὀδυνᾶς ἀδελφή μου.
ἄφες με ἀναπαύσασθαι
ὅτι ἐκλείπω. πλὴν φοβοῦ-

τὸν θεόν. καὶ αὐτός σε διαφυ-
λάξει. καὶ ἐμβλέψασα
τῇ διακόνῳ, λέγει· δέ-
ξαι ὑπὲρ ἐμοῦ μῆτερ, ὅτι με
ἤσος ἀγώμενος τῇ ψυχῇ μου.
δεξαμένης δὲ αὐτῆς τῆς
διακόνου καὶ παρόντων τῶν
ἀδελφῶν καὶ τὸ ἀμὴν εἰ-
πόντων. ἀφῆκε τὸ πνεῦ-
μα. ὑπῆρχε δὲ τεσσαράκον-
τα ἐτῶν καθ' ὃν καιρὸν
τῷ κοινῷ τῆς ἀνθρωπί-
νης φύσεως ἐλειτούργη-
σε χρέει. ἐτάφη δὲ ἐν τῷ
μνημείῳ τῷ προϋποδεξα-
μένῳ τὴν μητέρα αὐτῆς. ἐ-
δόξασαν δὲ τὸν ἀγαθὸν ἡμῶν
καὶ φιλάνθρωπον θεόν. ὅτι ἠξιώ-
θησαν τοιαύτην ἀδελ-
φὴν ὑπὲρ αὐτὸν καὶ γνησί-
αν αὐτοῦ δούλην ἀπλ-
ῶς οὕτως προπέμψαι.
ἡ δέ γε φίλη καὶ τῷ ὄντι
πνευματικὴ αὐτῆς ἀ-
δελφὴ καὶ γνησία καὶ αὐ-
τὴ τοῦ Χριστοῦ δούλη, οὐκ ἀ-
πέστη τοῦ τάφου τῆς
μακαρίας ἀποδείας μα-
χεῖ παρελάσεως τριῶν
ἡμερῶν. ὀδυρομένη
πικρῶς καὶ κλαίουσα.
γὰρ πρεσβυτέρως τῶν
ἀδελφῶν τὴν ὑπεροχὴν ἀνέφε-
λει. καὶ τὰ τοῦ διαβόλου
ἀπ' αὐτῆς μεμαθήκει.

τῇ δὲ τετάρτῃ ἡμέρα-
λοιπὸν προσελχάρις ἡ Ἰουλι-
α γενομένη, ἀπέρχεται
πρὸς τὴν διάκονον. καὶ
λέγει αὐτῇ· δέξαι ὑπὲρ
ἐμοῦ μῆτέρ μου ὅτι προσε-
καλέσατό με ὁ Χριστός. καὶ με-
τὰ τῆς κυρίας μου ἀπρα-
ξίας εὐφραίνομαι ἠξίωσέ τε
τοιοῦτον τοῖς τελευταίοις
καὶ αὐτὴ λόγοις εἰποῦ-
σα. καὶ πάσῃ συντάξα-
μένη τῇ ἀδελφότητι
καὶ τῇ διακόνῳ, μετὰ
παρέλευσιν ἡμερῶν πέν-
τε, παρέδωκεν εἰς χεῖρας
τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς.
κατὰ τὸ φάσκον ψυχαὶ
δικαίων ἐν χειρὶ θεοῦ. ἐτέ-
θη δὲ καὶ αὐτὴ μετὰ τῆς
μακαρίτιδος ἀπροσδεί-
ας, ἐν ἑνὶ καὶ τῷ αὐτῷ
κιβωτίῳ. μετὰ δὲ ταῦ-
τα, παρελθουσῶν ἡμερῶν
πεντήκοντα, προσκαλε-
σάμενος ὁ διάκονος τὰς γη-
ραιοτέρας τῶν ἀδελ-
φῶν. καὶ λέγει πρὸς αὐ-
τάς· ἐκλέξασθε ἐξ ὑμῶν,
μίαν σώφρονα καὶ ἀδελ-
φαί μου, καὶ στήσατε εἰς
τὸν ἐμὸν τόπον. ὑπάρχέ-
τω δὲ δυναμένη ὑμῶν ἄρχειν
καλῶς. ἐμὲ γὰρ προσκα-
λέσατο ὁ κύριος. πολλὰ γὰρ

αὐτὸν παρεκάλεσεν
ἡ κυρὰ εὐπραξία, ἵ-
να ἀρκῆ καὶ μετὰ τῶν ἀδελ(φῶν),
καὶ τῆς αὐτῆς κληρωθεί-
σης μερίδος ἀξιωθῆ-
ναι· τανῦν δὲ σπουδή μοι
ἐστὶν ἀγωνίσασθαι, ἵ-
να μετ᾽ αὐτῆς συνδιάγω,
καὶ συναυλισθῶ· ἐχαί-
ρον οὖν πᾶσαι αἱ ἀδελ-
φαί, διά τε τὴν εὐπρα-
ξίαν καὶ τὴν ἰουλίαν,
ὅτιπερ τῶν οὐσιῶν συ-
μφώνων ἠξιώθησαν·
ηὔχοντο δὲ ᾳ αὐταῖς
συμπληρωθῆναι αὐταῖς
καὶ συναυλισθῆναι ταῖς
ἐκεῖθεν αἰωνίαις μο-
ναῖς. ἐκλεξάμεναι δὲ
μίαν ἐξ αὐτῶν ὀνόμα-
τι θεογνίαν, ἔστησαν
αὐτὴν ἀρχιμανδρίτιδα
καὶ τοῦ ἀσκητηρίου αὐ-
τῶν ὑφηγήτριαν· ἣν
καὶ προσκαλεσαμένη ἡ
διάκονος, λέγει αὐτῇ
κυρὰ θεογνία· ἰδοὺ ἐ-
μαρτυρήθης ὑπὸ τῶν
ἀδελφῶν καὶ προεβλή-
θης εἰς τὸ αὐτῶν ὑφη-
γεῖσθαι καὶ ἄρχειν· οἶδας
δὲ πάντως καὶ ἠκριβω-
μένως ἐπίστασαι· καὶ
πάσας τὰς παραδόσεις
τοῦ ἀσκητηρίου καὶ τὴν

σιν αὐτῶν κρατήσαντας
τύπους· καὶ τὴν κατάστα-
σιν τῆς ἀκολουθίας ἐπι-
γινώσκεις· ὁρκίζω σε
κατὰ τῆς ἀχράντου τριά-
δος, ἵνα μὴ ὅλως χωρή-
σῃς, πρὸς τὸ χρήματα, ἢ
κτήματα, τῷ μοναστηρί-
ῳ προσαφιερῶσαι· ἢ ἐπι-
κτήσασθαι· ὅπως μὴ ἐκ
τοῦδε, σύ τε καὶ αἱ ἀδελ-
φαί, ἐνασχολεῖσθε τοῖς
γηΐνοις καὶ ματαίοις
τοῦ βίου καὶ καταφρονή-
σητε τῆς σωτηρίας τῶν ψυ-
χῶν ὑμῶν· οὐ μικρὰ γάρ
ἐστι βλάβη προσγίνε-
ται τῇ ψυχῇ, ἐκ τοῦ ἀνω-
φελοῦς τούτου, καὶ ψυχο-
λέθρου περισπασμοῦ· ἔτι
δὲ καὶ πρὸς τὰς ἀδελ-
φάς· τεκνία μου πάντως
τὸν βίον καὶ τὴν πολιτεί-
αν καὶ τὴν ἐπίγειον δια-
γωγὴν τῆς κυρᾶς εὐπραξί-
ας ἀκριβῶς ἐπίστασθε·
ὅπως τε τῶν παρόντων,
ὡς οὐκ ὄντων. ἀλλὰ δί-
κην ἐλεεινῶν ἀνθέων
καὶ κατὰ μικρὸν μαραινομένων
καὶ ἀφανιζομένων, κατε-
φρόνησεν ὁλοψύχως·
τῶν μονίμων δὲ καὶ αἰω-
νίων ἀγαθῶν ἀντεποι-
ήθη· ὧν καὶ ὡς ἐπληρο-

φορηθῆναι μὲν εἰ τύχοι περι-
δράσατε δὲ καὶ ὑμεῖς, ἵ-
να σὺν αὐτῇ ἀγάλλεσθαι
τῶν ὧδε μεταστῆσαι· καὶ
εἴπερ τοῦ τοιούτου ἐφε-
τοῦ ὀρέγεσθε τυχεῖν, βα-
δίζετε κατ' ἴχνος τῆς
πολιτείας καὶ τῶν ἀγώ-
νων ἐκείνης· καὶ πάν-
τως, ἀναμφιβόλως
τύχετε τοῦ σκοποῦ· καὶ
σὺν αὐτῇ ἀξιωθῆτε τῶν
οὐρανίων γερῶν· συνταξα-
μένη δὲ αὐταῖς καὶ ταῖς
τοιαύταις παραινέσεσι
εἴξασα· καὶ πληρώσασα
τὸν λογισμὸν τῶν ἀδελ-
φῶν, εἰσῆλθεν ἐν τῷ ἀσ-
κητηρίῳ· παρήγγειλε
δὲ αὐταῖς, ἅμα τοῦ κρού-
σματος τοῦ ξύλου, μὴ
περικόψαι αὐτήν· τὴν
γὰρ νύκτα ὅλην προσα-
σχοληθῆναι ἤθελε τῷ
ποθουμένῳ αὐτῇ Χριστῷ,
καὶ κατὰ μόνας παραδοῦ-
ναι τὸ πνεῦμα ταῖς χερ-
σὶν αὐτοῦ. τοῦ ξύλου
δὲ τοῦ ὄρθρου κρουσθέν-
τος, εἰσῆλθον αἱ ἀδελ-
φαὶ τοῖς ἑωθινοῖς ὑμν-
ῆσαι, καὶ εὗρον αὐτὴν
τελειωθεῖσαν· ἐδόξα-
σαν δὲ τὸν θεὸν ἐπὶ τούτῳ
καὶ μετὰ τῶν θείων

ὕμνων ἐκπληρώσεσιν
τὰ νενομισμένα τῇ τα-
φῇ ποιήσασαι, κατέθη-
καν αὐτὴν ἐν μνημείῳ
καινῷ· ἐν ᾧπερ ἄλλη τίς,
οὔτε πρὸ τούτου οὔτε με-
τὰ ταῦτα ἐτέθη. πολ-
λὰ δὲ σημεῖα ἐκτελοῦνται
ἐν τῷ τάφῳ τῆς μακαρίας
τῆς Εὐπραξίας, καὶ
μέχρι τῆς δεῦρο. οὕτως
ὁ βίος τῆς καλλίστης ἐν γυ-
ναιξὶν Εὐπραξίας, καὶ
τῷ ὄντι συγκλητικῆς·
ἥτις, καὶ τῶν οὐρανίων καὶ
αἰωνίων ἀγαθῶν ἐπέτυχε·
χάριτι τοῦ ἀγαθοῦ καὶ ὑπε-
ραγάθου θεοῦ ἡμῶν. σπου-
δάσωμεν οὖν καὶ ἡμεῖς
ἀδελφοί, τὴν ἐκείνης
πολιτείαν ζηλῶσαι, ἵ-
να καὶ συγκληρονόμοι
αὐτῇ γενώμεθα, ὧν ἠ-
ξιώθη γερῶν· εἰς δόξαν
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέ-
πει πᾶσα δόξα· μεγαλω-
σύνη τε καὶ μεγαλοπρέ-
πεια· σὺν τῷ ἀνάρχῳ πατρὶ
καὶ τῷ παναγίῳ καὶ ἀγα-
θῷ καὶ ζωοποιῷ αὐτοῦ
πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
ἀπεράντους αἰῶνας, τῶν
αἰώνων· ἀμήν +

† Βίος καὶ πολιτεία καὶ ἀγῶνες τῆς ὁσίας καὶ ἀειμνήστου μητρὸς ἡμῶν Ὀλυμπιάδος. Εὐλόγησον πάτερ :–

Ἡ μὲν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βασιλεία πρὸ τῶν αἰώνων ὑπάρχουσα καὶ εἰς ἀτελευτήτους αἰῶνας διαλάμπουσα, ἀθανάτους τοὺς ἑαυτῆς ὑπασπιστὰς καθίστησι· τοὺς ἐν δρόμῳ τελέσαντας· καὶ τοὺς τὴν πρὸς θεὸν ἄσπιλον καὶ ἀκλινῆ διατηρήσαντας πίστιν· οἱ μὲν γὰρ εἰργάσαντο τὴν φιλοξενίαν τὴν κορωνίδα τῶν κατορθωμάτων· ὡς ὁ ἅγιος πατριάρχης Ἀβραάμ· καὶ ὁ τούτου ἀδελφότεκνος Λώτ· οἱ δέ, ὑπὲρ σωφροσύνης ἠγωνίσαντο· ὡς ὁ ἅγιος Ἰωσήφ· οἱ δέ, ἤθλησαν ἐν πόνοις καθυπομονήν, ὡς ὁ μακάριος Ἰώβ· οἱ δέ, τὰ σώματα αὐτῶν πυρὶ καὶ βασάνοις παρέδωκαν· ἵνα ἀπολαύσωσι τὸν τῆς ἀφθαρσίας στέφανον· μὴ φοβηθέντες τοὺς τῶν τυράννων αἰκισμούς· ἀλλ' ἀγωνισάμενοι γενναίως κατεπάτησαν τὸν διάβολον· καὶ τῆς βασιλείας τῶν οὐρανῶν κληρονόμοι ἀνεδείχθησαν· ἐν οἷς καὶ Θέκλα ἡ ὁσία πολῖτις· ἡ πολύαθλος μάρτυς· ἡ ἀνχωμαξεῖν ἀγία· ἡ χρημάτων καταφρονήσασα· ἡ μισήσασα τὰς πόθους καὶ ἔρωτας καὶ τιμὰς ἡδονὰς τοῦ κόσμου τούτου· ἀρνησαμένη γάμον πολυτελῆ· καὶ ὁμολογήσασα παρθένος ἁγνή, τῷ ἀληθινῷ νυμφίῳ παραστῆναι· τοῖς δὲ διδάγμασι Παύλου τοῦ ἀοιδίμου λογιμωτάτου ἀποστόλου κατακολουθήσασα· καὶ τὰς θεοπνεύστους γραφὰς ἐνστερνισαμένη ἐν τῇ καρδίᾳ αὐτῆς, ἀπέλαβε τὸν τῆς ἀφθαρσίας στέφανον παρὰ τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ εἰς ἀτελευτήτους αἰῶνας ἀναπαύεται, μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος διαρεσάντων τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ· ταύτης κατ' ἴχνος βαίνουσα καὶ κατὰ πάντα

ἀρετὴν τῆς ἐνθέου πολι-
τείας, ἡ σεμνοτάτη καὶ
ζηλωτικωτάτη Ὀλυμ-
πιάς, τῆς εἰς οὐρανὸν φερού-
σης ὁδοῦ ἐν πᾶσιν ἀκο-
λουθήσασα τὴν γνώμην
τῶν θείων γραφῶν· γέγο-
νε δὲ αὕτη κατὰ σάρκα
μὲν, θυγάτηρ Σελεύκου
τοῦ ἀπὸ κομήτων· ἀλη-
θινὸν δὲ τέκνον θεοῦ κα-
τὰ πνεῦμα· λέγεται δὲ ἐγγό-
νη γεγονέναι Ἀβλαβίου
ἀπὸ ἐπάρχων· νυμφευ-
θεῖσα πρὸς ὀλίγας ἡμέρας,
Νεβριδίου τοῦ ἐπάρχου
πόλεως Κωνσταντίνου·
αὐτῇ δὲ τῇ ἀληθείᾳ χα-
εἰν κοίτης, γυνὴ οὐδενός·
λέγεται γὰρ ἀμίαντος κεκοι-
μῆσθαι παρθένος· σύμβι-
ος γεγονυῖα, τοῦ θείου
λόγου· σύνευνος δὲ πάσης
ἀληθοῦς ταπεινοφροσύ-
νης· κοινωνὸς δὲ, καὶ διά-
κονος τῆς ἁγίας τοῦ θεοῦ ἐκ-
κλησίας· αὕτη γὰρ ὀρφα-
νὴ καταληφθεῖσα, συ-
ζευχθεῖσα μὲν, ἀνδρί· τῇ
τοῦ θεοῦ δὲ φιλανθρωπίᾳ, ἄ-
φθορος τό, καὶ τῇ σαρκὶ καὶ
πνεύματι διεφυλάχθη· παρ-
ὰ τοῦ πάντων τε ποιητοῦ θεοῦ
τοῦ προορῶντος τὰς τῶν
ἀνθρώπων ἐκβάσεις, οὐδὲ ἐνιαυ-
τὸν συνεῖναι αὐτῇ κατη-
ξιώθη ὁ πρόσκαιρος αὐτῆς
ἀνήρ· σωματικῶς αὐτοῦ
τοῦ τῆς φύσεως χρέος ἀπαι-
τηθέντος· καὶ παρθένος
ἀμώμως μέχρι τέλους δι-
εφυλάχθη· αὕτη δὲ πά-
λιν διωσαμένη τῷ ἀποστο-
λικῷ λόγῳ χρήσασθαι τῷ
λέγοντι, βούλομαι νεω-
τέρας χήρας γαμεῖν, οἰ-
κοδεσποτεῖν οὐκ ἠνέσχετο·
καίπερ καὶ γένει καὶ πλού-
τῳ καὶ παιδείᾳ μαθημά-
των πολυτελῶν καὶ εὐ-
φυΐᾳ φύσεως· καὶ ἀν-
θοφόρῳ ὥρᾳ κεκοσμημέ-
νη· δορκάδος δίκην τοῦ
δευτέρου γάμου τὴν πα-
γίδα ἀμέμπτως ὑπερπη-
δήσασα· δικαίῳ γὰρ νό-
μος οὐ κεῖται· ἀλλ' ἀνυπο-
τάκτοις βεβήλοις καὶ ἀ-
κορέστοις· ἔτυχε δὲ κατά
τινα φθόνον σατανι-
κὸν, δηλατορευθῆναι
ταύτης τὴν ἄωρον χη-
ρείαν· καὶ συκοφαντη-
θείσης αὐτῆς παρὰ τῷ
βασιλεῖ Θεοδοσίῳ·
ὡς ἀτάκτως σκορπι-
ζούσης τὴν οὐσίαν αὐτῆς·
ἐπειδὴ συγγενὴς αὐτοῦ
ὑπῆρχε, σπουδὴ γέγονε
παρ' αὐτοῦ, ἐφ' ᾧ συνάψαι

αὐτὴν χάριν γαμεῖν, ἐλπιδίῳ τινὶ ἱσπανῷ συγγενεῖ αὐτοῦ τοῦ βασιλέως· καὶ πολλὰ λιπαρήσας τὸν σκοπόν, ἀποτυχὼν ἐλυπήθη· ἐδήλωσε δὲ ἡ ὁσία ὀλυμπιὰς τῷ θεοδοσίῳ βασιλεῖ ταῦτα· εἰ ἐβούλετό με ὁ ἐμὸς βασιλεὺς κς ἰς χς ἀρρένι συζῆν, οὐκ ἂν μου τὸν πρῶτον ἀφείλατο αὐθωρόν· ἀλλ᾿ ἐπειδὴ ᾔδει με ἀνεπιτήδειον μὲ τῷ περιφυρμένῳ βίῳ τούτῳ μὴ δυναμένην ἀνδράσι ἀρέσαι, καὶ κείμον τοῦ δεσμοῦ ἠλευθέρωσε, καί με τοῦ βαρυτάτου ζυγοῦ καὶ τῆς ἀνδρικῆς δουλείας, ἀπήλλαξε· τὸν χρηστὸν αὐτοῦ ζυγὸν τῆς ἐγκρατείας ἐπιθέμενοι τῇ διανοίᾳ. ταῦτα δηλωθείσης αὐτῆς οὕτως τῷ βασιλεῖ θεοδοσίῳ περὶ τῆς συσκευῆς, τῆς κατὰ τοῦ ἄνω τὰ τοῦ ἰωάννου ἐπάρχου κωνσταντινουπόλεως· ἀκούσας ὁ βασιλεὺς τὰ δηλωθέντα αὐτοῦ περὶ τῆς ὁσίας ὀλυμπιάδος, κελεύει τῷ ἐπάρχῳ τῆς πόλεως κλημεντίνῳ τῷ κατὰ καιρὸν φρουρεῖσθαι ταύτης τὰ πράγματα, μέχρις οὗ πληρώσει τὸν τριακοστὸν ἔτος χρόνον· τουτέστι, τὴν τοῦ σώματος ἡλικίαν· καὶ λαβὼν ὁ ἔπαρχος τὴν τοῦ βασιλέως πρόσταξιν, εἰς τοσοῦτον αὐτὴν ἔθλιβεν ὑποβαλλόμενος ὑπὸ τοῦ ἐλπιδίου, ὥστε μὴ ἔχειν ἐξουσίαν μηδὲ τοῖς ἐπισήμοις τῶν ἐπισκόπων συντυγχάνειν· μηδὲ ἐν ἐκκλησίᾳ προβάλλειν· ἵνα γυμνασθεῖσα ὑπὸ τῆς ἀκηδείας, καταπέσῃ εἰς τὴν αἵρεσιν τοῦ γάμου. ἡ δὲ πλέον τῷ θεῷ εὐχαριστήσασα, ἀντεδήλωσε ταῦτα· περὶ τοσαύτην βασιλεῦ, καὶ ἁρμόττουσαν ἀρετὴν ἐπισκόπου, εἰς ἐμὲ τὴν ταπεινὴν ἐπέδειξας δέσποτα αὐτοκράτορ· κελεύσας περιφυλαχθῆναί μου τὸ βαρύτατον φορτίον περὶ οὗ ἐφρόντιζον ὅπως διοικηθῇ· μᾶλλον δὲ ἐποίησεις πρὸς τὰ τούτων αὐτὸ τοῖς πενομένοις καὶ ταῖς ἐκκλησίαις δια

λυσεπι ἀθῆναι· ἐγὼ γὰρ
ἀπηνυξάμην πολλὰ
τὴν ἐκ τῆς διανομῆς
κενοδοξίαν, ὅπως
μὴ ἀμελήσω τοῦ τῆς
φύσεως πλούτου ἐλιτ-
τομένην περὶ τὴν ὕλην·
ἐπανελθὼν δὲ ὁ βασι-
λεὺς ἀπὸ τοῦ πρὸς μα-
ξίμον πολέμου, προσ-
ταξεν ἐξοικοδομῆσαι τῶν
πραγμάτων δαπανήσας αὐ-
τῆς, τὸν τῆς ἀσκήσεως
τόπον· αὐτὴ δὲ πάντα
τὸν ἄπειρον ἐκεῖνον
καὶ ἀμέτρητον πλοῦτον
διασκορπίσασα, πᾶ-
σι ἁπλῶς ἀδιακρίτως
ἐπήρκεσε πολλῶν ἔμε-
κα· τὸν σαμαρεῖ τὴν ἐκεῖ-
νον ὑπερβαλοῦσα· τὸν,
καὶ ἐν τοῖς ἁγίοις εὐαγ-
γελίοις ἐμφερόμενον·
ὅστις, ποτὲ τόν, ὑπὸ
λῃστῶν στρατευθέντα
ἡμιθανῆ ἐν τῇ κατα-
βάσει ἱεριχὼ εὑρών,
ἐπὶ τὸ ἴδιον κτῆνος
ἐπιβιβάσας· μέχρι τοῦ
πανδοχείου ἐν μονοχῶς·
καὶ κεράσας, τὸ τῆς φι-
λαντίας ἔλαιον σὺν τῷ
σύφον τι οἴνῳ, ἰᾶσα-
το τὰ οἰδήματα· εὖ-
θέως οὕτω μετὰ τὸ ἀπολυ-

θῆναι καὶ ἀποσφραγι-
σθῆναι τὴν οὐσίαν αὐτῆς
πᾶσαν, ἀλλὰ ζωπυρή-
σασα ἐν ἑαυτῇ τὸν θεῖ-
ον ἔρωτα κατὰ τὸ φα-
γεῖ εἰς τὸν τῆς σωτη-
ρίας λιμένα· εἰς τὴν
ἁγίαν τοῦ θεοῦ μεγάλην
καθολικὴν καὶ ἀποστο-
λικὴν ἐκκλησίαν τῆς
βασιλίδος ταύτης
πόλεως· πάντων ζωε-
τῶς· καὶ εἰλικρινῶς
ἑπομένη τοῖς θεοπνεύ-
στοις διδάγμασι τοῦ
ἁγιωτάτου τῆς αὐτῆς
ἁγίας ἐκκλησίας ἀρχιε-
πισκόπου ἰωάννου
καὶ διαδόσειν αὐτῷ ὑπὲρ
τῆς αὐτῆς ἁγίας ἐκκλη-
σίας· μεμνημένη καὶ ἐν
τούτῳ ἐκείνους, τοὺς
διαπύρους τοῦ χριστοῦ ἐ-
ραστὰς καὶ μαθητάς
τούς, ἐν τῇ ἀρχῇ τοῦ
σωτηρίου κηρύγματος,
φέροντας παρὰ τοὺς
πόδας τῶν ἀποστόλων
τὰς ὑπάρξεις αὐτῶν
τετρακοσίου λίτρας μ[illegible]είας
ἀργυρίου λίτρας δισμυ[illegible]-
είας· καὶ πάσας τὰς
προσοίκους σας αὐτῇ ἀ-
κινήτους κτήσεις· τάς
τε κατὰ τὴν θρᾴκην καὶ γα-

λατίαν· καὶ τὴν περὶ τὴν
καππαδοκίαν καὶ βιθυ
νίαν, τὰς ἐπαρχίας δι
ακειμένας. ἔτι μὲν
καὶ τὰς διαφερούσας
αὐτῇ οἰκίας τὰς ἐν τῇ
βασιλευούσῃ πόλει· τήν
τε πλησιάζουσαν τῇ ἁ
γιωτάτῃ μεγάλῃ ἐκκλη
σίᾳ· τὴν ἐπιλεγομένην
τῶν ὀλυμπιάδος, σὺν
τοῦ βουνδείου καὶ τοῦ
τελείου λουτεροῦ.
καὶ πάντων τῶν παρα
κειμένων αὐτῷ οἰκημά
των· καὶ τοῦ σιλιγνα
ρείου· τήν τε πλησίον
τοῦ δημοσίου λουτροῦ
κωνσταντιανῶν ὑπάρχου
σαν αὐτῇ οἰκίαν ἐν ᾗ
καὶ κατέμενε· καὶ τὴν ἑ
τέραν δὲ αὐτῆς οἰκί
αν τὴν ἐπονομαζομέ
νην τῶν εὐάνδρου· καὶ
τὰ προάστεια αὐτῆς
πάντα· τῇ οὖν θείᾳ
βουλήσει, χειροτονεῖ
ται διάκονος τῆς αὐ
τῆς ἁγίας τοῦ θεοῦ ἐκκλη
σίας· καὶ κτίζει μονα
στήριον εἰς τὸν μεσημ
βρινὸν αὐτῆς ἔμβο
λον· πάντα γὰρ τὰ οἰκή
ματα τὰ παρακείμενα
τῇ ἁγίᾳ ἐκκλησίᾳ

καὶ πάντα τὰ ἐργαστήρια
τα, εἰς τὸν λεγόμενον
μεσημβρινὸν ἔμβολον
ὄντα αὐτῇ διέφερον·
καὶ ποιεῖ τὴν ἄνοδον
τοῦ αὐτοῦ μοναστηρίου,
εἰς τὸν νάρθηκα τῆς ἁ
γίας ἐκκλησίας· καὶ κα
τὰ πρώτην μὲν τάξιν
ἀποκλείει ἐν αὐτῷ
τὰς ἐν αὐτοῖς κουβι
κουλαρείας τὸν ἀριθμὸν,
πεντήκοντα· τὰς πά
σας ἐν ἁγνείᾳ καὶ παρ
θενίᾳ βιωσάσας· εἶ
τα· θεωρήσασα σὺν ἐλι
σανθία ἡ συγγενὶς αὐ
τῆς τὸ ἀγαθὸν καὶ θε
άρεστον ἔργον ὃ κατώ
δωσεν αὐτοῦ ὁ θεὸς δια
πράξασθαι, καὶ αὐτὴ
παρθένος ὑπάρχουσα
ζηλώσασα τὸν θεϊκὸν
ζῆλον, ἀπετάξατο
τῶν προσκαίρων καὶ
ματαίων τοῦ βίου
πραγμάτων μετὰ μαρ
τυρίας καὶ παλλαδίας
τῶν αὐτῆς ἀδελφῶν
καὶ αὐτῶν παρθένων· καὶ
εἰσέρχονται αἱ τρεῖς σὺν
ταῖς λοιπαῖς πᾶσι προ
σηκυρώσασαι αὐτῶν τῷ
ἀγε[illegible] μοναστηρίῳ
πάντα τὰ ὑπάρχοντα αὐταῖς.

ὁμοίως δὲ καὶ Ὀλυμπι-
άδα ἀδελφόπαις τῆς
εἰρημένης ἐν ἁγίοις
Ὀλυμπιάδος σὺν ἑτέ-
ραις πολλαῖς ἐκ συγκλη-
τικοῦ γένους γυναιξὶ
κατὰ χάριν καὶ ἀγω-
νίαν, τοῦ πάντας θέλον-
τος σωθῆναι θεοῦ· τὸν
θεῖον ἔρωτα ἐν ἑαυ-
ταῖς ἐκτρέψασαι, τὴν
ἐπουράνιον ἐπελέξαν-
το βασιλείαν· κατα-
φρονήσασαι τῶν χα-
μαιζήλων τούτων καὶ
κάτω συρομένων πρα-
γμάτων καὶ εἰσέρχον-
ται καὶ αὗται σὺν ταῖς λοι-
παῖς· ὡς εἶναι ἁπάσας
τὰς συναχθείσας κατὰ
χάριν θεοῦ ἐν ἐκείνῃ τῇ
ἁγίᾳ τοῦ Χριστοῦ μάνδρᾳ, τὸν
ἀριθμὸν διακοσίας πεν-
τήκοντα· πάσας τῷ
τῆς παρθενίας στεφά-
νῳ κεκοσμημένας· καὶ
τὸν ἄκρον καὶ τοῖς ἀγγέ-
λοις πρέποντα βίον πο-
λιτευομένας· τούτων οὖν
οὕτως τῇ θείᾳ συνεργί-
ᾳ συνελθουσῶν, πάλιν
προσάγει ἡ τοῦ θεοῦ γνησί-
α δούλη Ὀλυμπιάς, τῇ
εἰρημένῃ ἁγίᾳ ἐκκλησί-
ᾳ διὰ τοῦ ἁγιωτάτου πα-
τριάρχου Ἰωάννου· καὶ τὰς
λοιπὰς πάσας ἀνηκού-
σας αὐτῆς κτήσεις·
τάς τε κατὰ τὰς ἐπαρ-
χίας διακειμένας· καὶ
τοὺς διαφέροντας αὐ-
τῇ πολιτικοὺς ἄρτους.
καὶ χειροτονεῖ δια-
κόνους τῆς ἁγίας ἐκ-
κλησίας, καὶ τὰς τρεῖς
αὐτῆς συγγενίδας· Ἐλι-
σάνθειαν· Μαρτυρί-
αν, καὶ Παλλαδίαν· ὥστε
το, τὰς τέσσαρας διακο-
νίας εἰς τὸ διηνεκὲς
ἔχειν τὸ συστὰν ὑπ' αὐτῆς
ἀγαθὸν μοναστήριον· ἦν
δὲ ἰδεῖν τὴν δὲ καὶ κα-
τὰ πλαγῆναι ἐπὶ τῇ
ἀγγελικῇ χορείᾳ καὶ ἀγγελικὴν
κατάστασιν τῶν ἁγίων
γυναικῶν ἐκείνων· τήν
τε διάλειπτον αὐτῶν
ἐγκράτειαν καὶ ἀγρυ-
πνίαν· τὴν δὲ ἄπαυστον
πρὸς τὸν θεὸν δοξολογί-
αν καὶ ἀκτημοσύνην· τὴν
ἀγάπην ἥν τις ἐπιζώ-
δαμος τῆς τελειώσεως·
τὴν ἡσυχίαν· οὐδὲ γὰρ
ἦν ἰδεῖν ἐκ τῶν ἔξωθεν
ἢ ἄνδρα ἢ γυναῖκα εἰ-
σελθεῖν πρὸς αὐτάς, εἰ
μὴ μόνον τὸν ἁγιώτα-
τον πατριάρχην Ἰωάννην

ὥσπερ χοῦς εἰσπερχόμενον
καὶ ἀποσπειρόμενα αὐ-
τάς, διὰ τῆς πανσόφου
αὐτοῦ διδασκαλίας· ὅ-
θεν καθεκάστην σπειρό-
μεναι ἐκ τῶν θεοπνεύ-
στωμ αὐτοῦ διδαγμάτωμ
καὶ τὸν θεῖον ἔρωτα
ἐν ἑαυταῖς ἀναπτύσσουσαι,
τῇ πολλῇ καὶ ἐκκεχυμέ-
νῃ περὶ αὐτὸν θεϊκῇ
ἀγάπῃ· ἡ ὁσία καὶ
μακαρία Ὀλυμπιὰς
μιμουμένη· καὶ ἐν τού-
τῳ ταῖς τοῦ κυρίου μαθητρί-
αις ταῖς διακονούσαις
αὐτῷ ἐκ τῶν ὑπαρχόν-
τωμ αὐταῖς, τὴν καθη-
μερινὴν δαπάνην αὐ-
τοῦ τοῦ ἁγίου,
Ἰωάννου ἑτοιμάζουσα
ἔπεμπεν ἐν τῷ ἐπι-
σκοπείῳ· οὐδὲ γὰρ
πολὺ ἦν τὸ διεῖργον
μεταξὺ τοῦ τε ἐπισκο-
πείου καὶ τοῦ μοναστη-
ρίου, εἰ μὴ εἷς τοῖχος·
τοῦτο δὲ ἐποίει, οὐ μό-
νομ πρὸ τοῦ συσκευασθῆ-
ναι αὐτόν, ἀλλὰ καὶ με-
τὰ τὸ ἐξορισθῆναι αὐτόν,
καὶ μέχρι τῆς αὐτοῦ ἀπο-
βιώσεως παρέχουσα πᾶ-
σαν τὴν δαπάνην αὐτοῦ
τε, καὶ τοῖς σὺν αὐτῷ,
ἐμ τῇ ἐξορίᾳ ὄντωμ·
μὴ φέρων οὖν ὁ διάβο-
λος τὴν μεγάλην καὶ
θαυμαστὴν πολιτείαν
τῶν ὁσίων γυναικῶν
ἐκείνων· τὴν, κατὰ πρῶ-
τον μὲν, λόγον τῇ χάρι-
τι τοῦ θεοῦ· δεύτερον
δέ, καὶ τῇ ἀδιαλείπτῳ
διδασκαλίᾳ τοῦ ἁγί-
ου τοῦ πατριάρχου κα-
τορθωθεῖσαν, ὑπο-
βάλλει κακούργους ἀν-
θρώπους· μῖσος καὶ ἀ-
πέχθειαν ἔχοντας πρὸς
τὸν ἐν ἁγίοις Ἰωάννην,
διὰ τὸ μὴ ἀπροσωπόλη-
πτον αὐτοῦ, κατὰ τῶν
ἀδικούντων ἔλεγχον· ὃν
ἀνάπτει ἐν αὐτοῖς ὁ μι-
σόκαλος δαίμων, τὸ τῆς
συκοφαντίας βέλος·
καὶ σκάζουσι τὴν διαβο-
λικὴν συσκευήν, κατά
τε αὐτοῦ καὶ τῆς ὁσίας
ἐκείνης· καὶ αὐτὸν
μὲν, συκοφαντηθέντα
παρ' αὐτῶν, οὐ μόνον
περὶ αὐτῆς, ἀλλὰ καὶ
περὶ ἐκκλησιαστικῶν
πραγμάτων, κατὰ τὸ
δόξαν αὐτοῖς, καθεῖλον
καὶ ἐξώρισαν· ἀλλ' ὁ τῆς
ἀληθείας κήρυξ καὶ δι-
δάσκαλος, ὥσπερ γενναῖος

ἀθλητὴς τῶν ἀγώνων πα-
λῶν τὰς προσβολὰς
δεξάμενος, τὸ τῆς
νίκης ἐκομίσατο βρα-
βεῖον. τὴν ζάλην τοῦ
παρόντος βίου ὑπεξελ-
θών, καὶ πρὸς τὴν ἄνω
γαλήνην μετατεθεὶς
αὐτὴν δὲ τὴν ὁσίαν ἀγ
μετὰ τὸ δέξασθαι αὐ-
τόν, ἀνένδοτον
κίνησιν ποιουμένην
διὰ παντὸς βασιλι-
κοῦ καὶ ἱερατικοῦ
προσώπου περὶ τῆς
ἀνακλήσεως, πλεί-
στοις κακοῖς περιβαλ-
λοισμοῖ δεξαμένη τίας
κακηγορίας τε καὶ λοι-
δορίας δ' καίρως κατ' αὐ-
τῆς συρραπτόντων. ἕως
οὗ καὶ παράσημον
αὐτὴν τῷ ἐπάρχῳ τῆς
πόλεως ἐποίησαν γυ-
μνωθῆναι ἀνακρινομέ-
νην παρ' αὐτοῦ. θεω-
ροῦντες οὖν τὴν παρρη-
σίαν αὐτῆς. καὶ τὴν
ὑπὲρ τῆς ἀληθείας
ὁμολογίαν. καὶ τὸ γεν-
ναῖον καὶ ἀμετάθετον
αὐτῆς τῆς πρὸς θ(εὸ)ν ἀ-
γάπης μὴ φέροντες,
παῦσαι βουλόμενοι
τὴν ἀδιάλειπτον αὐτῆς

κίνησιν ἣν ὑπὲρ τῆς
ἀνακλήσεως τοῦ ἐν
ἁγίοις Ἰωάννου ἐποι-
εῖτο πέμπουσι καὶ αὐ-
τὴν ἐν ἐξορίᾳ ἐν τῇ
Νικομηδέων μητρο-
πόλει τῆς Βιθυνῶν
ἐπαρχίας. ἡ δέ, νευ-
ρωθεῖσα τῇ χάριτι
καὶ γενναίως καὶ ἀνδρεί-
ως τὰς νιφάδας τῶν
ἐπελθόντων αὐτῇ πει-
ρασμῶν καὶ ποικίλων
θλίψεων διὰ τὴν πρ-
ὸς τὸν θ(εὸ)ν ἐνεγκάσασα ἀ-
γάπην. πάντα τὸν
ὑπόλοιπον χρόνον τῆς
ζωῆς αὐτῆς ἐν τῇ Νι-
κομηδέων μητροπόλει
διετέλεσε. πᾶσαν
τὴν ἄσκησιν καὶ τὸν
κανόνα αὐτῆς ἀπα-
ράλλακτον κἀκεῖσε
ἐκπληροῦσα. καὶ τὸν
καλὸν ἀγῶνα νικήσα-
σα, ἀνεδήσατο τὸν
τῆς ὑπομονῆς στέφα-
νον. παραθεμένη τὴν
ποίμνην αὐτῆς τῇ
ἐν ἁγίοις ἐν θείᾳ τῇ
λήξει μακαρίᾳ, τῇ αὐτῆς
συγγενεῖ καὶ πνευμα-
τικῇ θυγατρί. ἣν θ
ἐκ τοῦ ἀχράντου καὶ σω-
τηριώδους βαπτίσμα-

τι ἀμέλει δέξαιτο· προσ-
καλέσασα αὐτήν,
ἀντιλαμβάνεσθαι
τῶν ἐν αὐτῇ ψυχῶν.
Καὶ κατὰ πάντα ἀσά-
λευτον διαφυλαχθῆ-
ναι αὐτήν· ὅπερ καὶ
γέγονε περὶ αὐτῆς· οὐ
μόνον τὸν τῶν πολιτῶν
χρόνον ὃν διετέλεσεν
ἡ ἐν ἁγίοις Ὀλυμπι-
ὰς ἐν τῇ Νικομηδέων
μητροπόλει· ἀλλὰ καὶ
μετὰ θάνατον αὐτῆς.
μέλλουσα γὰρ προστί-
θεσθαι τοῖς ἁγίοις πα-
τράσιν ἡ ὁσία καὶ ἀ-
ναλύειν ἐκ τοῦ παρόν-
τος βίου καὶ σὺν Χριστῷ
εἶναι; πάλιν κατέπεμ-
ψεν ἐγγεγραφὼς τὴν εἰ-
ρημένην ἐν θείᾳ τῇ
λήξει μνείαν, τῆς
αὐτῆς καὶ ἐπὶ τὸ πλεῖ-
ον ἔχεσθαι φροντίδος
καὶ ἀντιλήψεως· πα-
ραθεμένη αὐτὴν μετὰ
θ(εὸ)ν πάσαις ταῖς ἀδελ-
φαῖς, καὶ τὴν φροντίδα
αὐτῶν· καὶ τοῦτο ποιή-
σασα, ὑπεξέρχεται
τοῦ χειμῶνος καὶ τῶν
ἀνθρωπίνων πραγμά-
των παραβαλοῦσα εἰς
τὸν ἀΐδιον τῶν ψυχῶν

ἢ μᾶλλον λιμένα Χριστὸν
θ(εό)ν· πρὶν δὲ κηδευθῆναι
τὸ ἅγιον αὐτῆς σῶμα,
φαίνεται κατ᾽ ὄναρ τῷ
μητροπολίτῃ τῆς αὐτῆς
Νικομηδέων μητροπό-
λεως· λέγουσα ἀπό-
θου τὸ ἐμὸν λείψανον
ἐν γλωσσοκόμῳ καὶ βά-
λε αὐτὸ εἰς πλοῖον
ἀπόλυσον εἰς τὸν πλοῦν.
καὶ ἐν ᾧ δ᾽ ἂν τόπῳ στῇ
τὸ πλοῖον, ἐξελθόν-
των εἰς τὴν γῆν, ἐκεῖ
με κατάθεσθε· ποιή-
σαντος οὖν τοῦ μητροπο-
λίτου τὸ παρ᾽ αὐτῆς
ἐν τῇ ὀπτασίᾳ αὐτῷ
λεχθέν, καὶ βαλόντος
τὸ σῶμα σὺν τῷ γλωσ-
σοκόμῳ ἐν τῷ πλοίῳ.
καὶ ἀπολύσαντος εἰς
τὸν πλοῦν, φθάνει κα-
τὰ τὴν ὥραν τοῦ μεσο-
νυκτίου τὸ πλοῖον εἰς
τὸν αἰγιαλόν· ἔμπρο-
σθεν τῆς πορτικῆς τοῦ
ἁγίου οἴκου, τοῦ ἁ-
γίου ἀποστόλου Θωμᾶ
τοῦ ὄντος, ἐν Βρόχθοις
καὶ ἵσταται ἐκεῖ περαιτέ-
ρω μὴ προβαῖνον· κατ᾽
αὐτὴν δὲ τὴν ὥραν, φαί-
νεται κατ᾽ ὄναρ, τῷ ἡ-
γουμένῳ καὶ τῷ πρεσ-

μηνδείῳ τοῦ αὐτοῦ σε-
πτοῦ οἴκου, ἐπῆλθον κύ-
λέγων, ἐγέρθητε· καὶ τὸ
γλωσσόκομον ὃ ἄρετε ἐν
τῷ πλοίῳ τῷ προσορ-
μῶντι εἰς τὸν αἰγιαλ(ὸν)
ἔμπροσθεν τῆς πόρτης,
κατάθεσθε ἐν τῷ θυσι-
αστηρίῳ· καὶ τούτου λε-
χθέντος αὐτοῖς, θεω-
ροῦσι πάντας τοὺς πυ-
λεῶνας τῆς ἐκκλησί-
ας αὐτομάτως ἀνεῳχθέν-
τας· τῶν δὲ, ἐπὶ ἐνυ-
πνωμένων, καὶ δοξάν-
των φαντασίαν εἶναι
τὸ γενόμενον· καὶ ἀσ-
φαλισαμένων πάλιν
τοὺς πυλεῶνας, φαί-
νεται αὐτοῖς πάλιν ὁ
τὸ πρότερον ὀφθείς,
ἕως τρίτου· ἐπικεί-
μενος αὐτοῖς μετὰ πολλῆς
σφοδρότητος, καὶ λέγων·
ἐξέλθετε καὶ ἄρατε τὸ
γλωσσόκομον τῆς ὁσί-
ας ὀλυμπιάδος· πολλὰ
γὰρ ὑπέμεινε διὰ τὸν θν̅·
καὶ κατάθεσθε αὐτὸ, ἐν
τῷ θυσιαστηρίῳ· τότε
ἀναστάντες· καὶ πάλιν
θεωρήσαντες τοὺς πυ-
λεῶνας τῆς ἐκκλησίας
ἀνεῳγμένους· καὶ μετὰ
δενιλοιπὸν ἀποστη-

σάντας, λαβόντας τὰ ἅ-
για λείψανα· καὶ σταυρὸν
καὶ μανουάλια μετὰ κη-
ρῶν καὶ θυμιαμάτων
λιτανεύοντας, ἐξῆλθον
εἰς τὴν περιοίκην· καὶ
ἄραντας τὸ ἅγιον αὐτῆς
λείψανον τοῦ πλοίου, συνα-
χθέντων τε πάντων τῶν
μοναστηρίων· γυναικεί-
ων τε καὶ ἀνδρείων μετὰ
κηρῶν, καὶ δοξολογίας
μεγάλης καὶ εὐχαριστίας
τῆς πρὸς θν̅, κατέθεν-
το τὸ ἅγιον αὐτῆς λεί-
ψανον, ἐν τῷ θυσιαστη-
ρίῳ τοῦ εἰρημένου σε-
βασμίου οἴκου τοῦ ἁ-
γίου ἀποστόλου θωμᾶ,
τοῦ ὄντος ἐν βερόχθοις·
ἰάσεις τε πολλὰς ἦν ἰδεῖν
γινομένας εἰς τὸ ἅγιον
αὐτῆς μνῆμα· τῶν τε
ἀκαθάρτων πνευμάτων
ἀπελαυνομένων, καὶ
πολλῶν ποικίλων νοσῶν
θεραπευομένων, ἐκ τῶν
ὑπὸ τούτων συνεχομένων.
τελευτᾷ δὲ ἡ ἁγία καὶ
ὁσία καὶ μακαρία τοῦ θυ̅
δούλη ὀλυμπιάς, μηνὶ
ἰουλίῳ, εἰκάδι πέμπτη·
ἐπὶ τῆς βασιλείας ἀρ-
καδίου τοῦ θειοτάτου
καὶ ἀσεβεστάτου βασιλέως

συναριθμηθεῖσα τῷ
χορῷ τῶν ὁσίων ὁμο
λογητῶν· καὶ συμβασι
λεύουσα, εἰς τοὺς ἀπε
ράντους αἰῶνας, τῷ ἀ
θανάτῳ βασιλεῖ χ(ριστ)ῷ
τῷ θ(ε)ῷ ἡμῶν· ᾧ ἡ δόξα
καὶ τὸ κράτος σὺν τῷ π(ατ)
ρὶ καὶ τῷ ἁγίῳ πν(εύματ)ι
εἰς τοὺς σύμπαντας
αἰῶνας τῶν αἰώνων
ἀμήν· μετὰ δὲ τὴν
αὐτῆς τελευτὴν· ἡ ἀλη
θῶς γνησία δούλη τοῦ
θ(εο)ῦ μαρείνα· ἡ φιλόχρι
στος ἡ αὐτῆς συγγενὶς
καὶ θυγάτηρ πνευμα
τική· ἣν ὡς εἴρηται
ἐκ τοῦ ἁγίου καὶ ἀχράν
του καὶ σωτηριώδους
βαπτίσματος ἀνεδέ
ξατο, τὴν ἀγάπην
ἣν εἶχε πρὸς τὴν μακα
ρίαν ἐκείνην ψυχήν,
πᾶσι κατάδηλον ποιή
σασα μόνη· καὶ ἐκπληρώ
σασα τὴν παρακαταθή
κην αὐτῆς καὶ πάντα
τὰ παρ' αὐτῆς αὐτῇ ἐντεταλ
θέν, τα· πᾶσαν τὴν συνο
δίαν τῆς ποίμνης αὐτῆς
ἡ μετὰ τὸν θ(εὸ)ν καὶ τὴν δὲ
ποίμνην ἡμῶν τὴν πανα
γίαν θήκην εἰς τὰς χεῖρας
αὐτῆς παρέθετο, προσκ

παλλίσατο καὶ περιεπι
νίσατο καὶ ἐκυβέρνησεν,
ὡς μὴ αἰσθέσθαί τινα τῶν
ἀδελφῶν, ὑστερήσεως
τινος ἐκ τοῦ χωρισμοῦ
τῆς ἐν ἁγίοις ἐκείνης·
καὶ προχειρίζεται μετὰ
τὴν τελευτὴν τῆς ὁσίας,
ἡγουμένη τῆς ἁγίας ἐκεί
νης τοῦ χ(ριστο)ῦ ποίμνης· ἡ
ἀνωτέρω εἰρημένη
θεοφιλεστάτη ἐλισάν
θια ἡ διάκονος ἡ αὐ
τῆς συγγενίς· ἀπαρά
λλακτον πάντα τὸν κα
νόνα ὃν παρέλαβεν
ἀπὸ τῆς ὁσίας καὶ μα
καρίας ἐκείνης ψυχῆς·
καὶ πάσας τὰς ἀρετὰς
